Ὁμήρου Ὀδύσσεια

Κείμενο καὶ Ἔμμετρη Μετάφραση Ἀργύρη Ἐφταλιώτη

[Η εγκατάσταση της γραμματοσειράς Georgia Greek βελτιώνει την εμφάνιση των επόμενων σελίδων.]

Τηλεμάχεια

Ραψωδία α Θεῶν ἀγορά. Ἀθηνᾶς παραίνεσις πρὸς Τηλέμαχον.
Μνηστήρων εὐωχία.
Ραψωδία β Ἰθακησίων ἀγορά. Τηλεμάχου ἀποδημία.
Ραψωδία γ Τὰ ἐν Πύλῳ.
Ραψωδία δ Τὰ ἐν Λακεδαίμονι.

Φαιακίδα

Ραψωδία ε Ὀδυσσέως σχεδία.
Ραψωδία ζ Ὀδυσσέως ἄφιξις εἰς Φαιάκας.
Ραψωδία η Ὀδυσσέως εἴσοδος πρὸς Ἀλκίνουν.
Ραψωδία θ Ὀδυσσέως σύστασις πρὸς Φαιάκας.
Ραψωδία ι Ἀλκίνου ἀπόλογοι. Κυκλώπεια.
Ραψωδία κ Τὰ περὶ Αἰόλου καὶ Λαιστρυγόνων καὶ Κίρκης.
Ραψωδία λ Νέκυια.
Ραψωδία μ Σειρῆνες. Σκύλλα. Χάρυβδις. Βόες Ἡλίου.
Ραψωδία ν Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων. (1-209)

Μνηστηροφονία

Ραψωδία ν Ὀδυσσέως ἄφιξις εἰς Ἰθάκην. (ν210-)
Ραψωδία ξ Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.
Ραψωδία ο Τηλεμάχου πρὸς Εὔμαιον ἄφιξις.
Ραψωδία π Τηλεμάχου ἀναγνωρισμὸς Ὀδυσσέως.
Ραψωδία ρ Τηλεμάχου ἐπάνοδος πρὸς Ἰθάκην.
Ραψωδία σ Ὀδυσσέως καὶ Ἴρου πυγμή.
Ραψωδία τ Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία. Τὰ νίπτρα.
Ραψωδία υ Τὰ πρὸ τῆς μνηστηροφονίας.
Ραψωδία φ Τόξου θέσις.

Ραψωδία χ Μνηστηροφονία.
Ραψωδία ψ Ὀδυσσέως ὑπὸ Πηνελόπης ἀναγνωρισμὸς.
Ραψωδία ω Σπονδαὶ.

ΣΗΜΕΙΩΜΑ

Εδώ, με το τέλος της ραψωδίας Φ, σταματά το χειρόγραφο του Αργύρη Εφταλιώτη. Ο Λέσβιος αυτός από την κωμόπολη Μόλυβο λογοτέχνης, ένας από τους κορυφαίους στα νεοελληνικά γράμματα, που είχε όνομα κοσμικό Κλεάνθης Κ. Μιχαηλίδης, και τα διηγήματα του τα τυπωμένα σε χωριστούς τόμους, όπως οι "Νησιώτικες Ιστορίες" (1894), οι "Φυλλάδες του Γεροδήμου" (1897), η "Μαζώχτρα" με το δράμα "Βουρκόλακας" (1900), τα ποιήματα "Παλιοί Σκοποί" (1901), και μαζί μ' αυτά η "Ιστορία της Ρωμιοσύνης" (1901) και άλλα του άρθρα και δοκίμια κριτικά και ιστορικά, μένουνε διαμάντια του ωραίου δημοτικού λόγου,—σημειώνει ο ίδιος στο χειρόγραφο του μετά τον τελευταίο στίχο: "Τέ- λειωσε τις 9 του Φλεβάρη 1923—Στην Αντίπολη". Εκεί, στ' ακρογιάλι της Μεσογειακής Γαλλίας, ύστερ' από λίγους μήνες, "τον πήρε ο κορμοτεντωτής ο Χάρος", και δεν τον άφησε ν' αποτελειώση την ποιητική απόδοση του ομηρικού έπους στη νέα μας γλώσσα. Είτανε τότε 74 χρόνων, και είχε αρχίσει να μεταφράζη την "Οδύσσεια" στις 10 του Μάη του 1914. Μετά το θάνατο του, το χειρόγραφο του έργου (6 τετράδια) παραδόθηκε από τους κληρονόμους του και μένει φυλαγμένο στη Βιβλιοθήκη της Βουλής των Ελλήνων. Από μια σημείωση του Εφταλιώτη στο β' τετράδιο τους:—"Τα καλλίτερα: β' μέρος του Α, όλο το Β, δεύτερο μέρος του Δ, πρώτο του Ε, πρώτο του Ζ, όλο το Η, όλο το Ι, όλο το Κ"—φαίνεται πώς είχε σκοπό ο μεταφραστής, πριν τυπώση το έργο του, να το ξανα-θεωρήση, αφού μάλιστα μια περίπου δεκαετία χωρίζει το Α από το Φ· και θάδινε τότε την τελειωτική συνάρτηση τόσο στην έκφραση όσο και στην ονοματολογία προσώπων και πραγμάτων, ακόμα και στους ορθογραφικούς τύπους ή και στα στιχουργικά γυρίσματα κατά τα πρότυπα του ομηρικού κειμένου. [. . .]
(Σημείωμα του εκδότη: ΒΙΒΛΙΟΠΩΛΕΙΟ ΤΗΣ "ΕΣΤΙΑΣ" Ι. Δ. ΚΟΛΛΑΡΟΥ & ΣΙΑΣ Α.Ε.)

Ὁμήρου Ὀδύσσεια

Ραψωδία α
Θεῶν ἀγορά. Ἀθηνᾶς παραίνεσις πρὸς Τηλέμαχον. Μνηστήρων εὐωχία.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·
πολλῶν δ᾽ ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,
πολλὰ δ᾽ ὅ γ᾽ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.
ἀλλ᾽ οὐδ᾽ ὡς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.
ἔνθ᾽ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
τὸν δ᾽ οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς
νύμφη πότνι᾽ ἔρυκε Καλυψὼ δῖα θεάων
ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων
καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ᾽ ἐλέαιρον ἅπαντες
νόσφι Ποσειδάωνος· ὁ δ᾽ ἀσπερχὲς μενέαινεν
ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.

Τὸν ἄντρα τὸν πολύπραγο τραγούδησέ μου, ὦ Μοῦσα,
ποὺ περισσὰ πλανήθηκε, σὰν κούρσεψε τῆς Τροίας
τὸ ἱερὸ κάστρο, καὶ πολλῶν ἀνθρώπων εἶδε χῶρες
κι ἔμαθε γνῶμες, καὶ πολλὰ στὰ πέλαα βρῆκε πάθια,
γιὰ μιὰ ζωὴ παλεύοντας καὶ γυρισμὸ συντρόφων.
Μὰ πάλε δὲν τοὺς γλύτωσε, κι ἂν τὸ ποθοῦσε, ἐκείνους,
τὶ ἀπὸ δική τους χάθηκαν οἱ κούφιοι ἀμυαλωσύνη,
τοῦ Ἥλιου τοῦ Ὑπερίονα σὰν ἔφαγαν τὰ βόδια,
κι αὐτὸς τοὺς πῆρε τὴ γλυκειὰ τοῦ γυρισμοῦ τους μέρα.
Ἀπ' ὅπου ἂν τά 'χης, πές μας τα, ὦ θεά, τοῦ Δία κόρη.
Ὅλοι ποὺ τότες τὸν πολὺ τὸ χαλασμὸ ξεφύγαν
γυρίσανε, ἀπὸ πόλεμο καὶ θάλασσα σωσμένοι,
καὶ μόνο ἐκειόνε, σπιτικὸ καὶ ταίρι στερημένο,
ἡ Καλυψὼ ἡ τρισέμορφη θεὰ τόνε κρατοῦσε,
γιατὶ ἄντρα της τὸν ἤθελε στὶς βαθουλὲς σπηλιές της.
Μὰ ὁ γῦρος σὰν τελέστηκε τῶν χρόνων, κι ἦρθε ἡ ὥρα,
ποὺ τό 'χανε οἱ θεοὶ γραφτὸ στὸ Θιάκι νὰ ξανάρθη
στὸ σπιτικό του, μήτ' ἐκεῖ δὲν τοῦ 'λειψαν οἱ ἀγῶνες,
καὶ σὲ δικοὺς κοντά. Κι οἱ θεοὶ τὸν συμπονοῦσαν ὅλοι,
ἐξὸν τόν Ποσειδώνα· αὐτὸς βαριὰ ἦταν χολωμένος
μὲ τὸ Δυσσέα τὸ θεϊκό, στὸν τόπο του πρὶν φτάση.

ἀλλ᾽ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ᾽ ἐόντας,
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἱ μὲν δυσομένου Ὑπερίονος οἱ δ᾽ ἀνιόντος,

ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
ἔνθ᾽ ὅ γ᾽ ἐτέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἀθρόοι ἦσαν.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,

τόν ῥ᾽ Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν᾽ Ὀρέστης·
τοῦ ὅ γ᾽ ἐπιμνησθεὶς ἔπε᾽ ἀθανάτοισι μετηύδα·
"ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ᾽ ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε᾽ ἔχουσιν,
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
γῆμ᾽ ἄλοχον μνηστήν, τὸν δ᾽ ἔκτανε νοστήσαντα,
εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες, ἐύσκοπον ἀργεϊφόντην,
μήτ᾽ αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·
ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
ὁππότ᾽ ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
ὣς ἔφαθ᾽ Ἑρμείας, ἀλλ᾽ οὐ φρένας

Βρισκόταν στοὺς Αἰθίοπες ὁ Ποσειδώνας τότες,
ποὺ ζοῦνε μοιραστοὶ μακριὰ στοῦ κόσμου τὶς ἀκροῦλες,
στοῦ Ἡλιοῦ τὸ βούλημα οἱ μισοί, στ' ἀνάβλεμμά του οἱ ἄλλοι,
γιὰ νὰ δεχτῆ ἑκατοβοδιὰ ἀπὸ ταύρους καὶ κριάρια.
Ἐκεῖ γλυκοξεφάντωνε· οἱ θεοὶ ὡς τόσο οἱ ἄλλοι
στοὺς πύργους μαζωχτήκανε τοῦ Δία τοῦ Ὀλυμπήσου,
κι ὀμπρός τους, ὅλων τῶν θεῶν κι ἀνθρώπων ὁ πατέρας
ἄνοιξε λόγο, τὶ στὸ νοῦ ξανάρθε του ὁ μεγάλος
ὁ Αἴγιστος, ποὺ ὁ ξακουστὸς τὸν ἔκοψε ὁ Ὀρέστης,
τοῦ Ἀγαμέμνου ὁ γιός. Ἐκειὸν ὁ Δίας ἀνιστορώντας,
στοὺς ἄλλους τοὺς ἀθάνατους αὐτὰ τὰ λόγια κρένει·
"Ἄλλοι, καὶ πῶς γυρεύουνε παντοτινὰ οἱ ἀνθρῶποι
νὰ ρίχτουνε τὸ φταίξιμο σ' ἐμᾶς γιὰ τὰ δεινά τους,
καὶ λένε ἐμεῖς τὰ φέρνουμε· μὰ ἀπὸ δική τους τύφλα
παθαίνουν πέρα ἀπ' τὸ γραφτό· νά, ὁ Αἴγιστος, ποὺ πῆρε
τὸ ταίρι τοῦ Ἀγαμέμνονα, καὶ ποὺ στὸ γυρισμό του
χαλνάει κι ἐκείνονε· ἀπὸ πρὶν τὸ γνώριζε τί μέγα
κακὸ θὰ τοῦ'ρθη, γιατὶ ἐμεῖς μηνύσαμέ του τότες
μὲ τὸν ἀγρυπνομάτη Ἑρμῆ, μηδὲ νὰ τόνε κόψη,
μηδὲ τὸ ταίρι νὰ ζητάη· γιατὶ θὰ γδικιωθῆ του
σὰ μεγαλώση καὶ ποθῆ τὸν τόπο του ὁ Ὀρέστης.
Καλόγνωμα τοῦ τά 'πε ὁ Ἑρμῆς, μὰ ὁ

Αἰγίσθοιο
πεῖθ᾽ ἀγαθὰ φρονέων· νῦν δ᾽ ἀθρόα πάντ᾽ ἀπέτισεν."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
"ὦ πάτερ ἡμέτερε Κρονίδη, ὔπατε κρειόντων,
καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι·
ἀλλά μοι ἀμφ᾽ Ὀδυσῆι δαΐφρονι δαίεται ἦτορ,
δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει
νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ᾽ ὀμφαλός ἐστι θαλάσσης.
νῆσος δενδρήεσσα, θεὰ δ᾽ ἐν δώματα ναίει,
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.
τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν
θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεύς,
ἱέμενος καὶ καπνὸν ἀποθρῄσκοντα νοῆσαι
ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε. οὔ νύ τ᾽ Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;"
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·"

Αἴγιστος ν' ἀκούση
δὲν ἤθελε, καὶ μαζωχτὰ τὰ πλέρωσε κατόπι.″
Κι ἡ γαλανόματη Ἀθηνᾶ τοῦ ἀπολογιέται τότες·
“Πατέρα μας, τοῦ Κρόνου γιέ, τῶν βασιλιάδων πρῶτε,
βέβαια τοῦ ἄξιζε ἐκεινοῦ τέτοιος χαμὸς νὰ τοῦ 'ρθη·
τὰ ἴδια ἂς πάθη ὅποιος κακὰ παρόμοια πράξη κι ἄλλος.
Ἐγώ 'μως γιὰ τὸ γνωστικὸ Ὀδυσσέα χολοσκάνω,
τὸν ἄμοιρο, ποὺ ἀπὸ δικοὺς μακρόθε τυραννιέται
σὲ κυματόζωστο νησί, στῆς θάλασσας τ' ἀφάλι,
νησὶ δεντράτο, ποὺ θεὰ τὴν κατοικιά της ἔχει,
ἡ κόρη τοῦ κακόγνωμου τοῦ Ἄτλαντα, ποὺ ξέρει
τῆς θάλασσας τὰ τρίσβαθα, καὶ μὲ μακριὲς κολῶνες
ἀπὸ τὴ γῆς τὸν οὐρανὸ φυλάει ξεχωρισμένο.
Ἐκείνου ἡ κόρη τὸν κρατάει τὸ δύστυχο στὰ δάκρυα,
καὶ μὲ γλυκειὲς μαγεύει τον κουβέντες, νὰ ξεχάση
τὸν τόπο του· μὰ πάλε αὐτός, καὶ τὸν καπνὸ μονάχα
νὰ θώρειε τῆς πατρίδας του σὰν ἀλαφροανεβαίνη,
κι ἂς πέθαινε· μὰ μήτ' ἐσύ, Ὀλυμπήσε, δὲ σπλαχνιέσαι.
Τάχα δὲ σὲ τιμοῦσε αὐτὸς στὴ διάπλατη Τρωάδα,
σιμὰ στὰ πλοῖα τῶν Ἀργιτῶν μὲ περισσὲς θυσίες ;
τί τόσο, ὦ Δία, τώρα ἐσὺ μὲ τὸ Δυσσέα κακιώνεις ;″
Κι ὁ Δίας τῆς ἀποκρένεται ὁ συννεφομαζώχτης·

"τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

πῶς ἂν ἔπειτ᾽ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ᾽ ἱρὰ θεοῖσιν
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,

ἀντίθεον Πολύφημον, ὅου κράτος ἐστὶ μέγιστον
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέσσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
οὔ τι κατακτείνει, πλάζει δ᾽ ἀπὸ πατρίδος αἴης.
ἀλλ᾽ ἄγεθ᾽, ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
ὃν χόλον· οὐ μὲν γὰρ τι δυνήσεται ἀντία πάντων
ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἷος."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
"ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσιν,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον ἀργεϊφόντην

“Τί λόγο ἀπὸ τ' ἀχείλι σου ξεστόμισες, παιδί μου ;
Ποιός τό 'πε ἐγὼ πὼς λησμονῶ τὸ θεϊκὸ Ὀδυσσέα,
ποὺ πρῶτος εἶναι ἀπ' τοὺς θνητοὺς στὸ νοῦ καὶ στὶς θυσίες
πρὸς τοὺς ἀθάνατους θεοὺς ποὺ ὁρίζουνε τὰ οὐράνια ;
Ὁ Ποσειδώνας εἶν' ὁ θεός, τῆς γῆς ὁ περιζώστης,
ποὺ πάθος τοῦ ἔχει ἀνέσβεστο, τὶ χάλασε τὸ μάτι

τοῦ ἰσόθεου τοῦ Πολύφημου, τοῦ πρώτου τῶν Κυκλώπων
στὴ δύναμη· τῆς Θόωσας εἶναι παιδί, τῆς νύφης,
κόρης τοῦ Φόρκυνα, ἄρχοντα τοῦ ἀτρύγητου πελάγου,
ποὺ ὁ Ποσειδώνας σὲ βαθειὲς σπηλιὲς ἀγκάλιασέ την.
Ἀπὸ τὰ τότε ὁ σαλευτὴς τῆς γῆς ὁ Ποσειδώνας
κι ἂ δὲν τόνε θανάτωσε, μὰ τὸν πλανάει στὰ ξένα
τὸν Ὀδυσσέα. Ὅμως καιρὸς ἐμεῖς νὰ στοχαστοῦμε
πὼς νά 'ρθη στὴν πατρίδα του· θὰ πάψη τὴν ὀργή του
ὁ Ποσειδώνας· δὲν μπορεῖ στὸ πεῖσμα μας, κι ἀγνάντια
τόσων ἀθάνατων αὐτὸς ν' ἀντισταθῆ μονάχος.”
Κι ἡ γαλανόματη ἡ θεὰ τοῦ ἀπολογήθη τότες·
“Πατέρα μας, τοῦ Κρόνου γιέ, τῶν βασιλιάδων πρῶτε,
στοὺς τρισμακάριστους θεοὺς αὐτὸ ἂν ἀρέση τώρα,
νὰ ξαναρθῆ στὸ σπίτι του ὁ παράξιος Ὀδυσσέας
ὁ Ἀργοφονιὰς Ἑρμῆς ἂς πάη μηνύτορας δικός μας,

νῆσον ἐς Ἰθυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
νύμφῃ ἐυπλοκάμῳ εἴπῃ νημερτέα βουλήν,
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὡς κε νέηται·
αὐτὰρ ἐγὼν Ἰθάκηνδ᾽ ἐσελεύσομαι, ὄφρα οἱ υἱὸν
μᾶλλον ἐποτρύνω καί οἱ μένος ἐν φρεσὶ θείω,
εἰς ἀγορὴν καλέσαντα κάρη κομόωντας Ἀχαιοὺς
πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵ τέ οἱ αἰεὶ
μῆλ᾽ ἀδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς.
πέμψω δ᾽ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ,
ἠδ᾽ ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν."
ὣς εἰποῦσ᾽ ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ᾽ ὑγρὴν
ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀίξασα,
στῆ δ᾽ Ἰθάκης ἐνὶ δήμῳ ἐπὶ προθύροις Ὀδυσῆος,
οὐδοῦ ἐπ᾽ αὐλείου· παλάμῃ δ᾽ ἔχε χάλκεον ἔγχος,
εἰδομένη ξείνῳ, Ταφίων ἡγήτορι Μέντῃ.
εὗρε δ᾽ ἄρα μνηστῆρας ἀγήνορας. οἱ

στῆς Ἰθυγίας τὸ νησί, γιὰ νὰ μηνύση ἀμέσως
τῆς ὡριοπλέξουδης θεᾶς τὴν ἄσφαλτη βουλή μας,
ὁ Ὀδυσσέας ὁ ἄτρομος στὴ γῆς του νὰ γυρίση.
Ἐγὼ στὸ Θιάκι πάω, καρδιὰ περσότερη νὰ δώσω
τοῦ γιοῦ του ἐκεῖ, κι ἀπόφαση νὰ βάλω στὴν ψυχή του,
νὰ πῆ τοὺς μακρομάλληδες Ἀχαιοὺς νὰ μαζωχτοῦνε,
καὶ τοὺς μνηστῆρες ὁλονοὺς ν' ἀποκηρύξη ὀμπρός τους,
ποὺ σφάζουν κι ὅλο σφάζουνε τὰ βοδοπρόβατά του.
Κατόπι στὴν ἀμμουδερὴ τὴν Πύλο καὶ στὴ Σπάρτη
τὸν παίρνω, κι ἴσως τοῦ γονιοῦ τὸ γυρισμὸ ἐκεῖ μάθη,
κι ἔτσι μᾶς βγάλη κι ὄνομα λαμπρὸ μὲς στοὺς ἀνθρώπους."
Εἶπε, καὶ σάνταλα ἔδεσε στὰ πόδια της πανώρια,
ἀχάλαστα κι ὁλόχρυσα, ποὺ πεταχτὰ τὴ φέρνουν
ἀπὸ στεριὲς καὶ θάλασσες σὰ φύσημα τοῦ ἀνέμου·
πῆρε κοντάρι δυνατὸ μὲ μύτη ἀκονισμένη,
βαρύ, μεγάλο καὶ στεριό· μὲ δαῦτο ἡρώους ἄντρες
σωροὺς δαμάζει ἂν ὀργιστῆ τοῦ φριχτοῦ Δία ἡ κόρη.
Ἀπὸ του Ὀλύμπου χύμιξε τὰ κορφοβούνια τότες
στὸ Θιάκι, κι ὀμπρὸς στάθηκε στὶς θύρες του Ὀδυσσέα,
πὰς στὸ κατώφλι τῆς αὐλῆς, κρατώντας στὴν παλάμη
τὸ χάλκινο κοντάρι της, καὶ μοιάζοντας μὲ ξένο,
τὸ Μέντορα τὸ βασιλιὰ τῆς Τάφος. Ἐκεῖ

μὲν ἔπειτα
πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον
ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί·
κήρυκες δ᾽ αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες

οἱ μὲν οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
οἱ δ᾽ αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
νίζον καὶ πρότιθεν, τοὶ δὲ κρέα πολλὰ δατεῦντο.
τὴν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής,
ἦστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
ὀσσόμενος πατέρ᾽ ἐσθλὸν ἐνὶ φρεσίν, εἴ ποθεν ἐλθὼν
μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη,
τιμὴν δ᾽ αὐτὸς ἔχοι καὶ δώμασιν οἷσιν ἀνάσσοι.
τὰ φρονέων, μνηστῆρσι μεθήμενος, εἰσιδ᾽ Ἀθήνην.
βῆ δ᾽ ἰθὺς προθύροιο, νεμεσσήθη δ᾽ ἐνὶ θυμῷ
ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν· ἐγγύθι δὲ στὰς
χεῖρ᾽ ἕλε δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"χαῖρε, ξεῖνε, παρ᾽ ἄμμι φιλήσεαι· αὐτὰρ ἔπειτα
δείπνου πασσάμενος μυθήσεαι ὅττεό σε χρή."
"ὣς εἰπὼν ἡγεῖθ᾽, ἡ δ᾽ ἕσπετο Παλλὰς Ἀθήνη.

βρῆκε
καὶ τοὺς μνηστῆρες τοὺς τρανούς·
γλεντίζανε μὲ σκάκι
ὀμπρὸς στὶς θύρες σὲ προβιὲς βοδιῶνε καθισμένοι,
ποὺ ἴδιοι τους τὰ σφάξανε· κι ὁλόγυρά τους πλῆθος
παραστεκόνταν κήρυκες καὶ πρόθυμα κοπέλια,
ποὺ ἄλλοι μὲ τὸ κρασὶ νερὸ μὲς στὰ κροντήρια σμίγαν,
ἄλλοι τραπέζια πλένανε μὲ τρυπητὰ σφουγγάρια,
καὶ στρώνανέ τα· κι ἄλλοι τους τὰ κρέατα μοιράζαν.
Κι ὁ θεόμορφος Τηλέμαχος τὴν εἶδε πρῶτος πρῶτος.
Στὸ πλάγι τους καθότανε μὲ σπλάχνα ταραγμένα
καὶ μὲς στὸ νοῦ του λόγιαζε τὸν ξέλαμπρο γονιό του,
ἂν θά 'ρχουνταν ποτὲ μαθὲς νὰ τοὺς σκορπίση ἐτούτους
ἀπὸ τοὺς πύργους, κι ἴδιος του νὰ βασιλεύη πάλε
μὲ τὰ δικά του τὰ καλά. Αὐτά 'χοντας στὸ νοῦ του
σιμὰ στοὺς ἄλλους, μάτιασε τὴν Ἀθηνᾶ, καὶ πῆγε
ἴσια στὰ ξώθυρα, ἐπειδὴς ντρεπότανε ν' ἀφήση
ξένο νὰ πολυστέκεται στὴ θύρα· ὀμπρός του 'στάθη,
πιάνει τὸ χέρι τὸ δεξὶ, τοῦ παίρνει τὸ κοντάρι
τὸ χάλκινο, καὶ τοῦ λαλεῖ μὲ φτερωμένα λόγια·
"Καλῶς τὸν ξένο· ἐσὺ ἀπ' ἐμᾶς θὰ φιλευτῆς, καὶ κάλλιο
πρῶτα στὸ δεῖπνο, κι ὕστερα μᾶς κρένεις ὅ,τι ὁρίζεις."
Εἶπε, καὶ πῆγε αὐτὸς ὀμπρός, κι ἡ Ἀθηνᾶ ἀκλουθοῦσε.

οἱ δ᾽ ὅτε δή ῥ᾽ ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
ἔγχος μέν ῥ᾽ ἔστησε φέρων πρὸς κίονα μακρὴν
δουροδόκης ἔντοσθεν ἐυξόου, ἔνθα περ ἄλλα
ἔγχε᾽ Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά,
αὐτὴν δ᾽ ἐς θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας,
καλὸν δαιδάλεον· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
πὰρ δ᾽ αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων
μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ
δείπνῳ ἀδήσειεν, ὑπερφιάλοισι μετελθών,
ἠδ᾽ ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.
χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων·
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα·
κῆρυξ δ᾽ αὐτοῖσιν θάμ᾽ ἐπῄχετο οἰνοχοεύων.
ἐς δ᾽ ἦλθον μνηστῆρες ἀγήνορες. οἱ μὲν ἔπειτα
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε,
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
σῖτον δὲ δμῳαὶ παρενήνεον ἐν

Καὶ μέσα στ' ἀψηλόχτιστο παλάτι σάνε μπῆκαν,
παίρνει καὶ στήνει σὲ μακριὰ κολώνα τὸ κοντάρι,
σ' ἁρματοθήκη σκαλιστὴ, ποὺ κι ἄλλα ἐκεῖ κοντάρια
πολλὰ τοῦ καρτερόψυχου τοῦ Ὀδυσσέα στεκόνταν.
Σ' ἕνα θρονὶ τὴν κάθισε πὰς σ' ἁπλωμένο τούλι,
θρονὶ πανώριο, πλουμιστό, κι ἀκουμποπόδι ὀμπρός της.
Πῆρε κι αὐτὸς σκαμνὶ λαμπρό, μακριὰ ἀπὸ τοὺς μνηστῆρες,
νὰ μὴν τόνε πειράζη ὁ ἀχὸς τὸν ξένο, καὶ δὲ νιώση
γλύκα φαγιοῦ καθίζοντας μὲ ἀγέρωχους ἀνθρώπους,
καὶ γιὰ νὰ μάθη ἂν ἤξερε μαντάτα τοῦ γονιοῦ του.
Καὶ μπρίκι γιὰ τὸ νίψιμο τοὺς φέρνει τότε ἡ βάγια,
ὥριο, χρυσό, καὶ χύνει τους στὴν ἀργυρὴ λεγένη
γιὰ νὰ πλυθοῦν, καὶ στρώνει τους τὸ γυαλιστὸ τραπέζι.
Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,
κι ἀπὸ τὰ καλοφάγια της τοὺς ἔβαλε περίσσια·
μὲς στὰ πινάκια ὁ μοιραστὴς τὰ κρέατ' ἀραδιάζει,
καὶ θέτει χρυσοπότηρα ὀμπροστά τους· κάθε λίγο
περνοῦσε ὁ κήρυκας κοντὰ καὶ τοὺς κρασοκερνοῦσε.
Μπήκανε μέσα κι οἱ τρανοὶ μνηστῆρες, καὶ καθίσαν
ἀράδα σ' ἔδρες καὶ σκαμνιὰ, καὶ χύναν καὶ σ' ἐτούτων
τὰ χέρια οἱ κήρυκες νερό, καὶ σὲ πανέρια μέσα
οἱ παρακόρες σώρευαν ψωμί, καὶ

κανέοισιν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο
μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,
μολπή τ᾽ ὀρχηστύς τε· τὰ γὰρ τ᾽ ἀναθήματα δαιτός·
κῆρυξ δ᾽ ἐν χερσὶν κίθαριν περικαλλέα θῆκεν
Φημίῳ, ὅς ῥ᾽ ἦειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
ἣ τοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.
αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ᾽ οἱ ἄλλοι·
"ξεῖνε φίλ᾽, ἦ καὶ μοι νεμεσήσεαι ὅττι κεν εἴπω;
τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή,
ῥεῖ᾽, ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν,
ἀνέρος, οὗ δή που λεύκ᾽ ὀστέα πύθεται ὄμβρῳ
κείμεν᾽ ἐπ᾽ ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει.
εἰ κεῖνόν γ᾽ Ἰθάκηνδε ἰδοίατο νοστήσαντα,
πάντες κ᾽ ἀρησαίατ᾽ ἐλαφρότεροι πόδας εἶναι
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.
νῦν δ᾽ ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν
θαλπωρή, εἴ πέρ τις ἐπιχθονίων ἀνθρώπων
φῇσιν ἐλεύσεσθαι· τοῦ δ᾽ ὤλετο νόστιμον ἦμαρ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως

παλληκάρια
μὲ τὸ πιοτὸ στεφάνωναν τοῦ καθενὸς κροντήρι.
Κι αὐτοὶ ἄπλωναν τὰ χέρια τους στὰ φαγητὰ ὁμπροστά τους.
Κι ἀπὸ φαγὶ κι ἀπὸ πιοτὸ σὰ φράθηκε ἡ καρδιά τους,
ἄλλα στὸ νοῦ τους εἴχανε οἱ μνηστῆρες· τὰ τραγούδια
καὶ τὸ χορό, χαρίσματα τοῦ τραπεζιοῦ σὰν πού 'ναι·
λαμπρὴ κιθάρα ὁ κήρυκας παράδωσε στὰ χέρια
τοῦ Φήμιου, ποὺ μὲ τὸ στανιὸ τραγούδαε στοὺς μνηστῆρες,
κι ὥριο σκοπὸ τοὺς ἄρχισε τὶς κόρδες της βαρώντας.
Λέει τότες ὁ Τηλέμαχος τῆς γαλανοματούσας
θεᾶς, κοντά της σκύβοντας, νὰ μὴν ἀκούσουν οἱ ἄλλοι·
“Τάχα θὰ κρίνης ἄπρεπο τὸ τί θὰ πῶ, καλέ μου;
Αὐτοὶ στὸ νοῦ τους ἔχουνε κιθάρες καὶ τραγούδια,
καὶ τί τοὺς μέλει; ξένο βιὸς ἀπλέρωτα μασᾶνε,
τοῦ ἀντροῦ ποὺ τ' ἄσπρα κόκκαλα μὲς στὶς βροχὲς σαπίζουν
πὰς σὲ στεριὲς, ἢ στ' ἁρμυρὸ κυλιοῦνται ἴσως τὸ κῦμα.
Μιὰς νὰ τὸν ἔβλεπαν ἐκειὸν νὰ μπαίνη μὲς στὸ Θιάκι,
καὶ θὰ παρακαλούσανε νά 'ναι ἀλαφροὶ στὰ πόδια
κάλλιο, παρὰ στὶς φορεσὲς καὶ στὰ χρυσάφια πλούσιοι.
Μὰ τώρα ἀδικοχάθηκε, καὶ παργοριὰ δὲ φέρνει
ὅποιος μᾶς λέει πὼς ἔρχεται, τὶ γυρισμὸ δὲν ἔχει.
Ὡχ τόσο, πές μου ἀληθινά, ποιός εἶσαι, κι ἀποποῦθε ;

κατάλεξον·
τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁππποίης τ᾽ ἐπὶ νηὸς ἀφίκεο· πῶς δέ σε ναῦται
ἤγαγον εἰς ᾽Ιθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γὰρ τί σε πεζὸν ὀίομαι ἐνθάδ᾽ ἱκέσθαι.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὺ εἰδῶ,
ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώιός ἐσσι
ξεῖνος, ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων."

τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.

Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ᾽ ὧδε ξὺν νηὶ κατήλυθον ἠδ᾽ ἑτάροισιν
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ᾽ αἴθωνα σίδηρον.

νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι ῾Ρείθρῳ ὑπὸ Νηίῳ ὑλήεντι.
ξεῖνοι δ᾽ ἀλλήλων πατρώιοι εὐχόμεθ᾽ εἶναι
ἐξ ἀρχῆς, εἴ πέρ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ

ποιοί 'ν' οἱ γονιοί σου, ὁ τόπος σου; μὲ τί καράβι 'φάνης ;
οἱ ναῦτες πῶς σὲ φέρανε στὸ Θιάκι; ποιοί παινιένται
πὼς εἶναι; τὶ θαρρῶ πεζὸς ἐδῶ δὲ μᾶς ὁρίζεις.
Πές μου καὶ τοῦτο ἀληθινὰ νὰ ξέρω· μᾶς πρωτόρθες,

ἢ νά 'σαι φίλος πατρικός; τὶ κι ἄλλοι πολλοὶ ξένοι
μᾶς ἦρθαν, ὅπως γύριζε κι ἐκειὸς ἀνάμεσο τους."

Τότες ἡ γαλανόματη θεὰ τοῦ ἀπολογιέται·
"῞Οσα ρωτᾶς θὰ σοῦ τὰ πῶ κι ἐγὼ μ' ἀτρεκεια.
Τοῦ ἄξιου τοῦ Ἀχίαλου παινιέμαι γιὸς πὼς εἶμαι,
ὁ Μέντης, τῶ θαλασσινῶν τῆς Τάφος βασιλέας·
μὲ πλοῖο μου στὰ μέρη αὐτὰ καὶ μὲ συντρόφους ἦρθα
τὰ πέλαγ' ἀρμενίζοντας πρὸς τοὺς ξενογλωσσῖτες
τῆς Τέμεσης, μὲ σίδερο, χαλκὸ ἀπ' αὐτοὺς νὰ πάρω.

Τὸ πλοῖο μένει σὲ ξοχή, παράοξω ἀπὸ τὴν πόλη,
κάτω ἀπ' τὸ Νεῖο τὸ σύδεντρο, στοῦ Ρείθρου τὸ λιμάνι.
Ἐμεῖς δὰ φίλοι γονικοὶ λεγόμαστε ἀπαρχῆθες
ὁ ἕνας τοῦ ἄλλου· πήγαινε καὶ ρώτηξε τὸ γέρο
ἥρωα Λαέρτη· λένε αὐτὸς πιὰ δὲν πατάει στὴν πόλη,
παρὰ μακριὰ στὴν ἐξοχὴ μονάχος

πήματα πάσχειν
γρηὶ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ᾽ ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν
ἑρπύζοντ᾽ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ᾽ ἦλθον· δὴ γάρ μιν ἔφαντ᾽ ἐπιδήμιον εἶναι,
σὸν πατέρ᾽· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέι πόντῳ
νήσῳ ἐν ἀμφιρύτῃ, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ᾽ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτε τι μάντις ἐὼν οὔτ᾽ οἰωνῶν σάφα εἰδώς.
οὔ τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ᾽ εἴ πέρ τε σιδήρεα δέσματ᾽ ἔχῃσιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος πάϊς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐνὶ νηυσίν·

τυραννιέται,
καὶ γέρικη σπιτοκυρὰ θροφὴ τοῦ παραθέτει,
ἡ κούραση τὰ σκέλια του σὰν πιάση, ποὺ μὲ κόπο
τὰ σέρνει στὸν ἀνήφορο τοῦ ἀμπελοχώραφού του.
Ἤρθα, ἐπειδὴς καὶ λέχθηκε πὼς στὴν πατρίδα του ἦταν
ὁ κύρης σου· ὅμως οἱ θεοὶ τοῦ κόβουνε τὸ δρόμο.
Τὶ δὲν ἀπέθανε στὴ γῆς ὁ μέγας ὁ Ὀδυσσέας,
μόν' κάπου ἀκόμα ζωντανὸς στὰ πέλαγα κρατιέται,
σὲ κυματόζωστο νησί, που ἄντρες κακοὶ τὸν ἔχουν,
ἄγριοι, καὶ μὲ τὸ ζόρι αὐτοὶ τόνε βαστᾶνε πίσω.
Ὅμως σοῦ προμαντεύω ἐγώ, καθὼς στὸ νοῦ μου μέσα
τὸ βάλαν οἱ ἀθάνατοι, κι ὅπως θὰ βγῆ πιστεύω,
ἂν κι οὔτε μάντης εἶμαι ἐγώ, κι οὔτες ἀπ' ὄρνια νιώθω,
νά 'ρθη πιὰ ἐκεῖνος στὴ γλυκειὰ πατρίδα δὲ θ' ἀργήση,
μὰ καὶ μὲ σίδερα ἂ δεθῆ· τρόπο θὰ βρῆ νὰ φύγη,
γιατ' εἶναι πολυσόφιστος. Μὰ πές μου τώρα, γειά σου,
καὶ ξήγησέ μου ξάστερα, παιδί του ἂν εἶσαι ἀλήθεια,
τοῦ Ὀδυσσέα, τοσοδὰ μεγάλο παλληκάρι.
Παράξενα στήν κεφαλὴ καὶ στὰ λαμπρὰ τὰ μάτια
τοῦ μοιάζεις· τὶ πολὺ συχνὰ σμιγόμασταν οἱ δυό μας,
πρὶν ἀνεβῆ στὴν Τροία ἐκειός, ποὺ κι ἄλλοι Ἀργῖτες τότες
ἀπὸ τοὺς πρώτους κίνησαν μὲ κουφωτὰ καράβια·

ἐκ τοῦ δ᾽ οὔτ᾽ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ᾽ ἔμ᾽ ἐκεῖνος."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ γε
οὐκ οἶδ᾽· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
ὡς δὴ ἐγώ γ᾽ ὄφελον μάκαρός νύ τευ ἔμμεναι υἱὸς
ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε.
νῦν δ᾽ ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
τοῦ μ᾽ ἔκ φασι γενέσθαι, ἐπεὶ σύ με τοῦτ᾽ ἐρεείνεις."
τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπίσσω
θῆκαν, ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς δαίς, τίς δὲ ὅμιλος ὅδ᾽ ἔπλετο; τίπτε δέ σε χρεώ;
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ᾽ ἐστίν·
ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
δαίνυσθαι κατὰ δῶμα. νεμεσσήσαιτό κεν ἀνὴρ
αἴσχεα πόλλ᾽ ὁρόων, ὅς τις πινυτός γε μετέλθοι."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ξεῖν᾽, ἐπεὶ ἦρ δὴ ταῦτά μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς,
μέλλεν μέν ποτε οἶκος ὅδ᾽ ἀφνειὸς καὶ ἀμύμων
ἔμμεναι, ὄφρ᾽ ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος

ἕνας τὸν ἄλλονα πιὰ ἐμεῖς δὲν εἴδαμε ἀπὸ τότες."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Ξένε, θὰ σοῦ μιλήσω ἐγὼ μὲ περισσὴν ἀλήθεια.
Ἐκείνου τέκνο ἡ μάνα μου μὲ λέει· ἐγὼ τί ξέρω;
ποιὸς τὸ δικό του τὸ γονιὸ μπορεῖ νὰ πῇ πὼς ξέρει;
Μακάρι νά 'μουνα παιδὶ καλότυχου πατέρα,
ποὺ τοῦ 'ρχουνται τὰ γερατειὰ στὸ σπιτικό του μέσα.
Μὰ ἐμένα ὁ πιὸ κακότυχος στὸν κόσμο στάθη ἐκεῖνος
ποὺ λὲν πὼς εἶμαι τέκνο του, σὰν ποὺ ρωτοῦσες τώρα."
Κι ἡ γαλανόματη θεὰ γυρίζει καὶ τοῦ κρένει·
"Δὲν ὅρισαν ἀγνώριστη νὰ μείνῃ ἡ γενεά σου
οἱ θεοί, ἀφοῦ σὲ γέννησε λεβέντη ἡ Πηνελόπη.
Μὰ πές μου τώρα ξάστερα, καὶ ξήγα μου κι ἐτοῦτο·
σὰν τί τραπέζια νά 'ναι αὐτά; τί κόσμος; ποιά ἡ ἀνάγκη;
τάχατες γάμος ἢ γιορτὴ; Βέβαια αὐτὰ δὲν εἶναι
συντροφικά. Μὲ πόση δὲς ἀδιαντροπιὰ καὶ θάρρος
δῶ μέσα τρωγοπίνουνε. Θ' ἀγαναχτοῦσε ἀνίσως
ἐρχόταν ἄντρας γνωστικὸς κι ἄπρεπα τέτοια θώρειε."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Μιὰς καὶ ρωτᾶς μου, ὦ ξένε, αὐτά, καὶ θὲς νὰ τὰ κατέχῃς,
πλούσιο καὶ τιμημένο αὐτὸ τὸ σπίτι πρέπει νά 'ταν,
ἐκεῖνος ὅσο μέσα ἐδῶ καθότανε· ὅμως

ἦεν·
νῦν δ᾽ ἑτέρως ἐβόλοντο θεοὶ κακὰ μητιόωντες,
οἳ κεῖνον μὲν ἄιστον ἐποίησαν περὶ πάντων
ἀνθρώπων, ἐπεὶ οὔ κε θανόντι περ ὧδ᾽ ἀκαχοίμην,
εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν.
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ᾽ ὀπίσσω.
νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο·
οἴχετ᾽ ἄιστος ἄπυστος, ἐμοὶ δ᾽ ὀδύνας τε γόους τε
κάλλιπεν. οὐδέ τι κεῖνον ὀδυρόμενος στεναχίζω
οἷον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε᾽ ἔτευξαν.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ᾽ ὅσσοι κραναὴν᾽ Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν."
τὸν δ᾽ ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη·
"ὢ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος
δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.

τώρα,
ἀλλιώτικα οἱ κακόγνωμοι θεοὶ τὸ βουληθῆκαν,
ποὺ ἀνείδωτο τὸν ἔκαμαν ὅσο κανέναν ἄλλον·
καὶ μήτε κὰν τὸ τέλος του δὲ θὰ θρηνοῦσα, ἀνίσως
στὸ πλάγι τῶν συντρόφων του χανότανε στὴν Τροία,
γιά ἀπὸ τὸν πόλεμο ὕστερα, σὲ ἀγαπητὲς ἀγκάλες.
Καὶ τότες οἱ Παναχαιοὶ θὰ τοῦ 'στηναν μνημούρι,
κι ὄνομα θά 'βγαζε λαμπρὸ ν' ἀφήση τοῦ παιδιοῦ του.
Μὰ τώρα οἱ Ἅρπυιες ἄδοξα τὸν ἔχουν ἁρπαγμένο·
ἀνάφαντος κι ἀνάκουστος μοῦ γίνη, καὶ μ' ἀφῆκε
λύπες καὶ δάκρυα· μήτ' αὐτὸ μονάχα δὲ μὲ δέρνει,
ἐπειδὴς κι ἄλλα μοῦ 'φεραν οἱ Ὀλυμπῆσοι πάθια.
Γιατὶ ὅσοι γύρω στὰ νησιὰ πρωτοστατοῦν ἀρχόντοι,
Δουλίχι, Σάμη, Ζάκυθο μὲ τὰ δασιὰ τὰ δέντρα,
κι ὅσοι στὸ βραχορίζωτο τὸ Θιάκι ἐδῶ ἀρχοντεύουν,
ὅλοι ζητοῦν τὴ μάνα μου καὶ μοῦ χαλνᾶν τὸ βιός μου.
Κι ἐκείνη μήτε ἀρνιέται τους γάμο φριχτό, καὶ μήτε
τέλος νὰ δώση δύνεται· καὶ δός του αὐτοὶ τὸ σπίτι
μοῦ καταλοῦνε· γλήγορα καὶ μένα θὰ μὲ φᾶνε."
Τότε ἡ Παλλάδα ἡ Ἀθηνᾶ τοῦ λέει χολοσκασμένα·
"Ἄλλοίς, καὶ πόσο χρειάζεσαι τὸν Ὀδυσσέα κοντά σου,
ἐτούτους τοὺς ξεδιάντροπους μνηστῆρες νὰ βαρέση.

εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι
σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα
οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο--
ὤχετο γὰρ καὶ κεῖσε θοῇς ἐπὶ νηὸς Ὀδυσσεὺς
φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ' ὁ μὲν οὔ οἱ
δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας,
ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς--
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ἦ κεν νοστήσας ἀποτίσεται, ἦε καὶ οὐκί,
οἷσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα,
ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο.
εἰ δ' ἄγε νῦν ξυνίει καὶ ἐμῶν ἐμπάζεο μύθων·
αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς
μῦθον πέφραδε πᾶσι, θεοὶ δ' ἐπὶ μάρτυροι ἔστων.
μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι,
μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
ἄψ ἴτω ἐς μέγαρον πατρὸς μέγα

Νὰ ἐρχόταν τώρα νὰ σταθῆ στοῦ παλατιοῦ τὶς πόρτες,
μὲ ἀσπίδα, μὲ περίκρανο καὶ μὲ τὰ δυὸ κοντάρια,
τέτοιος στήν ὄψη σὰν ποὺ ἐγὼ τὸν εἶδα πρῶτα πρῶτα
σὰν ἔπινε καὶ γλέντιζε στὸ σπιτικό μας μέσα,
ἀπὸ τὸ γιὸ τοῦ Μέρμερου γυρίζοντας, τὸν Ἴλο,
τῆς Φύρας, πού μὲ πλοῖο γοργὸ ξεκίνησε, βοτάνι
ζητώντας του θανατερό, ν' ἀλείψη τὶς χαλκένιες
σαΐτες του· δὲν τοῦ 'δωσε, τὴ μάνητα φοβώντας
ἐκεῖνος τῶν ἀθάνατων· ὁ γέρος μου ὅμως τότες
τοῦ τό 'δωσε, ἀγαπώντας τον περίσσια· τέτοιος νά 'ρθη
καὶ ν' ἀνταμώση ἐτοὺτουνοὺς ὁ Ὀδυσσέας, καὶ θά 'ναι
ὅλων τὸ τέλος ξαφνικό, κι ὁ γάμος τους φαρμάκι.
Ὡς τόσο ἐτοῦτα ἂς μείνουνε στὰ χέρια τῶν θεῶνε,
κἂν θὰ γυρίση πάλε ἐδῶ νὰ γδικιωθῆ, κἂν ὄχι·
ἐσένα τώρα θέλω σε νὰ στοχαστῆς καὶ νά 'βρης
τὸ πῶς ἀπὸ τὸν πύργο αὐτὸ θὰ διώξης τοὺς μνηστῆρες.
Ἄκου λοιπόν, καὶ πρόσεξε τὰ λόγια ποὺ σοῦ κρένω.
Συγκάλεσέ τους τὸ ταχὺ τοὺς Ἀχαιοὺς ἡρώους,
καὶ σ' ὅλους πὲς τὴ γνώμη σου μὲ τοὺς θεοὺς μαρτύρους.
Πρόσταξε τότες σπίτια τους νὰ φύγουν οἱ μνηστῆρες,
κι ἂν ἡ καρδιὰ τῆς μάνας σου γάμο γυρεύη, ἂς σύρη
στ' ἀρχοντικὸ τοῦ κύρη της, πού 'ναι

δυναμένοιο·
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἔπεσθαι.
σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι·
νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ἥ τις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισι.
πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον,
κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
ἦ τ' ἂν τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν·
εἰ δέ κε τεθνηῶτος ἀκούσῃς μηδ' ἔτ' ἐόντος,
νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν
σῆμά τέ οἱ χεῦαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι
πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δοῦναι.
αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδόν· οὐδέ τί σε χρὴ
νηπιάας ὀχέειν, ἐπεὶ οὐκέτι τηλίκος ἐσσι.

τρανὸς ἀφέντης,
καὶ γάμο αὐτοὶ θὰ κάμουνε, καὶ δῶρα θὰ τοιμάσουν
πολλὰ, καθὼς ταιριάζουνε σ' ἀγαπημένη κόρη.
Κι ἐσένα γνώμη φρόνιμη σοῦ δίνω, ἂν θὲς ν' ἀκούσης·
καράβι μὲ εἴκοσι κουπιά, καλό, σὰν πάρης, ἔβγα
νὰ μάθης γιὰ τὸν κύρη σου τὸν πολυπλανημένο·
ἢ κάποιος θὰ σοῦ πῆ θνητός, ἢ τὴ φωνὴ θ' ἀκούσης
ποὺ στέλνει ὁ Δίας, καὶ στὴ γῆς συχνὰ σκορπάει τὶς φῆμες.
Πρῶτα στὴν Πύλο, καὶ ρωτᾶς τὸ Νέστορα τὸ μέγα·
σύρε κατόπι στὸν ξανθὸ τῆς Σπάρτης τὸ Μενέλα,
τὸν πιὸ στερνὸ χαλκοάρματο Ἀχαιὸ ποὺ γύρσε πίσω.
Κι ἃ μάθης πὼς ὁ κύρης σου καὶ ζῆ καὶ θὰ γυρίση,
ἀπάντεξε, ὅσο κι ἂν πονῆς, ὡς ἕνα χρόνο ἀκόμα·
ἂν πάλε πὼς ἀπέθανε καὶ πὼς σοῦ χάθη ἀκούσης,
γυρίζεις πίσω στὰ γλυκὰ λημέρια τῆς πατρίδας,
τοῦ στήνεις μνῆμα, νεκρικὰ πολλὰ τοῦ θέτεις δῶρα,
ὅσα τοῦ πρέπουν, κι ὕστερα παντρεύεις καὶ τή μάνα.
Καὶ σὰν τὰ πράξης ὅλ' αὐτὰ καὶ τὰ καλοτελειώσης,
μὲς στὸ μυαλό σου γύρισε καὶ μέσα στήν ψυχή σου,
τὸ πῶς σ' αὐτοὺς τούς πύργους σου θὰ λυώσης τοὺς μνηστῆρες
εἴτε μὲ δόλο, ἢ φανερά· τὶ πιὰ δὲν σοῦ ταιριάζει
μωρὸ παιδὶ νὰ φαίνεσαι, μικρὸς ἀφοῦ δὲν εἶσαι.

ἢ οὐκ ἀίεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ᾽ ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα;
καὶ σύ, φίλος, μάλα γάρ σ᾽ ὁρόω καλόν τε μέγαν τε,
ἄλκιμος ἔσσ᾽, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη
ἠδ᾽ ἑτάρους, οἵ πού με μάλ᾽ ἀσχαλόωσι μένοντες·
σοὶ δ᾽ αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ξεῖν᾽, ἦ τοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
ὥς τε πατὴρ ᾧ παιδί, καὶ οὔ ποτε λήσομαι αὐτῶν.
ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
ὄφρα λοεσσάμενός τε τεταρπόμενός τε φίλον κῆρ,
δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
τιμῆεν, μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
ἐξ ἐμεῦ, οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
"μή μ᾽ ἔτι νῦν κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο.
δῶρον δ᾽ ὅττι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγῃ,
αὖτις ἀνερχομένῳ δόμεναι οἴκονδε φέρεσθαι,
καὶ μάλα καλὸν ἑλών· σοὶ δ᾽ ἄξιον ἔσται ἀμοιβῆς."
ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη γλαυκῶπις

Ἤ τάχα δὲν ἀκοῦς κι ἐσὺ πὼς ὁ λαμπρὸς ὁ Ὀρέστης
δοξάστηκε σ' ὅλη τὴ γῆς σὰ σκότωσε τὸν πλάνο
τὸν Αἴγιστο, ποὺ χάλασε τὸν ξακουστὸ γονιό του;
Ἔτσι κι ἐσύ, πού βλέπω σε τόσο ὥριο καὶ μεγάλο,
γίνου ἄντρας, φίλε, νὰ σὲ ὑμνοῦν κατόπι οἱ ἀπογόνοι.
Καὶ τώρα ἐγὼ πρὸς τὸ γοργὸ καράβι κατεβαίνω,
τὶ στενοχώρια θά 'πιασε μεγάλη τοὺς συντρόφους·
ἐσὺ μονάχος φρόντιζε καὶ νοιάσου τὰ ὅσα σοῦ εἶπα."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κρένει·
"Ξένε μου, ἀλήθεια, σύμπονα μοῦ συντυχαίνεις λόγια,
καθὼς γονιὸς σὲ τέκνο του, κι ἀξέχαστα θὰ τά 'χω.
Μὰ κάλλιο μεῖνε τώρα ἐδῶ, κι ἂς εἶσαι γιὰ ταξίδι,
ἔλα καὶ λούσου νὰ φραθῇ ἡ καρδιά σου, καὶ κατόπι
κινᾶς πρὸς τὸ καράβι σου χαρούμενος, μὲ δῶρο
πλούσιο, λαμπρό, ἀπὲ λόγου μου νὰ τό 'χης θυμητάρι
σὰν ὅσα φίλοι ἀγαπητοὶ χαρίζουνε σὲ φίλους."
Κι ἡ γαλανόματη θεὰ τοῦ ἀπολογιέται τότες·
"Μὴ μὲ κρατᾶς πιὰ τώρα ἐδῶ, τὶ βιάζουμαι νὰ σύρω.
Κι ὅσο γιὰ δῶρο, ὅποιο ζητάει νὰ δώσῃς μου ἡ καρδιά σου,
στὸ γυρισμό μου δίνεις το, στὸ σπίτι νὰ τὸ πάρω,
πανώριο δῶρο, πού νὰ λὲς κι ἀνταμοιβή τοῦ ἀξίζει."
Σὰν εἶπε αὐτὰ ξεκίνησε ἡ θεὰ ἡ

Ἀθήνη,
ὄρνις δ᾽ ὡς ἀνόπαια διέπτατο· τῷ δ᾽ ἐνὶ θυμῷ
θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρὸς
μᾶλλον ἔτ᾽ ἢ τὸ πάροιθεν. ὁ δὲ φρεσὶν ἦσι νοήσας
θάμβησεν κατὰ θυμόν· ὀίσατο γὰρ θεὸν εἶναι.
αὐτίκα δὲ μνηστῆρας ἐπῄχετο ἰσόθεος φώς.

τοῖσι δ᾽ ἀοιδὸς ἄειδε περικλυτός, οἱ δὲ σιωπῇ
ἥατ᾽ ἀκούοντες· ὁ δ᾽ Ἀχαιῶν νόστον ἄειδε
λυγρόν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
τοῦ δ᾽ ὑπερωιόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια·

κλίμακα δ᾽ ὑψηλὴν κατεβήσετο οἷο δόμοιο,
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾽ ἕποντο.
ἡ δ᾽ ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ᾽ ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
δακρύσασα δ᾽ ἔπειτα προσηύδα θεῖον ἀοιδόν·
"Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
ἔργ᾽ ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
τῶν ἕν γέ σφιν ἄειδε παρήμενος, οἱ δὲ σιωπῇ

γαλανομάτα,
κι ἔγιν' ἀϊτὸς καὶ πέταξε· μὲς στὴν καρδιά του ὡς τόσο
ἀφῆκε θαρρεσιὰ κι ἀντρειά, καὶ τοῦ γονιοῦ του ἡ μνήμη
πιὸ ζωντανὴ ξανάρχουνταν· ξιππάστηκε ἡ ψυχή του,
καὶ θάμασε, γιατὶ θεὸς κατάλαβε πὼς ἦταν.
Καὶ τότες μ' ὅψη ἰσόθεη ζυγώνει τοὺς μνηστῆρες,
ποὺ τοὺς τραγούδαε ὁ ξακουστὸς τραγουδιστής, κι ἐκεῖνοι
καθόντανε χωρὶς μιλιὰ κι ἀκοῦγαν· τὸ τραγούδι
τούς ἔλεγε τῶν Ἀχαιῶν τὸ γυρισμὸ τὸ μαῦρο
ποὺ ἡ Παλλάδα ἡ Ἀθηνᾶ τοὺς πρόσταξε στὴν Τροία.
Κι ἀπὸ τ' ἀνώγια ἀκούγοντας τὸ θεῖο αὐτὸ τραγούδι
ἡ Πηνελόπη ἡ φρόνιμη, τοῦ Ἰκάριου ἡ θυγατέρα,
κατέβηκε τὶς ἀψηλὲς τοῦ παλατιοῦ τὶς σκάλες,
μόνη της ὄχι· ἀντάμα της δυὸ βάγιες κατεβῆκαν.
Κι ἡ ζουλεμένη ἀρχόντισσα σὰν πῆγε στοὺς μνηστῆρες,
πλάγι τοῦ στύλου στάθηκε τῆς δουλευτῆς τῆς στέγης
σηκώνοντας στὴν ὄψη της τὸ λιόλαμπρο φακιόλι,
μὲ τὶς παραστεκάμενες ἀπο τὰ δυὸ πλευρά της,
καὶ κρένει τοῦ τραγουδιστῆ μὲ μάτια δακρυσμένα·
“Φήμιε, ποὺ κι ἄλλα γνώριζες μαγευτικὰ τραγούδια,
μ' ὅσα θνητοὺς κι ἀθάνατους δοξάζετε ἐσεῖς πάντα,
ἕν' ἀπ' αὐτὰ τραγούδα τους σιμά τους καθισμένος,

οἶνον πινόντων· ταύτης δ᾽ ἀποπαύε᾽ ἀοιδῆς
λυγρῆς, ἥ τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
τοίην γὰρ κεφαλὴν ποθέω μεμνημένη αἰεί,
ἀνδρός, τοῦ κλέος εὐρὺ καθ᾽ Ἑλλάδα καὶ μέσον Ἄργος."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"μῆτερ ἐμή, τί τ᾽ ἄρα φθονέεις ἐρίηρον ἀοιδὸν
τέρπειν ὅππῃ οἱ νόος ὄρνυται; οὔ νύ τ᾽ ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς τε δίδωσιν
ἀνδράσιν ἀλφηστῆσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.
τούτῳ δ᾽ οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ᾽ ἄνθρωποι,
ἥ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοί δ᾽ ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· μῦθος δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ οἴκῳ."
ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο

κι αὐτοὶ ἂς σωποῦν κι ἂς πίνουνε· πάψ' τὸ τραγούδι ἐτοῦτο,
τὸ θλιβερό, ποὺ τὴν καρδιὰ μοῦ σκίζει μὲς στὰ στήθια,
γιατὶ σὰν ἄλληνα καμιὰ βαρὺς καημὸς μὲ δέρνει,
κι ὁλημερὶς ἀνιστορῶ καὶ λαχταρῶ τὸν ἄντρα,
ποὺ στὴν Ἑλλάδα ἡ δόξα του καὶ στ' Ἄργος ὅλο ἁπλώθη."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κάνει·
"Δὲν τὸν ἀφήνεις τὸ γλυκὸ τραγουδιστή, μανούλα,
νὰ φέρνη γλέντι καταπὼς τ' ἀποθυμάει ὁ νοῦς του;
Δὲ φταίγει σου ὁ τραγουδιστής, ὁ Δίας εἶν' ἡ αἰτία,
ποὺ κάθε σιταρόθρεφτου θνητοῦ ὅπως θέλει δίνει,
Δὲν ἔχει κρῖμα ἂν τραγουδάη αὐτὸς τὴ μαύρη μοῖρα
τῶ Δαναῶνε· πάντα θὲν οἱ ἀνθρῶποι τὸ τραγούδι
ποὺ πιὸ καινούργιο τοὺς σφαντάει σὰν κάθουνται κι ἀκοῦνε.
Κάνε καρδιὰ κι ἀπομονὴ ν' ἀκοῦς, γιατὶ μονάχος
δὲν ἔχασε τοῦ γυρισμοῦ τὴ γλύκα ὁ Ὀδυσσέας,
μόν' κι ἄλλα χάθηκαν πολλὰ στὴν Τροία παλληκάρια.
Ἔμπα, καὶ κοίτα σπίτι σου καὶ τὸ νοικοκυριό σου,
τὴν ἀληκάτη, τ' ἀργαλειό, καὶ πρόσταζε τὶς δοῦλες
νὰ σοῦ δουλεύουν· κι ἄφηνε τὰ λόγια αὐτὰ στοὺς ἄντρες,
μάλιστα ἐμένα, πού 'μαι δὰ καὶ τοῦ σπιτιοῦ ὁ ἀφέντης."
Θάμασ' αὐτή, καὶ γύρισε στὸ σπίτι, γιατὶ μπῆκαν
ὡς τὴν καρδιά της τοῦ παιδιοῦ τὰ

θυμῷ.
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
πάντες δ᾽ ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·

"μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες,
νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
ἔστω, ἐπεὶ τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
τοιοῦδ᾽ οἷος ὅδ᾽ ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
ἠῶθεν δ᾽ ἀγορήνδε καθεζώμεσθα κιόντες
πάντες, ἵν᾽ ὔμιν μῦθον ἀπηλεγέως ἀποείπω,
ἐξιέναι μεγάρων· ἄλλας δ᾽ ἀλεγύνετε δαῖτας,
ὑμὰ κτήματ᾽ ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
εἰ δ᾽ ὔμιν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
κείρετ᾽· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι·
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."
"ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως γνωστικὰ τὰ λόγια.
Κι ἀνέβηκε στ' ἀνώγια της, κι ἀντάμα μὲ τὶς βάγιες
τὸν ἀκριβό της Ὀδυσσέα θρηνοῦσε, ὡσότου ὕπνο
ἡ Ἀθηνᾶ τῆς στάλαξε γλυκὸ στὰ ματοκλάδια.
Ὡς τόσο στὰ βαθιόσκιωτα παλάτια μέσα οἱ ἄλλοι
ὀχλαλοὴ σηκώνανε, κι εὐκότανε ὁ καθένας
μὲς στὸ κρεβάτι ν' ἀξιωθῆ σιμά της νὰ πλαγιάση.
Σ' αὐτοὺς ἀρχίζει ὁ γνωστικὸς Τηλέμαχος καὶ κρένει·
"Ἀκοῦστε, ὦ παραδιάντροποι τῆς μάνας μου μνηστῆρες·
τώρα ἐμεῖς γλέντι ἂς κάμουμε, κι ἂς λείψη τ' ἀχολόγι,
τὶ ἀξίζει ἀλήθεια τέτοιονα τραγουδιστὴ ν' ἀκοῦμε,
σὰν πού 'ναι αὐτὸς ποὺ μὲ θεοῦ λὲς κι ἡ φωνή του μοιάζει·
μὰ τὴν αὐγὴ σὲ συντυχιὰ καθίζουμε ὅλοι ἀντάμα,
νὰ σᾶς κηρύξω φανερὰ ν' ἀφῆστε μου τὸν πύργο,
ἄλλα τραπέζια νά 'βρετε, δικό σας βιὸς νὰ τρῶτε,
ὁ ἕνας σπίτι τ' ἀλλονοῦ. Κι ἂν πάλε ἐσεῖς θαρρῆτε
πὼς εἶναι δίκιο κι εὔλογο νὰ καταλυοῦνται πλούτια
ἑνὸς ἀνθρωπου ἀπλέρωτα, σκορπᾶτε τα· ἐγὼ τότες
καλῶ βοήθεια τοὺς θεούς, ἴσως κι ὁ Δίας φέρη
τὸ γδικιωμὸ ποὺ ἀξίζει σας, κι ἔτσι κι ἐσεῖς κατόπι
πεδῶθε δίχως πλερωμὴ μιὰ καὶ καλὴ χαθῆτε."
Αὐτὰ τοὺς εἶπε, κι ὅλοι τους, δαγκάνοντας τὰ χείλη
θαμάζαν τοῦ Τηλέμαχου τὰ θαρρετὰ τὰ

ἀγόρευεν.
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
"Τηλέμαχ᾽, ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
ὑψαγόρην τ᾽ ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν·
μὴ σέ γ᾽ ἐν ἀμφιάλῳ᾽ Ἰθάκῃ βασιλῆα Κρονίων
ποιήσειεν, ὅ τοι γενεῇ πατρώιόν ἐστιν."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Ἀντίνο᾽, ἦ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω;
καὶ κεν τοῦτ᾽ ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι.
ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν· αἶψά τέ οἱ δῶ
ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτός.
ἀλλ᾽ ἦ τοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
πολλοὶ ἐν ἀμφιάλῳ᾽ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί,
τῶν κέν τις τόδ᾽ ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς·
αὐτὰρ ἐγὼν οἶκοιο ἄναξ ἔσομ᾽ ἡμετέροιο
καὶ δμώων, οὕς μοι λήισσατο δῖος Ὀδυσσεύς."
τὸν δ᾽ αὖτ᾽ Εὐρύμαχος Πολύβου πάϊς ἀντίον ηὔδα·
"Τηλέμαχ᾽, ἦ τοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ὅς τις ἐν ἀμφιάλῳ᾽ Ἰθάκῃ βασιλεύσει Ἀχαιῶν·
κτήματα δ᾽ αὐτὸς ἔχοις καὶ δώμασιν οἷσιν ἀνάσσοις.
μὴ γὰρ ὅ γ᾽ ἔλθοι ἀνὴρ ὅς τίς σ᾽ ἀέκοντα βίηφιν

λόγια.
Κι ὁ Ἀντίνος τοῦ Εὐπείθη ὁ γιὸς τοῦ μίλησε καὶ τοῦ 'πε·
"Ἐσένα θεοί, Τηλέμαχε, νὰ σὲ διδάχνουν πρέπει
μεγάλα λόγια νὰ μιλᾶς, καὶ θαρρετὰ νὰ κρένης·
μὴ σώση καὶ σὲ κάμη ὁ γιὸς τοῦ Κρόνου βασιλέα
στὸ Θιαάκι τὸ γυρόλουστο, σὰν πού 'ναι πατρικό σου."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κάνει·
"Τάχα θὰ σοῦ φανῆ βαρὺ τὸ θὰ σου πῶ, ὦ Ἀντίνε;
Κι ἐτοῦτο θὰ τὸ δέχουμουν ἂν τό 'δινέ μου ὁ Δίας.
Ἢ λὲς δὲ γίνεται κακὸ τρανότερο στὸ κόσμο;
Ὄχι, δὲν τό 'χω γιὰ ἀχαμνὸ νά 'ναι κανένας ρήγας·
πλούσιο τὸ σπίτι του ἄξαφνα, δοξάζεται κι ἀτός του.
Μὰ κι ἄλλοι βρίσκουνται Ἀχαιοὶ στὸ Θιάκι βασιλιάδες,
νέοι καὶ γέροι ἀρίθμητοι, κι ἕνας τους θά 'χη ἐτούτη
τὴ δόξα, μιὰς κι ἀπέθανε ὁ θεῖος ὁ Ὀδυσσέας·
ὅμως ἐγὼ θὰ ὁρίζω αὐτὸ τὸ σπίτι καὶ τοὺς δούλους,
ποὺ γιὰ τὰ μένα ἀπόχτησε μὲ τ' ἄρματά του ἐκεῖνος."
Καὶ τοῦ Πολύβου ὁ Εὐρύμαχος γυρνάει κι ἀπολογιέται·
"Αὐτά, Τηλέμαχε, στῶν θεῶν ἂς μείνουνε τὰ χέρια,
τὸ ποιὸς στὸ θαλασσόλουστο θὰ βασιλέψη Θιάκι·
μακάρι ἐσὺ νὰ κυβερνᾶς καὶ χτήματα καὶ σπίτι,
καὶ νὰ μήν ἔρθη ἐδῶ ψυχὴ καὶ θὲς δὲ θὲς σοῦ ἁρπάξη

κτήματ᾽ ἀπορραίσει, ᾽Ιθάκης ἔτι ναιετοώσης.
ἀλλ᾽ ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἐρέσθαι,
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ᾽ ἐξ εὔχεται εἶναι
γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα.
ἦέ τιν᾽ ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ᾽ ἱκάνει;

οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ᾽ ὑπέμεινε
γνώμεναι· οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῄκει."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Εὐρύμαχ᾽, ἦ τοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο·
οὔτ᾽ οὖν ἀγγελίῃ ἔτι πείθομαι, εἴ ποθεν ἔλθοι,
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα μήτηρ
ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
ξεῖνος δ᾽ οὗτος ἐμὸς πατρώιος ἐκ Τάφου ἐστίν,
Μέντης δ᾽ Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει."
ὣς φάτο Τηλέμαχος, φρεσὶ δ᾽ ἀθανάτην θεὸν ἔγνω.
οἱ δ᾽ εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο, μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
δὴ τότε κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.

τὰ χτήματα, ὅσο τὸ νησὶ τὸ κατοικοῦν ἀνθρῶποι.

Μὰ τώρα θέλω νὰ μοῦ πῆς, καλὲ μου, γιὰ τὸν ξένο,
ποποῦθε νά 'ναι ἐλόγου του; ποιά χώρα λέει δική του;
ποιά νά 'ναι ἡ φύτρα του μαθές, τὸ πατρικό του χῶμα ;
μπὰς καὶ μαντάτα σοῦ 'φερε πὼς ἔρχεται ὁ γονιός σου ;

ἢ νά 'ρθε ἐδῶ γυρεύοντας δικές του τάχα ἀνάγκες ;
Φάνηκε μόλις, κι ἔφυγε δὲν ἔμεινε δὰ κιόλας
νὰ γνωριστῇ· καὶ πρόστυχος δὲν ἔμοιαζε στὴν ὄψη."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κρένει·
"'Ὁ κύρης μου πιὰ γυρισμό, ὦ Εὐρύμαχε, δὲν ἔχει·
μήτε μαντάτα ἀκούγω ἐγώ, σὰ φτάνουν ἀπὸ κάπου,
μήτε μαντεῖες πιὰ ψηφῶ σὰν προσκαλέση ἡ μάνα
μάντη στὸ σπίτι καὶ ρωτάη. Ὁ ξένος πού εἶδες εἶναι
φίλος δικός μου πατρικὸς ἀπὸ τήν Τάφο, ὁ Μέντης·
τοῦ φρόνιμου τοῦ Ἀχίαλου παινιέται γιὸς πὼς εἶναι,
καὶ βασιλιὰς τῶν Ταφιτῶν, πού τὸ κουπὶ ἀγαπᾶνε."
Αὐτὰ εἶπε, κι ὅμως τὴ θεὰ στὸ νοῦ τὴν εἶχε πάντα,
Ἐκεῖνοι ὡς τόσο στὸ χορὸ καὶ στὸ γλυκὸ τραγούδι
τὸ γύρισαν, καὶ γλέντιζαν ὡς πού νὰ ρθῆ τὸ βράδυ.
Καὶ καθὼς γλέντιζαν, τ' ἀχνὸ κατέβηκε τὸ βράδυ·
καθένας τότες σπίτι του τραβοῦσε νὰ πλαγιάση,

Τηλέμαχος δ', ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
ὑψηλὸς δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ,
ἔνθ' ἔβη εἰς εὐνὴν πολλὰ φρεσὶ μερμηρίζων.
τῷ δ' ἄρ' ἄμ' αἰθομένας δαΐδας φέρε κεδνὰ ἰδυῖα
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο,
τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
πρωθήβην ἔτ' ἐοῦσαν, ἐεικοσάβοια δ' ἔδωκεν,
ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν,
εὐνῇ δ' οὔ ποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός·
ἥ οἱ ἄμ' αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
δμῳάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα.
ὤιξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο,
ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν.
ἡ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, θύρην δ' ἐπέρυσσε κορώνῃ
ἀργυρέῃ, ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι.
ἔνθ' ὅ γε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
βούλευε φρεσὶν ἦσιν ὁδὸν τὴν πέφραδ' Ἀθήνη.

καὶ πῆγε κι ὁ Τηλέμαχος στὸν ἀψηλοχτισμένο
τὸ θάλαμο ποὺ σφάνταζε μὲς στὴν αὐλὴ τὴν ὡρια,
νὰ μπῆ στὴν κλίνη του, πολλὰ στὸ νοῦ του μελετώντας.
Ἡ Εὐρύκλεια τότες τοῦ 'φερε τὰ φώσια τ' ἀναμμένα,
τοῦ Ὦπα ἡ κόρη ἡ μπιστευτή, τοῦ γιοῦ τοῦ Πεισηνόρη,
π' ὁ Λαέρτης ἄλλοτες μικρὴ τὴν πῆρε κοπελούδα
μὲ εἴκοσι βόδια πλερωμή, καὶ μέσα στὸ παλάτι
τὸ ἴδιο μὲ τήν ἄξια του γυναίκα τὴν τιμοῦσε,
μὰ ἀντάμα της δὲν πλάγιαζε, νὰ μὴ χολιάση ἐκείνη·
αὐτὴ τὰ φώσια ἀνέβασε, ποὺ ἀπὸ τὶς ἄλλες δοῦλες
τὸν εἶχε ἀγάπη ξέχωρη, κι ἀπὸ μωρὸ τὸν κοίτα.
Ἄνοιξε αὐτὸς τὸ θάλαμο τὸν τεχνικὰ φτιασμένο,
στὴν κλίνη κάθισε, ἔβγαλε τὸ μαλακὸ χιτώνα,
τὸν ἔθεσε στῆς φρόνιμης γερόντισσας τὰ χέρια,
κι αὐτὴ σὰν τόνε δίπλωσε καλά, σὲ ξυλοκάρφι
τὸν κρέμασε, παράδιπλα στὸ τορνευτὸ κλινάρι,
κι ἤβγε, τῆς θύρας σέρνοντας τὴν ἀργυρὴ κρικέλα,
ἀπέξωθε μὲ τὸ λουρὶ τὸ σύρτη της τραβώντας.
Κι αὐτὸς μὲ ἀνθὸ τοῦ προβατιοῦ γιὰ σκέπασμα ὅλη νύχτα
τὸ δρόμο συλλογιότανε ποὺ ἡ Ἀθηνᾶ τοῦ ξήγα.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία β

Ἰθακησίων ἀγορά. Τηλεμάχου ἀποδημία.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ὤρνυτ᾽ ἄρ᾽ ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱὸς
εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμῳ,
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,

Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ τοῦ Ὀδυσσέα ὁ ἀκριβογιὸς σηκώθη ἀπὸ τὸ στρῶμα,
ντύθηκε, ζώνει τὸ σπαθὶ τὸ κοφτερὸ στὸν ὦμο,
ὥρια ποδένει σάνταλα στὰ πόδια τὰ λαμπρά του,

βῆ δ᾽ ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
κηρύσσειν ἀγορήνδε κάρη κομόωντας Ἀχαιούς.
οἱ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
βῆ ῥ᾽ ἴμεν εἰς ἀγορήν, παλάμῃ δ᾽ ἔχε χάλκεον ἔγχος,
οὐκ οἶος, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
θεσπεσίην δ᾽ ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη.
τὸν δ᾽ ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο·
ἕζετο δ᾽ ἐν πατρὸς θώκῳ, εἶξαν δὲ γέροντες.
τοῖσι δ᾽ ἔπειθ᾽ ἥρως Αἰγύπτιος ἦρχ᾽ ἀγορεύειν,
ὃς δὴ γήραϊ κυφὸς ἔην καὶ μυρία ᾔδη.
καὶ γὰρ τοῦ φίλος υἱὸς ἅμ᾽ ἀντιθέῳ

καὶ βγαίνει ἀπὸ τὸ θάλαμο μὲ ἀθάνατο παρόμοιος.
Διαλαλητάδες πρόσταξε καλόφωνους ἀμέσως
τοὺς μακρομάλληδες Ἀχαιοὺς σὲ συντυχιὰ νὰ κράξουν.
Τοὺς κράξανε, καὶ γλήγορα συνάχτηκαν ἐκεῖνοι.
Καὶ σὰ συνάχτηκαν, καὶ μιὰ παρέα ὅλοι γενῆκαν,
κινάει ἐκεῖ μὲ χάλκινο κοντάρι στὴν παλάμη,
μονάχος ὄχι· δυὸ σκυλιὰ γοργόποδ' ἀκλουθοῦσαν,
κι ἡ Ἀθηνᾶ μὲ θεόλαμπρη τὸν περεχοῦσε χάρη.
Τόνε θαμάζανε ὅλοι τους σὰν ἔρχουνταν.
Καθίζει
στὸ πατρικό του τὸ θρονὶ, κι οἱ γέροι δίνουν τόπο.
Τότες ὁ Αἰγύπτιος ὁ ἥρωας ἀρχίνησε τὸ λόγο,
σκυφτὸς ἀπὸ τὰ γερατειά, καὶ μὲ πολλὰ στὸ νοῦ του.
Τὶ κι ἐκεινοῦ ὁ ἀκριβογιὸς μὲ τὸ θεϊκὸ

Ὀδυσῆι
 Ἴλιον εἰς ἐύπωλον ἔβη κοίλῃς ἐνὶ νηυσίν,
 Ἄντιφος αἰχμητής· τὸν δ᾽ ἄγριος ἔκτανε Κύκλωψ
ἐν σπῆι γλαφυρῷ, πύματον δ᾽ ὡπλίσσατο δόρπον.
 τρεῖς δέ οἱ ἄλλοι ἔσαν, καὶ ὁ μὲν μνηστῆρσιν ὁμίλει,
 Εὐρύνομος, δύο δ᾽ αἰὲν ἔχον πατρώια ἔργα.
 ἀλλ᾽ οὐδ᾽ ὡς τοῦ λήθετ᾽ ὀδυρόμενος καὶ ἀχεύων.
 τοῦ ὅ γε δάκρυ χέων ἀγορήσατο καὶ μετέειπε·
"κέκλυτε δὴ νῦν μευ, ᾽Ιθακήσιοι, ὅττι κεν εἴπω·
 οὔτε ποθ᾽ ἡμετέρη ἀγορὴ γένετ᾽ οὔτε θόωκος
 ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσί.
 νῦν δὲ τίς ὧδ᾽ ἤγειρε; τίνα χρειὼ τόσον ἵκει
 ἠὲ νέων ἀνδρῶν ἢ οἳ προγενέστεροί εἰσιν;
ἠέ τιν᾽ ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
 ἥν χ᾽ ἡμῖν σάφα εἴποι, ὅτε πρότερός γε πύθοιτο;
 ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ᾽ ἀγορεύει;
 ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος. εἴθε οἱ αὐτῷ
 Ζεὺς ἀγαθὸν τελέσειεν, ὅτι φρεσὶν ἦσι μενοινᾷ."
ὣς φάτο, χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός,
 οὐδ᾽ ἄρ᾽ ἔτι δὴν ἦστο, μενοίνησεν δ᾽ ἀγορεύειν,
 στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
 κῆρυξ Πεισήνωρ πεπνυμένα μήδεα εἰδώς.

Ὀδυσσέα
 στὸ Ἴλιο τότες μίσεψε μὲ κουφωτὰ καράβια,
 ὁ Ἄντιφος, κονταριστής, ποὺ ὁ Κύκλωπας ὁ ἄγριος
τὸν ἔκοψε, καὶ δεῖπνο του τὸν ἔκαμε στὸ σπήλιο.
 Τοῦ 'μειναν τρεῖς· ὁ Εὐρύνομος, μνηστήρας κι αὐτὸς ἕνας,
 κι οἱ ἄλλοι δυὸ νοιαζόντουσαν τὰ γονικὰ χωράφια·
 μὰ ἐκειὸν τὸν εἶχε ἀξέχαστο καὶ τὸν πικροθρηνοῦσε.
 Καὶ δάκρυα τώρα χύνοντας ξαγόρεψέ τοὺς κι εἶπε·

 "Ἀκοῦστε με τὸ τί θὰ πῶ, Θιακήσοι.
Συντυχιά μας
 δὲν ἔγινε, ἢ συνέδριο μας κανένα ἀφότου ὁ μέγας
 ὁ Ὀδυσσέας μίσεψε μὲ κουφωτὰ καράβια.
 Ποιός τώρα ἐδῶ μᾶς κάλεσε; ποιός τόσην ἔχει ἀνάγκη;
 ἀπὸ τοὺς νέους τάχα γιά ἀπ' τοὺς παλιούς μας νά 'ναι;
ν' ἄκουσε τάχα στράτεμα πὼς πλάκωσε, καὶ θέλει
 σὰν πρῶτος ποὺ τ' ἀπείκασε νὰ μᾶς τὸ φανερώση;
 ἢ γι ἄλλο τίποτις κοινὸ θὰ βγῆ νὰ μᾶς μιλήση ;
 Καλὸς μοῦ φαίνεται ἄνθρωπος, καὶ βλογημένος νά 'ναι.
 Νὰ τοῦ χαρίζη ὁ Δίας καλά, ὅσα ζητάει ἡ ψυχή του."
 Αὐτὰ εἶπε, κι ὁ Τηλέμαχος τά 'χε καλὸ σημάδι.
 Καὶ πιὰ δὲν κάθουνταν, παρὰ ποθώντας νὰ μιλήση,
 στάθη στὴ μέση· τοῦ 'βαλε στὸ χέρι δεκανίκι
 ὁ κήρυκας Πεισήνορας, μὲ νοῦ καὶ γνῶσες ἄντρας.

πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέειπεν·
"ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, τάχα δ᾽ εἴσεαι αὐτός,
ὃς λαὸν ἤγειρα· μάλιστα δέ μ᾽ ἄλγος ἱκάνει.
οὔτε τιν᾽ ἀγγελίην στρατοῦ ἔκλυον ἐρχομένοιο,
ἣν χ᾽ ὑμῖν σάφα εἴπω, ὅτε πρότερός γε πυθοίμην,
οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι οὐδ᾽ ἀγορεύω,
ἀλλ᾽ ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὰ ἔμπεσεν οἴκῳ
δοιά· τὸ μὲν πατέρ᾽ ἐσθλὸν ἀπώλεσα, ὅς ποτ᾽ ἐν ὑμῖν
τοίσδεσσιν βασίλευε, πατὴρ δ᾽ ὡς ἤπιος ἦεν·
νῦν δ᾽ αὖ καὶ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
πάγχυ διαρραίσει, βίοτον δ᾽ ἀπὸ πάμπαν ὀλέσσει.
μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ,
τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ᾽ εἰσὶν ἄριστοι,
οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι
᾽Ικαρίου, ὥς κ᾽ αὐτὸς ἐεδνώσαιτο θύγατρα,
δοίη δ᾽ ᾧ κ᾽ ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι·
οἵ δ᾽ εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄις καὶ πίονας αἶγας
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ᾽ ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
ἡμεῖς δ᾽ οὔ νύ τι τοῖοι ἀμυνέμεν· ἦ

Καὶ τότες πρῶτα γύρισε κατὰ τὸ γέρο, κι εἶπε·
"Αὐτός, ὦ γέρο, ποὺ ρωτᾶς, θὰ δῆς, μακριὰ δὲν εἶναι·
ἐγὼ τὸν κόσμο κάλεσα, τὶ ἐμένα ἀγγίζει ὁ πόνος.
Καὶ μήτε στράτεμα ἄκουσα νὰ πλάκωσε, καὶ θέλω
σὰν πρῶτος ποὺ τ' ἀπείκασα νὰ σᾶς τὸ φανερώσω,
μήτ' ἄλλο τίποτις κοινὸ δὲ βγαίνω νὰ ξηγήσω,
Παρὰ δικό μου πάθημα, ποὺ μοῦ 'πεσε στὸ σπίτι
διπλό· τὸν ἄξιο μου ἔχασα γονιὸ ποὺ κυβερνοῦσε
ἐσᾶς ἐδῶ ὅλους μιὰ φορὰ σὰν ἥμερος πατέρας,
κι ἄλλο, χειρότερο πολύ, ποὺ πάει νὰ ξολοθρέψη
τὸ σπιτικό μου, κι ὅλο μου τὸ βιὸς νὰ τ' ἀφανίση.
Μνηστῆρες πλῆθος πέσανε τῆς ἄθελής μου μάνας,
γιοὶ τῶν ἀντρῶν ποὺ βρίσκουνται προυχόντοι μὲς στὸν τόπο,
καὶ νὰ φανοῦνε τρέμουνε στοῦ ᾽Ικάριου τοῦ γονιοῦ της,
ποὺ αὐτὸς τὴ θυγατέρα του θὰ προίκιζε, καὶ σ' ὅποιον
πιὸ ταιριαστὸς τοῦ φαίνουνταν, τήν ἔδινε γυναίκα.
Μόνε σ' ἐμᾶς ὁλοκαιρὶς χαζεύοντας ἐκεῖνοι
καὶ βόδια σφάζοντας κι ἀρνιά, καὶ τὰ παχιὰ τὰ γίδια,
τὸ χαίρουνται, καὶ πίνουνε τὸ φλογερὸ κρασί μου,
τοῦ κάκου, καὶ τὰ καταλοῦν γιατὶ ἄντρας πιὰ δὲ στέκει
σὰν ποὺ ὁ Δυσσέας ἤτανε, τὸ σπίτι νὰ γλυτώση.
Κι ἐμεῖς γι' αὐτοὺς δὲ σώνουμε· μὰ ἀλήθεια

καὶ ἔπειτα
λευγαλέοι τ᾽ ἐσόμεσθα καὶ οὐ δεδαηκότες ἀλκήν.
ἦ τ᾽ ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.
οὐ γὰρ ἔτ᾽ ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ᾽ ἔτι καλῶς
οἶκος ἐμὸς διόλωλε. νεμεσσήθητε καὶ αὐτοί,
ἄλλους τ᾽ αἰδέσθητε περικτίονας ἀνθρώπους,
οἳ περιναιετάουσι· θεῶν δ᾽ ὑποδείσατε μῆνιν,
μή τι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα.
λίσσομαι ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ Θέμιστος,
ἥ τ᾽ ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει·
σχέσθε, φίλοι, καί μ᾽ οἶον ἐάσατε πένθεϊ λυγρῷ
τείρεσθ᾽, εἰ μή πού τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
δυσμενέων κάκ᾽ ἔρεξεν ἐυκνήμιδας Ἀχαιούς,
τῶν μ᾽ ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες,
τούτους ὀτρύνοντες. ἐμοὶ δέ κε κέρδιον εἴη
ὑμέας ἐσθέμεναι κειμήλιά τε πρόβασίν τε.
εἴ χ᾽ ὑμεῖς γε φάγοιτε, τάχ᾽ ἄν ποτε καὶ τίσις εἴη·
τόφρα γὰρ ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα μύθῳ
χρήματ᾽ ἀπαιτίζοντες, ἕως κ᾽ ἀπὸ πάντα δοθείη·
νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ."
ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
δάκρυ᾽ ἀναπρήσας· οἶκτος δ᾽ ἔλε λαὸν ἅπαντα.

καὶ κατόπι
θά 'μαστε ἐμπρός τους ἀχαμνοὶ κι ἀνήξεροι ἀπὸ μάχη.
Νά 'χα μαζί μου δύναμη, κι ἐγὼ θ' ἀντιστεκόμουν,
τὶ ἀβάσταχτά 'ναι ἐτοῦτα πιά· μοῦ ἀφάνισαν τὸ σπίτι
καὶ πῆγε· νιῶστε την κι ἐσεῖς αὐτὴ τὴν ἀδικιά τους,
ντραπῆτε ἐκείνους τοὺς λαοὺς ποὺ γύρω γειτονεύουν,
καὶ φοβηθῆτε τοὺς θεούς, μὴν ὀργιστοῦν καὶ ρίξουν
μιὰ μέρα στὸ κεφάλι σας τὰ μαῦρα αὐτὰ τὰ ἔργα.
Προσπέφτω σας, γιὰ τ' ὄνομα τοῦ Δία καὶ τῆς Θέμης,
ποὺ τῶν ἀντρῶν τὶς συντυχιὲς αὐτὴ σκορπάει ἢ φέρνει,
πάψτε, καλοί μου, ἀφῆστε με μὲς στὸν καημὸ νὰ λυώνω
μοωάχος, ἂν ὁ δοξαστὸς πατέρας μου Ὀδυσσέας
στοὺς Ἀχαιοὺς δὲν ἔκαμε κακὸ ἀπὸ ὄχτρητά του,
ποὺ τώρα μ' ὄχτρητα κι ἐσεῖς τὸ ξεπλερώνετέ μου,
σ' ἐτούτους θάρρος δίνοντας· πιὸ κέρδος γιὰ τὰ μένα
ἐσεῖς νὰ καταλούσατε τὸ βιὸς καὶ τὰ καλά μου.
Νά 'σαστε ἐσεῖς, τὸ δίκιο μου θὰ τό 'βρισκα μιὰ μέρα·
τὶ μὲς στὴ χώρα θά 'βγαινα, καὶ γκαρδιακὰ μιλώντας
τὰ πλούτια μου θὰ γύρευα, ὡς ποὺ ὅλα νὰ δοθοῦνε.
Μὰ τώρα πόνο ἀγιάτρευτο μοῦ βάζετε στὰ σπλάχνα."
Αὐτὰ τοὺς εἶπε μὲ χολή, κι εὐτὺς τὸ δεκανίκι
χάμου πετάει δακρύζοντας· κι ὅλους τοὺς πῆρε ἡ λύπη.

ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν·
Ἀντίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπε·
"Τηλέμαχ᾽ ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες
ἡμέας αἰσχύνων· ἐθέλοις δέ κε μῶμον ἀνάψαι.
σοὶ δ᾽ οὔ τι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
ἀλλὰ φίλη μήτηρ, ἥ τοι πέρι κέρδεα οἶδεν.
ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ᾽ εἶσι τέταρτον,
ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
πάντας μέν ῥ᾽ ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ
ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ.
ἡ δὲ δόλον τόνδ᾽ ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ᾽ ἡμῖν μετέειπε·
"᾽κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ᾽ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ᾽ ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
μοῖρ᾽ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ.
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας᾽.
"ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο

Σωποῦσαν, καὶ κανένας τους νὰ βγάλη δὲν κοτοῦσε
λόγο σκληρό, κι ἀπάντηση νὰ δώση· μόνο ὁ Ἀντίνος
σηκώθηκε ἀπ' τοὺς Ἀχαιούς, κι αὐτὰ τοῦ ἀπολογήθη.
"Μωρὲ λογά, ἀχαλίνωτε Τηλέμαχε, τί λές μας;
μᾶς βρίζεις, κι ἀβανιάσματα νὰ μᾶς κολλήσης θέλεις·
μὰ ξέρε το πὼς δὲ σοῦ φταῖν οἱ Ἀχαιοὶ οἱ μνηστῆρες,
παρὰ ἡ μανούλα σου τὰ φταίει, ποὺ χίλια ξέρει ὁ νοῦς της.
Τρεῖς χρόνοι τώρα πέρασαν, καὶ τέταρτος κοντεύει,
ποὺ αὐτὴ γελάει τοὺς Ἀχαιούς. Ἐλπίδες δίνει σ' ὅλους,
καὶ καθενοῦ ξεχωριστὰ ταξίματα τοῦ στέλνει,
αὐτὴ ὅμως ἄλλα μελετάει. Καὶ κοίταξε κι ἐτούτη
τὴν πονηριὰ ποὺ μπόρεσε νὰ σοφιστῆ καὶ νά 'βρη.
Στήνει θεόμακρο πανὶ στὸν πύργο της νὰ φάνη,
ψιλόκλωστο κι ἀμέτρητο, καὶ λέει μας·
"Παλληκάρια,
μνηστῆρες μου, τώρα ὁ λαμπρὸς που ἀπέθανε Ὀδυσσέας,
μὴ βιάζετε τὸ γάμο μου, γιὰ ν' ἀποσώσω πρῶτα
τὸ πανικό, νὰ μὴ χαθοῦν τὰ νήματα τοῦ κάκου,
ποὺ τό 'χω γιὰ τὸ σάβανο τοῦ ἥρωα τοῦ Λαέρτη,
σὰν ἔρθη ὁ κορμοτεντωτὴς ὁ χάρος καὶ τὸν πάρη,
μπὰς καὶ καμιὰ τῶν Ἀχαιῶν κερὰ μὲ ψεγαδιάση,
ἂν κοίτεται ἀσαβάνωτος, πού 'ταν καὶ τόσο πλούσιος."
Αὐτὰ εἶπε, κι οἱ λεβέντικες τὰ δέχτηκαν

θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ᾽ ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὡς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ᾽ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
καὶ τήν γ᾽ ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
ὡς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ᾽ ὑπ᾽ ἀνάγκης·
σοὶ δ᾽ ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν᾽ εἰδῇς
αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
τῷ ὅτεῃ τε πατὴρ κέλεται καὶ ἀνδάνει αὐτῇ.
εἰ δ᾽ ἔτ᾽ ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν,
τὰ φρονέουσ᾽ ἀνὰ θυμόν, ὅ οἱ πέρι δῶκεν Ἀθήνη
ἔργα τ᾽ ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλὰς
κέρδεά θ᾽, οἷ᾽ οὔ πώ τιν᾽ ἀκούομεν οὐδὲ παλαιῶν,
τάων αἳ πάρος ἦσαν ἐυπλοκαμῖδες Ἀχαιαί,
Τυρώ τ᾽ Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη·
τάων οὔ τις ὁμοῖα νοήματα Πηνελοπείῃ
ᾔδη· ἀτὰρ μὲν τοῦτό γ᾽ ἐναίσιμον οὐκ ἐνόησε.
τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματ᾽ ἔδονται,
ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον, ὅν τινά οἱ νῦν

ψυχές μας.
Λοιπόν, τὶς μέρες ἔφαινε τὸ θεόμακρο πανί της,
τὴ νύχτα ὅμως τὸ ξέφαινε σὰν ἔφερναν τὰ φῶτα.
Τρεῖς χρόνους μᾶς κρυφόπαιζε, κι ἔτσι μᾶς ἔπειθε ὅλους·
μὰ οἱ ἐποχὲς σὰ φέρανε τὸν τέταρτο τὸ χρόνο,
μιά της γυναίκα πὄξερε, μᾶς τὰ φανέρωσε ὅλα,
καὶ πιάσαμέ την τὸ λαμπρὸ πανί της νὰ ξεφαίνη.
Καὶ τότες πιὰ μὲ τὸ στανιὸ τὸ τέλειωσε ἀπ' ἀνάγκη·
κι ἐσένα, νὰ τί ἀπάντηση σοῦ δίνουν οἱ μνηστῆρες,
κι ἐσὺ νὰ ξέρης, κι οἱ Ἀχαιοὶ νὰ μάθουν ὅλοι ἐτοῦτοι.
Ξεδιάβασ' την τὴ μάνα σου, καὶ πὲς νὰ πάη νὰ πάρη
ὅποιον καλέση ὁ κύρης της κι ὅποιον αὐτὴ θελήση.
Μὰ ἃ μελετάη τοὺς Ἀχαιοὺς νὰ βασανίση ἀκόμα,
μὲ ὅσα φυλάει τῆς Ἀθηνᾶς χαρίσματα ἡ ψυχή της,
μὲ τὴν πιδέξια τέχνη της, μὲ τὴ λαμπρὴ ξυπνάδα,
τὶς μαριολιές, ποὺ σὰν κι αὐτὲς μήτ' οἱ παλιὲς ἐκεῖνες
ὡριομαλλοῦσες Ἀχαιὲς δὲν ἄκουσα ἂν τὶς εἶχαν,
ἡ Ἀλκμήνη, ἡ ὡριοστεφάνωτη Μυκήνη, μήτε ἡ Τύρω,
πού μιά τους δὲν τῆς ἔμοιαζε στὸ νοῦ τῆς Πηνελόπης,
αὐτὸ ὅμως δὲν τ' ἀπείκασε· πὼς θὰ σοῦ τρῶνε οἱ ἄλλοι
τὸ βιός σου καὶ τὰ πλούτια σου ὅσο πεισμώνει ἐκείνη
στὴ γνώμη ποὺ οἱ ἀθάνατοι τῆς βάλανε στὸ νοῦ της.

ἐν στήθεσσι τιθεῖσι θεοί. μέγα μὲν κλέος αὐτῇ
ποιεῖτ', αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο.
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν οὔτε πῃ ἄλλῃ,
πρίν γ' αὐτὴν γήμασθαι Ἀχαιῶν ᾧ κ' ἐθέλῃσι."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Ἀντίνο', οὔ πως ἔστι δόμων ἀέκουσαν ἀπῶσαι
ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψε· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης,
ζώει ὅ γ' ἢ τέθνηκε· κακὸν δέ με πόλλ' ἀποτίνειν
Ἰκαρίῳ, αἴ κ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' ἐρινῦς
οἴκου ἀπερχομένη· νέμεσις δέ μοι ἐξ ἀνθρώπων
ἔσσεται· ὣς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.
ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας
ὑμὰ κτήματ' ἔδοντες ἀμειβόμενοι κατὰ οἴκους.
εἰ δ' ὑμῖν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι.
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."

Μεγάλο ἀπόχτησε ὄνομα για λόγου της, μὰ ἐσένα
ἀρίθμητα σὲ στέρησε καλα. Καὶ γνὼριζέ το,
πὼς ἐμεῖς μήτε σ' ἐξοχὴ μήτε κι ἀλλοῦ δὲν πᾶμε,
πρὶν αὐτὴ πάρη ἀπὸ τὰ μᾶς τὸν ἄντρα ποὺ διαλέξη."

Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κρένει·
"Ἀντίνο, ἀπὸ τον πύργο μου δε γίνεται νὰ διώξω
ἐκείνη ποὺ μὲ γέννησε καὶ μ' ἔθρεψε· ὁ γονιός μου,
ζῆ ἀπέθανε, σὲ ξένη γης ἀπόμεινε· ἂν τὴ στείλω
τὴ μάνα ἐγὼ, στὸν κύρη της θὰ τ' ἀκριβοπλερώσω.
Κι ἀπ' τὸν Ἰκάριο συφορὲς κι ἀπ' τὸ θεὸ θὰ μοῦ 'ρθουν,
σὰ φεύγει ἡ μάνα καὶ ξορκάει τὶς μαῦρες Ἐρινύες·
μὰ καὶ τοῦ κόσμου ἐπάνω μου τὴν κατηγόρια θά 'χω·
ὥστε ποτές μου τέτοιο ἐγὼ δὲν ξεστομίζω λόγο.
Κι ἀτοί σας ἂν τὸ νιώθετε τὸ κρῖμ' αὐτό, νὰ σύρτε,
ἄλλα τραπέζια νά 'βρετε, δικό σας βιὸς νὰ τρῶτε,
ὁ ἕνας σπίτι τοῦ ἀλλονοῦ. Μὰ ἂν πάλε ἐσεῖς θαρρῆτε
πὼς εἶναι δίκιο κι εὔλογο νὰ καταλυοῦνται πλούτια
ἑνὸς ἀνθρώπου ἀπλέρωτα, σκορπᾶτε τα· ἐγὼ τότες
καλῶ βοήθεια τοὺς θεούς, ἴσως κι ὁ Δίας φέρη
τὸ γδικιωμὸ πού ἀξίζει σας, κι ἔτσι κι ἐσεῖς κατόπι
πεδῶθε δίχως πλερωμὴ μιὰ καὶ καλὴ

χαθῆτε.″

"ὣς φάτο Τηλέμαχος, τῷ δ᾽ αἰετὼ εὐρύοπα Ζεὺς
ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
τὼ δ᾽ ἔως μέν ῥ᾽ ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο
πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν·
ἀλλ᾽ ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
ἔνθ᾽ ἐπιδινηθέντε τιναξάσθην πτερὰ πυκνά,
ἐς δ᾽ ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ᾽ ὄλεθρον·
δρυψαμένω δ᾽ ὀνύχεσσι παρειὰς ἀμφί τε δειρὰς
δεξιὼ ἤιξαν διά τ᾽ οἰκία καὶ πόλιν αὐτῶν.
θάμβησαν δ᾽ ὄρνιθας, ἐπεὶ ἴδον ὀφθαλμοῖσιν·
ὥρμηναν δ᾽ ἀνὰ θυμὸν ἃ περ τελέεσθαι ἔμελλον.
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἁλιθέρσης
Μαστορίδης· ὁ γὰρ οἷος ὁμηλικίην ἐκέκαστο
ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπε·
"κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε εἴρω·
τοῖσιν γὰρ μέγα πῆμα κυλίνδεται· οὐ γὰρ Ὀδυσσεὺς
δὴν ἀπάνευθε φίλων ὤν ἔσσεται, ἀλλά που ἤδη
ἐγγὺς ἐὼν τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει
πάντεσσιν· πολέσιν δὲ καὶ ἄλλοισιν κακὸν ἔσται,

Αὐτὰ εἶπε, κι ὁ βροντόφωνος ὁ Δίας τότες στέλνει
ἀπ' τ' ἀψηλὸ βουνόκορφο δυὸ ἀϊτοὺς καὶ ξεκινᾶνε,
Πέταγαν πρῶτα ἀνάλαφρα σὰ φύσημα τοῦ ἀνέμου,
πλευρὸ πλευρὸ διαβαίνοντας μὲ τὰ φτερὰ ἁπλωμένα·
μὲ στῆς πολύβοης συντυχιᾶς σὰν ἔφτασαν τὴ μέση,
στριφογυρνοῦν, καὶ μὲ βαρὺ φτερούγιασμα κοιτώντας
πρὸς τὰ κεφάλια τοῦ λαοῦ ματιὲς θανάτου ρίχτουν·
καὶ μὲ νυχιὲς σὰν ἔσκισαν τὰ μοῦτρα, τὰ λαιμά τους,
δεξὰ κινώντας πέρασαν τὶς κατοικιὲς τῆς χώρας.
Θαμάσαν ὅλοι βλέποντας τὰ ὄρνια σὰ φανῆκαν,
κι ὁ νοῦς τους ἀνιστόραγε τὰ μέλλανε νὰ γίνουν.
Ὁ γέρος τότε ἥρωας τοὺς μίλησε Ἁλιθέρσης,
τοῦ Μάστορα, ποὺ πρῶτος τους κρινότανε ὁλονῶνε
στὴ γνώριση τῆς μαντικῆς, στὴν ὁρμηνειὰ τῶν ὄρνιων·
αὐτὸς λοιπὸν καλόγνωμα ξαγόρεψέ τους κι εἶπε·
"Ἀκοῦστε με, ὦ Θιακήσοι ἐσεῖς, καὶ μάλιστα οἱ μνηστῆρες,
τὸ τί ἔχω τώρα νὰ σᾶς πῶ καὶ νὰ σᾶς φανερώσω.
Βαρὺ κακὸ τοὺς ἔρχεται· δὲ δύνεται ὁ Δυσσέας
νὰ μείνη πιὰ πολὺν καιρὸ μακριὰ ἀπὸ τοὺς δικούς του·
σιμὰ ἐδῶ κάπου θάνατο γιὰ τοὺς μνηστῆρες σπέρνει
μὰ κι ἄλλοι μας ἐδῶ πολλοὶ θὰ πάθουμε μαζί τους,

οἳ νεμόμεσθ᾽ Ἰθάκην ἐυδείελον. ἀλλὰ πολὺ πρὶν
φραζώμεσθ᾽, ὥς κεν καταπαύσομεν· οἱ δὲ καὶ αὐτοὶ
παυέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώιόν ἐστιν.
οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ᾽ ἐὺ εἰδώς·
καὶ γὰρ κείνῳ φημὶ τελευτηθῆναι ἅπαντα,
ὡς οἱ ἐμυθεόμην, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ δέ σφιν ἔβη πολύμητις Ὀδυσσεύς.
φῆν κακὰ πολλὰ παθόντ᾽, ὀλέσαντ᾽ ἄπο πάντας ἑταίρους,
ἄγνωστον πάντεσσιν ἐεικοστῷ ἐνιαυτῷ
οἴκαδ᾽ ἐλεύσεσθαι· τὰ δὲ δὴ νῦν πάντα τελεῖται."
Εὐρύμαχος Πολύβου πάϊς ἀντίον ηὔδα·
"ὦ γέρον, εἰ δ᾽ ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν
οἴκαδ᾽ ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω·
ταῦτα δ᾽ ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
ὄρνιθες δέ τε πολλοὶ ὑπ᾽ αὐγὰς ἠελίοιο
φοιτῶσ᾽, οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ Ὀδυσσεὺς
ὤλετο τῆλ᾽, ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνῳ
ὤφελες. οὐκ ἂν τόσσα θεοπροπέων ἀγόρευες,
οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ᾽ ἀνιείης,
σῷ οἴκῳ δῶρον ποτιδέγμενος, αἴ κε πόρῃσιν.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κε νεώτερον ἄνδρα παλαιά τε

ποὺ κατοικιά μας ἔχουμε τὸ ξάστερο τὸ Θιάκι·
τὸ πῶς θᾶ τοῦς μποδίσουμε ἀπὸ τώρα ἂς στοχαστοῦμε,
ἢ ἐτοῦτοι πρῶτοι ἂς πάψουνε· τὶ γιὰ καλό τους εἶναι.
Δὲν προφητεύω ἀνήξερος· κατέχω τὰ ποὺ κρένω·
ἔτσι κι ἐκειοῦ ὅσα μάντεψα ἐγὼ τότες, ὅλα βγῆκαν
ὅταν οἱ Ἀργῖτες ὅλοι τους στοῦ Ἴλιου τὴ χώρα ὁρμοῦσαν,
κι ἀντάμα τους ὁ τρίξυπνος ξεκίναε Ὀδυσσέας.
Θὰ πάθη, τοῦ 'λεγα, πολλά, θὰ χάση τοὺς συντρόφους,
καὶ θὰ γυρίση ἀγνώριστος στὰ εἴκοσι τὰ χρόνια
στὸν τόπο του· καὶ νά, ποὺ αὐτὰ τώρα τοῦ βγαίνουν ὅλα."
Καὶ τοῦ Πολύβου ὁ Εὐρύμαχος ἀντίσκοψε καὶ τοῦ 'πε·
"Σπίτι σου σέρνε, γέρο ἐσύ, καὶ βγάζε τῶν παιδιῶ σου
μαντεῖες, μπὰς καὶ πάθουνε κανὲ κακὸ κατόπι·
προφήτης εἶμ' ἐγὼ σ' αὐτὰ πολὺ καλύτερός σου.
Ὄρνια γυρίζουνε πολλὰ κάτω ἀπ' τὸ φῶς τοῦ ἥλιου,
μὰ δὲ μαντεύουν ὅλα· πάει, χάθη ὁ Δυσσέας στὰ ξένα·
μακάρι ν' ἀφανίζουσαν κι ἐσὺ μαζὶ μ' ἐκεῖνον,
νὰ μὴ μᾶς ψέλνης τώρα ἐδῶ τὶς τόσες μαντικές σου,
κεντώντας ἀδιαφόρετα τὸ χόλιασμα τοῦ γιοῦ του,
μ' ἐλπίδα κι ἴσως σπίτι σου κάποιο σοῦ στείλη δῶρο.
Σοῦ λέω ἐγὼ μιὰ καὶ καλή, κι αὐτὸ ποὺ πῶ τελειέται·
ἐσυ πού ξέρεις τὰ παλιὰ καὶ τὰ πολλά, ἂν

πολλά τε εἰδὼς
παρφάμενος ἐπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν,
αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,
πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶνδε·
σοὶ δέ, γέρον, θωὴν ἐπιθήσομεν, ἥν κ' ἐνὶ θυμῷ
τίνων ἀσχάλλῃς· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
Τηλεμάχῳ δ' ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτός·
μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι·
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἔπεσθαι.
οὐ γὰρ πρὶν παύσεσθαι ὀίομαι υἷας Ἀχαιῶν
μνηστύος ἀργαλέης, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης,
οὔτ' οὖν Τηλέμαχον μάλα περ πολύμυθον ἐόντα,
οὔτε θεοπροπίης ἐμπαζόμεθ', ἣν σύ, γεραιέ,
μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ' ἔτι μᾶλλον.
χρήματα δ' αὖτε κακῶς βεβρώσεται, οὐδέ ποτ' ἶσα
ἔσσεται, ὄφρα κεν ἥ γε διατρίβῃσιν Ἀχαιοὺς
ὃν γάμον· ἡμεῖς δ' αὖ ποτιδέγμενοι ἤματα πάντα
εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ' ἄλλας
ἐρχόμεθ', ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Εὐρύμαχ' ἠδὲ καὶ ἄλλοι, ὅσοι μνηστῆρες ἀγαυοί,

ἐτούτου
τοῦ νέου ἀνάψῃς τὴν ὀργὴ μὲ πλανερά σου λόγια,
πρῶτος αὐτὸς χερότερα θὰ πάθη ἀπ' ἀφορμή σου,
καὶ μήτε ἀπ' αὐτουνοὺς καλὸ δὲ θενὰ δῆ, κι ἐσένα
μὲ πρόστιμο θὰ ψήσουμε βαρύ, ποὺ σὰν πλερώνῃς
ἀπὸ τὸν πόνο, γέρο μου, θενὰ λυσσάξῃ ὁ νοῦς σου.
Καὶ τώρα τὸν Τηλέμαχο μπρὸς σ' ὅλους συβουλεύω

νὰ πῆ τῆς κερὰ μάνας του νὰ σύρῃ στοῦ γονιοῦ της,
κι αὐτοὶ θὰ τὴν παντρέψουνε κι ἀρίφνητα θὰ βγάλουν
προικιά, σὰν ποὺ ταιριάζουνε σὲ κόρη ἀγαπημένη,
Τὶς βαρετές μας προξενειὲς ἀλλιῶς δὲν παραιτοῦμε,
τὶ στάλα δὲ φοβόμαστε κανέναν ἐδῶ πέρα,
μὰ μήτε τὸν Τηλέμαχο μὲ τὰ πολλὰ τὰ λόγια·
κι οὐδὲ ψηφοῦμε, γέροντα, τὶς προφητεῖες ποὺ βγάζεις,
τὶς ἀνωφέλευτες, ποὺ πιὸ σιχαμερὸ σὲ κάνουν.
Τὰ πλούτια του θὰ τρώγουνται κι ἀγύριστα θὰ μνήσκουν,
ὅσο αὐτὴ παίζει τοὺς Ἀχαιούς, τὸ γάμο ἀργοπορώντας·
καὶ πάντα θὰ προσμένουμε καὶ θὰ λογομαχοῦμε
γιὰ τὶς περίσσιες χάρες της, καὶ σ' ἄλλες δὲ θὰ πᾶμε,
ἀπ' ὅσες ταίρια γίνουνται καλὰ τοῦ καθενοῦ μας."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κάνει·
"Εὐρύμαχε, κι οἱ ἄλλοι ἐσεῖς καμαρωτοὶ μνηστῆρες,

ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι οὐδ᾽ ἀγορεύω·
μήτε μιλῶ γι' αὐτὰ ἐγὼ πιά, κι οὐδὲ παρακαλῶ σας·

ἤδη γὰρ τὰ ἴσασι θεοὶ καὶ πάντες Ἀχαιοί.
αὐτὰ τώρα κι οἱ ἀθάνατοι κι οἱ Ἀχαιοὶ τὰ ξέρουν.

ἀλλ᾽ ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ᾽ ἑταίρους,
Παρὰ καράβι γλήγορο κι εἴκοσι δόστε μου ἄντρες,

οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον.
ἀπό 'ναν τόπο σ' ἄλλονα ταξίδι νὰ μὲ πάρουν.

εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
Στὴν Πύλο τὴν ἀμμουδερὴ θὰ σύρω καὶ στὴ Σπάρτη,

νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
τοῦ πλανημένου μου γονιοῦ τὸ γυρισμὸ νὰ μάθω·

ἤν τίς μοι εἴπῃσι βροτῶν ἢ ὄσσαν ἀκούσω
ἢ κάποιος θὰ μοῦ πῆ θνητὸς, ἢ τὴ φωνὴ θ' ἀκούσω

ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισιν·
ποὺ στέλνει ὁ Δίας καὶ στὴ γῆς συχνὰ σκορπάει τὶς φῆμες,

εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω,
Κι ἃ μάθω πὼς ὁ κύρης μου καὶ ζῆ καὶ θὰ γυρίση,

ἦ τ᾽ ἄν, τρυχόμενός περ, ἔτι τλαίην ἐνιαυτόν·
ὡς ἕνα χρόνο, κι ἂς πονῶ, θένα 'παντέξω ἀκόμα·

εἰ δέ κε τεθνηῶτος ἀκούσω μηδ᾽ ἔτ᾽ ἐόντος,
ἂν πάλε πὼς ἀπέθανε καὶ πὼς μοῦ χάθη ἀκούσω,

νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν
γυρίζω πίσω στὰ γλυκὰ λημέρια τῆς πατρίδας,

σῆμά τέ οἱ χεύω καὶ ἐπὶ κτέρεα κτερείξω
τοῦ στήνω μνῆμα, νεκρικὰ πολλὰ τοῦ θέτω δῶρα,

πολλὰ μάλ᾽, ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δώσω."
ὅσα τοῦ πρέπουν, κι ὕστερα παντρεύω καὶ τὴ μάνα."

γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖσι δ᾽ ἀνέστη
Αὐτὰ σὰν εἶπε, κάθισε· κι εὐτὺς σηκώθη ὀμπρός τους

Μέντωρ, ὅς ῥ᾽ Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος,
ὁ Μέντορας ποὺ σύντροφο ὁ λαμπρὸς Δυσσέας τὸν εἶχε,

καὶ οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
καὶ φεύγοντας στὰ χέρια του τὸ σπιτικό του ἀφῆκε,

πείθεσθαί τε γέροντι καὶ ἔμπεδα πάντα φυλάσσειν·
ὅλοι ν' ἀκοῦν τὸ γέροντα, καὶ νὰ φυλάη τὰ πάντα·

ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ἐκεῖνος μὲ καλογνωμιὰ ξαγόρεψέ τους κι εἶπε·

"κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
"Ἀκοῦστε με τὸ τί θὰ πῶ, Θιακήσοι. Πιὰ κανένας

μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
ἂς μὴ μᾶς ἔρθη βασιλιάς, καλόβουλος καὶ δίκιος

σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν
καὶ πρόσχαρος, παρὰ σκληρὸς καὶ

αἴσιμα εἰδώς,
ἀλλ᾽ αἰεὶ χαλεπός τ᾽ εἴη καὶ αἴσυλα ῥέζοι·
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ᾽ ὡς ἤπιος ἦεν.
ἀλλ᾽ ἦ τοι μνηστῆρας ἀγήνορας οὔ τι μεγαίρω
ἔρδειν ἔργα βίαια κακορραφίῃσι νόοιο·
σφὰς γὰρ παρθέμενοι κεφαλὰς κατέδουσι βιαίως
οἶκον Ὀδυσσῆος, τὸν δ᾽ οὐκέτι φασὶ νέεσθαι.
νῦν δ᾽ ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες
ἧσθ᾽ ἄνεῳ, ἀτὰρ οὔ τι καθαπτόμενοι ἐπέεσσι
παύρους μνηστῆρας καταπαύετε πολλοὶ ἐόντες."
τὸν δ᾽ Εὐηνορίδης Λειώκριτος ἀντίον ηὔδα·
"Μέντορ ἀταρτηρέ, φρένας ἠλεέ, ποῖον ἔειπες
ἡμέας ὀτρύνων καταπαυέμεν. ἀργαλέον δὲ
ἀνδράσι καὶ πλεόνεσσι μαχήσασθαι περὶ δαιτί.
εἴ περ γάρ κ᾽ Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
ἐξελάσαι μεγάροιο μενοινήσειε᾽ ἐνὶ θυμῷ,
οὔ κέν οἱ κεχάροιτο γυνή, μάλα περ χατέουσα,
ἐλθόντ᾽, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
εἰ πλεόνεσσι μάχοιτο· σὺ δ᾽ οὐ κατὰ μοῖραν ἔειπες.
ἀλλ᾽ ἄγε, λαοὶ μὲν σκίδνασθ᾽ ἐπὶ ἔργα ἕκαστος,
τούτῳ δ᾽ ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ᾽

κακοπράχτης νά 'ναι,
ἀφοῦ τὸ θεϊκὸ Ὀδυσσέα κανένας δὲ θυμᾶται,
μὲς στὸ λαὸ ποὺ σὰ γονιὸς μ' ἀγάπη τὸν κυβέρνα.
Καὶ δὲ θαμάζουμαι ἐτουνοὺς τοὺς ἄφοβους μνηστῆρες,
ποὺ ἔργατα παράνομα μὲ πονηριὲς σκαρώνουν·
ἂν αὐτοὶ τρῶν καὶ καταλοῦν τοῦ Ὀδυσσέα τὸ σπίτι,
μὲ τὴ ζωή τους παίζουνε, καὶ λὲν πὼς χάθη ἐκεῖνος.
Μὰ ἐσᾶς τοὺς ἄλλους, ποὺ βουβοὶ καθόσαστε, καὶ λόγο
δὲ βγάζετε ἐναντίο τους, νὰ τοὺς καταδαμάστε,
ἐσεῖς οἱ πάμπολλοι, αὐτουνοὺς τοὺς μετρητοὺς μνηστῆρες."
Κι ὁ Λειώκριτος τοῦ Εὐήνορα γυρίζει κι ἀπαντάει του·
"Μέντορα ἐσὺ, κακόμυαλε καὶ κλούβιε, τί φωνάζεις;
Τοὺς λὲς νὰ μᾶς δαμάσουνε, κι ὡς τόσο δύσκολό 'ναι
οἱ λίγοι νὰ χτυπήσουνε πολλοὺς γιὰ φαγοπότι,
Κι ἂν ὁ Θιακήσος Ὀδυσσέας φανερωθῆ ἀπατός του,
κι ἀπὸ τὸν πύργο σοφιστῆ νὰ διώξη τοὺς μνηστῆρες,
ἐκεῖ ποὺ τρωγοπίνουνε τὰ παλληκάρια ἀντάμα,
δὲ θά 'χαιρε ἡ γυναίκα του ποὺ γύρισε ὁ καλός της,
τὶ μαῦρο τέλος θά 'βρισκε ἐκεῖ μέσα πολεμώντας
ἕνας αὐτὸς μὲ τοὺς πολλούς· μὰ ἐσὺ σωστὰ δὲν τά 'πες.
Ἐλατε τώρα ἐσεῖς, παιδιά, σκορπιέστε στὶς δουλειές σας·
ὁ Ἀλιθέρσης τούτονε κι ὁ Μέντορας ἂς

Ἀλιθέρσης,
οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώιοί εἰσιν ἑταῖροι.
ἀλλ᾽ ὀίω, καὶ δηθὰ καθήμενος ἀγγελιάων
πεύσεται εἰν Ἰθάκῃ, τελέει δ᾽ ὁδὸν οὔ ποτε ταύτην."
ὣς ἄρ᾽ ἐφώνησεν, λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὰ πρὸς δώμαθ᾽ ἕκαστος,
μνηστῆρες δ᾽ ἐς δώματ᾽ ἴσαν θείου Ὀδυσῆος.
Τηλέμαχος δ᾽ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ᾽ Ἀθήνῃ·
"κλῦθί μευ, ὃ χθιζὸς θεὸς ἦλυθες ἡμέτερον δῶ
καὶ μ᾽ ἐν νηὶ κέλευσας ἐπ᾽ ἠεροειδέα πόντον
νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο
ἔρχεσθαι· τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοί,
μνηστῆρες δὲ μάλιστα κακῶς ὑπερηνορέοντες."
ὣς ἔφατ᾽ εὐχόμενος, σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"Τηλέμαχ᾽, οὐδ᾽ ὄπιθεν κακὸς ἔσσεαι οὐδ᾽ ἀνοήμων,
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠύ,
οἷος κεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε·
οὔ τοι ἔπειθ᾽ ἁλίη ὁδὸς ἔσσεται οὐδ᾽ ἀτέλεστος.
εἰ δ᾽ οὐ κείνου γ᾽ ἐσσὶ γόνος καὶ Πηνελοπείης,

βάλουν
στὸ δρόμο του, σὰν πού 'ναι δὰ καὶ γονικοί του φίλοι,
Μὰ ἐγὼ θαρρῶ πολὺν καιρὸ θὰ κάθεται στὸ Θιάκι
ν' ἀκούη μαντάτα, καὶ ποτὲς δὲ θὰ χαρῆ ταξίδι.″
Αὐτὰ σὰν εἶπε, σκόρπισε τὴ συντυχιὰ μὲ βιάση.
Καὶ σύρανε στὸ σπίτι του ὁ καθένας, κι οἱ μνηστῆρες
κατὰ τὸν πύργο κίνησαν τοῦ θεϊκοῦ Ὀδυσσέα.
Τότες μακριὰ ὁ Τηλέμαχος στ' ἀκρόγιαλο κατέβη,
τὰ χέρια θαλασσόνιψε, κι ἔκαμε δέηση κι εἶπε·
"Ἄκου μ', ἐσὺ ὁ θεός, ποὺ ἐχτὲς στὸν πύργο ἦρθες καὶ μοῦ 'πες
νὰ πάρω πλοῖο καὶ στ' ἀχνὰ τὰ πέλαα ν' ἀρμενίσω,
νὰ μάθω ἃ γύρισε ὁ γονιὸς ποὺ λείπει τόσους χρόνους,
κι ὅμως μποδίζουν οἱ Ἀχαιοί, καὶ μάλιστα οἱ μνηστῆρες,
πού 'ναι μεγάλη ἡ κάκια τους, περίσσια ἡ περηφάνεια.″
Αυτὰ σὰν προσευκήθηκε, νά, ἡ Ἀθηνᾶ προβάλλει,
μὲ τὴ φωνὴ καὶ τὸ κορμὶ τοῦ Μέντορα ἀντικρύ του,
καὶ συντυχαίνει του, καὶ λέει μὲ φτερωμένα λόγια·
"Τηλέμαχε, ἄναντρο ἢ χαζὸ δὲ θὰ σὲ λὲν κατόπι,
ἂν τοῦ γονιοῦ σου ἡ λεβεντιὰ μέσα σου μνήσκη, κι εἶσαι
τέτοιος πού ἐκεῖνος ἤτανε καὶ σ' ἔργα καὶ σὲ λόγια·
καὶ τότες τὸ ταξίδι σου δὲν πάει χαμένο, θά 'βγη.
Μ' ἂν ἐκεινοῦ δὲν εἶσαι ἐσὺ γιὸς καὶ τῆς Πηνελόπης,

οὐ σέ γ᾽ ἔπειτα ἔολπα τελευτήσειν, ἃ αὐτὰ ποὺ λαχταρᾶς θαρρῶ δὲ θὰ τὰ δῆς νὰ
μενοινᾷς. βγοῦνε.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι Λίγα στὸν κόσμο αὐτὸ παιδιὰ μὲ τοὺς
πατρὶ πέλονται, γονιούς τους μοιάζουν,
οἱ πλέονες κακίους, παῦροι δέ τε χερότεροι εἶναι οἱ πιὸ πολλοὶ, καλύτεροί
πατρὸς ἀρείους. 'ναι λίγοι,
ἀλλ᾽ ἐπεὶ οὐδ᾽ ὄπιθεν κακὸς ἔσσεαι Μὰ ἀφοῦ δὲ θά 'σαι ἐσὺ ἄναντρος μηδὲ
οὐδ᾽ ἀνοήμων, χαζὸς κατόπι,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος κι ἀφοῦ ποτὲς δὲ σ' ἄφησε τοῦ Ὀδυσσέα ἡ
προλέλοιπεν, γνώση,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε μελέτα το πῶς τὰ ἔργα αὐτὰ ἐσὺ θὰ τὰ
ἔργα. τελέσης,
τῶ νῦν μνηστήρων μὲν ἔα βουλήν κι ἀψήφα τους τοὺς ἄμυαλους αὐτοὺς καὶ
τε νόον τε τὶς βουλές τους,
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ τὶ γνώση αὐτοὶ δὲν ἔχουνε καὶ δίκιο δὲ
δίκαιοι· γνωρίζουν·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα δὲν ξέρουν πὼς ὁ θάνατος κι ἡ μαύρη τους
μέλαιναν, ἡ μοῖρα
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ᾽ ἤματι εἶναι κοντὰ, καὶ θὰ τοὺς φάη μονήμερα
πάντας ὀλέσθαι. ὁλονούς τους,
σοὶ δ᾽ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται Καὶ τὸ ταξίδι ποὺ ζητᾶς πολὺ πιὰ δὲ θ'
ἢν σὺ μενοινᾷς· ἀργήση·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ τέτοιος σου φίλος πατρικὸς ἐγώ 'μαι, ποὺ
πατρώιός εἰμι, καράβι
ὅς τοι νῆα θοὴν στελέω καὶ ἄμ᾽ θὰ σοῦ τοιμάσω γλήγορο, κι ἴδιος θὰ ρθῶ
ἕψομαι αὐτός. μαζί σου,
ἀλλὰ σὺ μὲν πρὸς δώματ᾽ ἰὼν Πήγαινε, σμίξε τώρα ἐσὺ μὲ τοὺς
μνηστῆρσιν ὁμίλει, μνηστῆρες σπίτι,
ὄπλισσόν τ᾽ ἤια καὶ ἄγγεσιν ἄρσον προμήθειες μάζωξε πολλές, καὶ σ' ἀγγειὰ
ἅπαντα, μέσα κλεῖσ' τες·
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἅλφιτα, μὲς στὶς λαγῆνες τὸ κρασὶ, τ' ἀλεύρι, τὸ
μυελὸν ἀνδρῶν, μεδούλι
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ᾽ ἀνὰ τοῦ κάθε ἀνθρώπου, σὲ πετσιὰ
δῆμον ἑταίρους σφιχτοραμμένα βάλ' το·
αἶψ᾽ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ κι ἐγὼ πηγαίνω στὸ λαὸ συντρόφους νὰ
δὲ νῆες μαζώξω
πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέαι ἠδὲ νά 'ρθουν ἐθελοντὲς· πολλὰ καράβια ἐδῶ
παλαιαί· στὸ Θιάκι,
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ τις μὰ θὲς καινούρια θὲς παλιά· θὰ βρῶ καὶ θ'
ἀρίστη, ἁρματώσω
ὦκα δ᾽ ἐφοπλίσσαντες ἐνήσομεν ἀπ' ὅλα τὸ πιὸ διαλεχτό· τὸ ρίχτουμε στὸ
εὐρέι πόντῳ." κῦμα,
καὶ βγαίνουμε ἁρμενίζοντας στὰ διάπλατα

ὣς φάτ᾽ Ἀθηναίη κούρη Διός· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
Τηλέμαχος παρέμιμνεν, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
βῆ δ᾽ ἰέναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ,
εὗρε δ᾽ ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν,
αἶγας ἀνιεμένους σιάλους θ᾽ εὓοντας ἐν αὐλῇ.
Ἀντίνοος δ᾽ ἰθὺς γελάσας κίε Τηλεμάχοιο,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρί, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"Τηλέμαχ᾽ ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ.
ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί,
νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
ἐς Πύλον ἠγαθέην μετ᾽ ἀγαυοῦ πατρὸς ἀκουήν."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Ἀντίνο᾽, οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ᾽ ὑμῖν
δαίνυσθαί τ᾽ ἀκέοντα καὶ εὐφραίνεσθαι ἔκηλον.
ἦ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
κτήματ᾽ ἐμά, μνηστῆρες, ἐγὼ δ᾽ ἔτι νήπιος ἦα;
νῦν δ᾽ ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων
πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός,
πειρήσω, ὥς κ᾽ ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω,

πελάγη."

Αὐτὰ σὰν τοῦ εἶπε ἡ Ἀθηνᾶ, τοῦ Δία ἡ κόρη, ἐκεῖνος
ἀσάλευτος δὲν ἔμεινε στὴ θεϊκὴ φωνή της,
μόνε στὸν πύργο κίνησε μὲ σπλάχνα ταραγμένα,
καὶ βρῆκε τοὺς λεβέντηδες μνηστῆρες στὸ παλάτι·
γδέρνανε γίδια στὴν αὐλὴ καὶ χοίρους καψαλίζαν.
Ἦρθε ἴσια στὸν Τηλέμαχο γελώντας ὁ Ἀντίνος,
καὶ τοῦ 'πιασε τὸ χέρι του, κι ὀνόμασέ τον κι εἶπε·
"Μωρὲ Τηλέμαχε λογά, ἀχαλίνωτε, μὴ βάζης
στὸ νοῦ σου τίποτις κακό, μήτ' ἔργο, μήτε λόγο,
μόν' κάθισε νὰ φᾶς νὰ πιῆς σὰν πρῶτα. Κι ὅλα ἐτοῦτα
θὰ σοῦ τὰ βροῦν οἱ Ἀχαιοί, καράβι, λαμνοκόπους
καλούς, νὰ φτάσης γλήγορα στὴ βλογημένη Πύλο,
καὶ νὰ γυρέψης ἄκουσμα τοῦ ξέλαμπρου γονιοῦ σου."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπολογήθη κι εἶπε·
"Ἄντίνο, δὲν μπορῶ μ' ἐσᾶς τοὺς περηφανεμένους
σὲ φαγοπότια νὰ γλεντῶ χαζὸς καὶ δίχως ἔννοια.
Τάχα δὲ σώνει ποὺ ὅλοι ἐσεῖς τ' ἀρίφνητα καλά μου
σκορπίστε τα σὰν ἤμουνα μωρὸ παιδί; μὰ τώρα
ποὺ ἀντρώθηκα, κι ἀκούγοντας ἀπ' ἀλλονοὺς μαθαίνω,
κι ὅσο πηγαίνει μέσα μου ἡ ψυχή μου δυναμώνει,
μοῖρα κακὴ θ' ἀγωνιστῶ κι ἐγὼ σ' ἐσᾶς νὰ φέρω,

ἠὲ Πύλονδ᾽ ἐλθών, ἢ αὐτοῦ τῷδ᾽ ἐνὶ δήμῳ.
εἶμι μέν, οὐδ᾽ ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω,
ἔμπορος· οὐ γὰρ νηὸς ἐπήβολος οὐδ᾽ ἐρετάων
γίγνομαι· ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι."
ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσατ᾽ Ἀντινόοιο
ῥεῖα· μνηστῆρες δὲ δόμον κάτα δαῖτα πένοντο.
οἱ δ᾽ ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν.
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει.
ἦ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος
ἢ ὅ γε καὶ Σπάρτηθεν, ἐπεί νύ περ ἵεται αἰνῶς·
ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει, πίειραν ἄρουραν,
ἐλθεῖν, ὄφρ᾽ ἔνθεν θυμοφθόρα φάρμακ᾽ ἐνείκῃ,
ἐν δὲ βάλῃ κρητῆρι καὶ ἡμέας πάντας ὀλέσσῃ."
ἄλλος δ᾽ αὖτ᾽ εἴπεσκε νέων ὑπερηνορεόντων·
"τίς δ᾽ οἶδ᾽, εἴ κε καὶ αὐτὸς ἰὼν κοίλης ἐπὶ νηὸς
τῆλε φίλων ἀπόληται ἀλώμενος ὥς περ Ὀδυσσεύς;
οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον ἄμμιν·
κτήματα γάρ κεν πάντα δασαίμεθα, οἰκία δ᾽ αὖτε
τούτου μητέρι δοῖμεν ἔχειν ἠδ᾽ ὅς τις ὀπυίοι."
ὣς φάν, ὁ δ᾽ ὑψόροφον θάλαμον κατεβήσετο πατρὸς
εὐρύν, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς

εἴτε στὴν Πύλο τραβηχτῶ, ἢ μείνω ἐδῶ στὸ Θιάκι,
Θὰ πάω — κι ὄχι ἀνώφελο ταξίδι αὐτὸ — περάτης,
ἀφοῦ δικά μου πλοῖα ἐγώ, δικούς μου λαμνοκόπους
δὲν ἔχω, καὶ τὸ κρίνατε κι ἐσεῖς ἐτοῦτο κάλλιο."
Εἶπε, καὶ σιγοτράβηξε τὸ χέρι ἀπὸ τ' Ἀντίνου
τὴν ἀπαλάμη. Στρώνοντας οἱ ἄλλοι τὰ τραπέζια
μὲ λόγια τὸν κεντούσανε καὶ τόνε περγελοῦσαν,
κι ἀπὸ τοὺς ξιππασμένους νιοὺς ἕνας αὐτὰ λαλοῦσε·
"Καὶ βέβαια κάποιο φονικὸ ὁ Τηλέμαχος σκαρώνει,
Πηγαίνει ὡς τὴν ἀμμουδερὴ τήν Πύλο κι ὡς στὴ Σπάρτη,
βοηθοὺς νὰ φέρῃ· μέσα του πάθος μεγάλο βράζει·
ἴσως κι ὡς στὴν παχειὰ τὴ γῆς τῆς Ἔφυρας τραβήξῃ,
κι ἀπὸ κεῖ πέρα βότανα θανατερὰ μᾶς φέρῃ,
καὶ στὸ κροντήρι ρίξῃ τα κι ὅλους ἐδῶ μᾶς σβήσῃ."
Καὶ κάποιος ἄλλος πάλε ἐκεῖ τοὺς εἶπε ξιππασμένος
"Ποιός ξέρει ἂ δὲ μᾶς βγῆ κι αὐτὸς μὲ κουφωτὸ καράβι
καὶ σὰν τὸν Ὀδυσσέα χαθῆ μακριὰ ἀπὸ κάθε φίλο;
Ὁ κόπος θά 'τανε γιὰ μᾶς σὰν πιὸ πολὺς ἀλήθεια,
γιατὶ θὰ μοιραζόμασταν τὸ ἔχει του, κι ἡ μάνα
τὸ σπίτι θά 'χε μὲ ὅποιονα τὴν ἔπαιρνε γυναίκα."
Καὶ στοῦ γονιοῦ ὁ Τηλέμαχος τὸ θάλαμο κατέβη
τὸν ἀψηλὸ καὶ διάπλατο, πὄχε σωροὺς

ἔκειτο
ἐσθής τ᾽ ἐν χηλοῖσιν ἅλις τ᾽ ἐυῶδες ἔλαιον·
ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
ἕστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες,
ἑξείης ποτὶ τοῖχον ἀρηρότες, εἴ ποτ᾽ Ὀδυσσεὺς
οἴκαδε νοστήσειε καὶ ἄλγεα πολλὰ μογήσας.
κληισταὶ δ᾽ ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι,
δικλίδες· ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ
ἔσχ᾽, ἣ πάντ᾽ ἐφύλασσε νόου πολυϊδρείῃσιν,
Εὐρύκλει᾽, Ὦπος θυγάτηρ Πεισηνορίδαο.
τὴν τότε Τηλέμαχος προσέφη θαλαμόνδε καλέσσας·
"μαῖ᾽, ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
ἡδύν, ὅτις μετὰ τὸν λαρώτατος ὃν σὺ φυλάσσεις
κεῖνον ὀιομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
δώδεκα δ᾽ ἔμπλησον καὶ πώμασιν ἄρσον ἅπαντας.
ἐν δέ μοι ἄλφιτα χεῦον ἐϋρραφέεσσι δοροῖσιν·
εἴκοσι δ᾽ ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς.
αὐτὴ δ᾽ οἴη ἴσθι· τὰ δ᾽ ἀθρόα πάντα τετύχθω·
ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
μήτηρ εἰς ὑπερῷ᾽ ἀναβῇ κοίτου τε μέδηται.
εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα

χρυσάφι
καὶ χάλκωμα, καὶ σεντουκιὲς φορέματα καὶ μῦρα,
καὶ ποὺ γλυκόπιοτο παλιὸ κρασὶ πολλὰ πιθάρια
στεκόντουσαν ὁλόγεμα μὲ ἀγνὸ πιοτὸ καὶ θεῖο,
στὸν τοῖχο ἀράδα κολλητά, ἴσως κι ἐρθῆ μιὰ μέρα
πάλε ὁ Δυσσέας στὸν τόπο του, τὰ πάθια του σὰν πάψουν.
Σφιχτὰ δυὸ σανιδόφυλλα σφαλνούσανε τὴ θύρα,
καὶ μέρα νύχτα βρίσκουνταν κελάρισσα γυναίκα,
ποὺ καθετὶς νοιαζότανε μὲ νοικοκυροσύνη,
ἡ Εὐρύκλεια, τοῦ Ὤπα γέννημα, τοῦ γιοῦ τοῦ Πεισηνόρη,
Τὴν ἔκραξε ὁ Τηλέμαχος ἐκεῖ, κι αὐτὰ τῆς εἶπε·
“Ἔλα, ὦ γριά, κρασὶ γλυκὸ μὲς στὶς λαγῆνες χῦσε,
τὸ νόστιμο, ὕστερ' ἀπ' αὐτὸ ποὺ ἐσὺ φυλάεις γιὰ κεῖνον
τὸν ἄμοιρο, τὸ θεόσπαρτο Ὀδυσσέα, ποὺ τὸ ἐλπίζει
μιὰ μέρα πὼς θὰ ξαναρθῆ, τὸ θάνατο ἂν ξεφύγη.
Δώδεκα γέμισε ἀπ' αὐτὲς καὶ καλοστούπωσέ τις,
βάλε καὶ στὰ καλόραφτα δερμάτια μέσα ἀλεύρι,
εἴκοσι μέτρα κάμε τα καρπὸ μυλαλεσμένο,
καὶ ξέρε τα μονάχη σου. Κι ὅλα μαζὶ νὰ τά 'χῃς,
τὶ θά 'ρθω ἀποσπερῆς ἐγὼ νὰ τὰ σηκώσω, ἡ μάνα
σὰν ἀνεβῆ στ' ἀνώγι της τὴ νύχτα νὰ πλαγιάση.
Στὴν Πύλο τὴν ἀμμουδερὴ θὰ σύρω, καὶ στὴ Σπάρτη,

νόστον πευσόμενος πατρὸς φίλου, ἦν που ἀκούσω."
ὣς φάτο, κώκυσεν δὲ φίλη τροφὸς Εὐρύκλεια,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
"τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα
ἔπλετο; πῇ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν
μοῦνος ἐὼν ἀγαπητός; ὁ δ' ὤλετο τηλόθι πάτρης
διογενὴς Ὀδυσεὺς ἀλλογνώτῳ ἐνὶ δήμῳ.
οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω,
ὥς κε δόλῳ φθίῃς, τάδε δ' αὐτοὶ πάντα δάσονται.
ἀλλὰ μέν' αὖθ' ἐπὶ σοῖσι καθήμενος· οὐδέ τί σε χρὴ
πόντον ἐπ' ἀτρύγετον κακὰ πάσχειν οὐδ' ἀλάλησθαι."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"θάρσει, μαῖ', ἐπεὶ οὔ τοι ἄνευ θεοῦ ἥδε γε βουλή.
ἀλλ' ὄμοσον μὴ μητρὶ φίλῃ τάδε μυθήσασθαι,
πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ."
ὣς ἄρ' ἔφη, γρῆυς δὲ θεῶν μέγαν ὅρκον ἀπώμνυ.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν,
ἐν δέ οἱ ἄλφιτα χεῦεν ἐϋρραφέεσσι δοροῖσι.
Τηλέμαχος δ' ἐς δώματ' ἰὼν

τοῦ ἀγαπημένου μου γονιοῦ τὸ γυρισμὸ ἴσως μάθω."
Ἔτσ' εἶπε, καὶ ξεφώνισε ἡ Εὐρύκλεια ἡ παραμάνα,
καὶ κλαίγοντας του λάλησε μὲ φτερωμένα λόγια·
"Πῶς μπῆκε τέτοιος λογισμός, παιδάκι μου, στὸ νοῦ σου;
καὶ πῶς θὰ πᾶ νὰ πλανηθῇς μαθὲ στῆς γῆς τὴν ἄκρη
ἐσὺ τ' ἀκριβοπαίδι μας; Ἐκεῖνος πάει πιά, χάθη,
ὁ κύρης σου ὁ διογέννητος, στὰ μακρινὰ τὰ ξένα.
Ἅμα ἐσὺ φύγῃς, ὅλοι αὐτοὶ θὰ σοφιστοῦνε τρόπο
νὰ σὲ χαλάσουν ἄξαφνα, καὶ νὰ τὰ μοιραστοῦνε.
Στὸ σπίτι μέσα σύχαζε, τὶ δὲ σοῦ πρέπει ἐσένα
στ' ἀτρύγητο τὸ πέλαγο νὰ δέρνεσαι γυρνώντας."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κάνει·
"Θάρρος· δὲν εἶν' αὐτά, ὦ γριά, χωρὶς θεοῦ συνέργεια,
Ὅμως, ν' ἀμώσῃς πὼς ἐσὺ λόγο δὲ λὲς τῆς μάνας,
ἐντέκατη ἢ δωδέκατη ὡσότου νά 'ρθη μέρα,
ἢ πρὶ γυρέψῃ νὰ μὲ δῇ, καὶ μάθῃ πιὰ πὼς λείπω,
γιὰ νὰ μὴν κλαίγῃ καὶ χαλνάῃ τὴν ὄμορφή της ὄψη."
Αὐτὰ εἶπε της καὶ τοῦ 'βαλε ἡ γριὰ μεγάλον ὅρκο.
Καὶ στοὺς θεοὺς σὰν ἄμωσε, καὶ πῆρε ὁ ὅρκος τέλος,
ἔβγαλε κι ἔχυσε κρασὶ στὶς δώδεκα λαγῆνες,
καὶ στὰ καλόραφτα ἔβαλε δερμάτια μέσα ἀλεύρι·
καὶ τότες ὁ Τηλέμαχος ξανάρθε στοὺς

μνηστῆρσιν ὁμίλει.
ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη.
Τηλεμάχῳ ἐικυῖα κατὰ πτόλιν ᾤχετο πάντῃ,
καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον,
ἐσπερίους δ᾽ ἐπὶ νῆα θοὴν ἀγέρεσθαι ἀνώγει.
ἡ δ᾽ αὖτε Φρονίοιο Νοήμονα φαίδιμον υἱὸν
ἤτεε νῆα θοήν· ὁ δέ οἱ πρόφρων ὑπέδεκτο.
τότε νῆα θοὴν ἅλαδ᾽ εἴρυσε, πάντα δ᾽ ἐν αὐτῇ
ὅπλ᾽ ἐτίθει, τά τε νῆες ἐύσσελμοι φορέουσι.
στῆσε δ᾽ ἐπ᾽ ἐσχατιῇ λιμένος, περὶ δ᾽ ἐσθλοὶ ἑταῖροι
ἀθρόοι ἠγερέθοντο· θεὰ δ᾽ ὤτρυνεν ἕκαστον.
ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη.
βῆ ἰέναι πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο·
ἔνθα μνηστήρεσσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευε,
πλάζε δὲ πίνοντας, χειρῶν δ᾽ ἔκβαλλε κύπελλα.
οἱ δ᾽ εὖδειν ὤρνυντο κατὰ πτόλιν, οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἧατ᾽, ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη
ἐκπροκαλεσσαμένη μεγάρων ἐὺ ναιεταόντων,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
"Τηλέμαχ᾽, ἤδη μέν τοι ἐυκνήμιδες ἑταῖροι

μνηστῆρες.
Κατόπι ἡ γαλανόματη ἡ θεὰ σοφίστηκε ἄλλο·
μ' ὄψη σὰν τοῦ Τηλέμαχου γυρνώντας μὲς στὴ χώρα,
τοὺς ἄγουρους ἀντάμωσε, καὶ μίλαε τοῦ καθένα,
καλώντας τους στ' ἀκρόγιαλο νὰ κατεβοῦν τὸ βράδυ,
κι ἀπὸ τοῦ Φρόνη τὸ παιδὶ ζητάει γοργὸ καράβι,
τὸν ξακουστὸ Νοήμονα, ποὺ τό 'ταξέ του ἀμέσως.
Κι ὁ ἥλιος σὰ βασίλεψε κι ἀπόσκιασαν οἱ δρόμοι,
τὸ πλοῖο ρίχτει στὸ γιαλό, καὶ μέσα τ' ἄρμενά του,
καθὼς τὰ καλοσκάρωτα καράβια τά 'χουν πάντα,
καὶ στὸ λιμάνι τ' ἄραξε· γύρω οἱ λεβέντες νέοι
μαζώχτηκαν, κι ἡ Ἀθηνᾶ τοὺς ἔδινε ὅλους θάρρος.
Καὶ πάλε ἡ γαλανόματη ἡ θεὰ σοφίστηκε ἄλλα·
κατὰ τὸν πύργο κίνησε τοῦ θεϊκοῦ Ὀδυσσέα,
καὶ τοὺς μνηστῆρες περεχάει μὲ ὕπνο γλυκό, καὶ ζάλη
τοὺς φέρνει ἐκεῖ ποὺ πίνουνε, καὶ ρίχτουν τὰ ποτήρια,
καὶ νὰ πλαγιάσουν ξεκινοῦν ἐδῶ κι ἐκεῖ στὴ χώρα·
δὲν ἄργησαν, τὶ βάραινε τὰ βλέφαρά τους ὁ ὕπνος.
Καὶ τοῦ εἶπε τοῦ Τηλέμαχου ἡ θεὰ ἡ γαλανομάτα,
καλώντας τον ἀπέξωθε τοῦ ὡριοχτισμένου πύργου,
καὶ μοιάζοντας τοῦ Μέντορα, λαλιὰ συνάμα κι ὄψη·
"Τηλέμαχε, οἱ χαλκόποδοι οἱ συντρόφοι σου ἐκεῖ κάτου

ἥατ᾽ ἐπήρετμοι τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
ἀλλ᾽ ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο."
ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο Παλλὰς Ἀθήνη
καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
εὗρον ἔπειτ᾽ ἐπὶ θινὶ κάρη κομόωντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέειφ᾽ ἱερὴ ἴς Τηλεμάχοιο·
"δεῦτε, φίλοι, ἦια φερώμεθα· πάντα γὰρ ἤδη
ἀθρό᾽ ἐνὶ μεγάρῳ. μήτηρ δ᾽ ἐμὴ οὔ τι πέπυσται,
οὐδ᾽ ἄλλαι δμωαί, μία δ᾽ οἴη μῦθον ἄκουσεν."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο.
οἱ δ᾽ ἄρα πάντα φέροντες ἐυσσέλμῳ ἐπὶ νηὶ
κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
ἂν δ᾽ ἄρα Τηλέμαχος νηὸς βαῖν᾽, ἦρχε δ᾽ Ἀθήνη,
νηὶ δ᾽ ἐνὶ πρυμνῇ κατ᾽ ἄρ᾽ ἕζετο· ἄγχι δ᾽ ἄρ᾽ αὐτῆς
ἕζετο Τηλέμαχος. τοὶ δὲ πρυμνήσι᾽ ἔλυσαν,
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον.
τοῖσιν δ᾽ ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
ἀκραῆ Ζέφυρον, κελάδοντ᾽ ἐπὶ οἴνοπα πόντον.
Τηλέμαχος δ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
ὅπλων ἅπτεσθαι· τοὶ δ᾽ ὀτρύνοντος ἄκουσαν.
ἱστὸν δ᾽ εἰλάτινον κοίλης ἔντοσθε προσμένουν ὅλοι στὸ κουπί, τὴν προσταγὴ νὰ δώσης·
πᾶμε κι ἐμεῖς νὰ σμίξουμε, κι ἂς μὴν ἀργοποροῦμε."
Αὐτὰ σὰν εἶπε ἡ Ἀθηνᾶ, ξεκίνησε αὐτὴ πρώτη,
γοργά, κι ἀκολουθοῦσε ὁ νιὸς στῆς θέϊσσας τ' ἀχνάρια.
Καὶ στὸ γιαλὸ σὰ φτάσανε, ποὺ ἀπάντεχε τὸ πλοῖο,
ἐκεῖ τοὺς μακρομάλληδες συντρόφους ἀνταμῶσαν,
κι ὁ δυνατὸς Τηλέμαχος αὐτὰ τοὺς συντυχαίνει·
"Πᾶμε, παιδιά, νὰ φέρουμε ἐδῶ κάτου τὶς προμήθειες·
ὅλες στὸν πύργο βρίσκουνται· ἡ μάνα ὅμως δὲν ξέρει
μήτ' ἄλλη δούλα, ἐξὸν ἡ μιὰ ποὺ τ' ἄκουσε ἀπὸ μένα."
Εἶπε, καὶ πρῶτος κίνησε, κι οἱ ἄλλοι ἀκολουθοῦσαν,
Καὶ στὸ γιαλὸ τὰ φέρανε, καὶ μὲς στὸ πλοῖο τὰ θέσαν,
σὰν ποὺ εἶπε καὶ παράγγειλε τοῦ Ὀδυσσέα ὁ γιόκας.
Κι ἀνέβηκε ὁ Τηλέμαχος στὸ πλεούμενο· κυβέρνα
ἡ Ἀθηνᾶ καθούμενη στὴν πρύμνη του· σιμά της
κι ἐκεῖνος κάθισε· ἔλυσαν τὰ παλαμάρια οἱ ἄλλοι,
ὕστερ' ἀνέβηκαν κι αὐτοὶ καὶ στὰ ζυγὰ καθίσαν,
Καὶ τότες πρύμο στέλνει τους ἡ θεὰ ἡ γαλανομάτα,
τὸ Ζέφυρο ποὺ ἀχολογᾶ στὰ μαῦρα πέλαα πάνω.
Καὶ πρόσταξε ὁ Τηλέμαχος καλώντας τοὺς συντρόφους
νὰ πιάσουν τ' ἅρμενα· ἄκουσαν αὐτοὶ τὴν προσταγή του.
Κατάρτι ἔλατο ἔστησαν καὶ μπήξανέ το

μεσόδμης
στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
ἕλκον δ᾽ ἱστία λευκὰ ἐυστρέπτοισι βοεῦσιν.
ἔπρησεν δ᾽ ἄνεμος μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
στείρῃ πορφύρεον μεγάλ᾽ ἴαχε νηὸς ἰούσης·
ἡ δ᾽ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
δησάμενοι δ᾽ ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν
στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο,
λεῖβον δ᾽ ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν,
ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
παννυχίη μέν ῥ᾽ ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον.

μέσα
στὸ μεσοδόκι τὸ σκαφτό, τὸ δέσανε μὲ ξάρτια,
καὶ μὲ καλόστριφτα λουριὰ τ' ἄσπρα παννιὰ τραβῆξαν.
Φούσκωσε ὁ ἀγέρας τὸ πανὶ στὴ μέση, καὶ τὸ κῦμα
πὰς στὸ κοράκι βρόνταγε καθὼς γοργὰ σκιζόταν·
κι ἔκοβε δρόμο κι ἔτρεχε στὸ πέλαο τὸ καράβι,
Καὶ τ' ἄρμενα σὰ δέσανε στὸ μελανὸ σκαφί του,
κροντῆρια στῆσαν, καὶ κρασὶ καλογεμίζοντάς τα
γιὰ τοὺς ἀθάνατους θεοὺς καὶ τοὺς αἰώνιους χῦναν,
μὰ γιὰ τὴ γαλανόματη κόρη τοῦ Δία πρῶτα.
Κι ὁλονυχτὶς καὶ τὴν αὐγὴ ἔπαιρνε δρόμο ἐκεῖνο,

Ὁμήρου Ὀδύσσεια

Ραψωδία γ

Τὰ ἐν Πύλῳ.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

Ἠέλιος δ᾽ ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
οὐρανὸν ἐς πολύχαλκον, ἵν᾽ ἀθανάτοισι φαείνοι
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
οἱ δὲ Πύλον, Νηλῆος ἐυκτίμενον πτολίεθρον,
ἵξον· τοὶ δ᾽ ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον,
ταύρους παμμέλανας, ἐνοσίχθονι κυανοχαίτῃ.
ἐννέα δ᾽ ἕδραι ἔσαν, πεντακόσιοι δ᾽ ἐν ἑκάστῃ

Τὴν ὥρια ὅταν ἀφήνοντας τὴ λίμνη ἀνέβη ὁ ἥλιος
πρὸς τὸν ὁλόχαλκο οὐρανὸ σὲ ἀθάνατους νὰ φέξῃ,
καὶ στοὺς ἀνθρώπους τοὺς θνητοὺς τῆς γῆς τῆς θροφοδότρας,
σὲ χώρα φτάναν ὄμορφη, στὴν Πύλο τοῦ Νηλέα.
Κόσμος ἐκεῖ στ' ἀκρόγιαλα προσφέρνανε θυσίες,
ταύρους ὁλόμαυρους στῆς γῆς τὸ σείστη Ποσειδώνα.
Καθόντανε παρέες ἐννιά, νομάτοι πεντακόσοι

ἥατο καὶ προύχοντο ἑκάστοθι ἐννέα ταύρους.
εὖθ' οἱ σπλάγχνα πάσαντο, θεῷ δ' ἐπὶ μηρί' ἔκαιον,
οἱ δ' ἰθὺς κατάγοντο ἰδ' ἱστία νηὸς ἐίσης
στεῖλαν ἀείραντες, τὴν δ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί·
ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη.
τὸν προτέρη προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς, οὐδ' ἠβαιόν·
τοὔνεκα γὰρ καὶ πόντον ἐπέπλως, ὄφρα πύθηαι
πατρός, ὅπου κύθε γαῖα καὶ ὅν τινα πότμον ἐπέσπεν.
ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο·
εἴδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε.
λίσσεσθαι δέ μιν αὐτός, ὅπως νημερτέα εἴπῃ·
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Μέντορ, πῶς τ' ἄρ' ἴω; πῶς τ' ἄρ προσπτύξομαι αὐτόν;
οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι."
τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ ὀίω
οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε."
ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς

στὴν καθεμιά, καὶ ταῦροι ἐννιὰ στὴν καθεμιὰ σφαζόνταν.
Κι ὡσπου τὰ σπλάχνα νὰ γευτοῦν καὶ τὰ μεριὰ νὰ κάψουν
γιὰ τὸ θεό, αὐτοὶ μπαίνανε καὶ τὰ πανιὰ μαζῶναν,
Καὶ στάθη τὸ καλόφτιαστο καράβι, κι ὄξω βγῆκαν,
καὶ βγῆκε κι ὁ Τηλέμαχος τὴν Ἀθηνᾶ ἀκλουθώντας.
Πρώτη τὸ λόγο ἀρχίνησε ἡ θεὰ ἡ γαλανομάτα·
"Δὲν πρέπει ἐσὺ πιὰ ντροπαλός, Τηλέμαχέ μου, νά 'σαι
γι' αὐτὸ τὰ πέλαα πέρασες, νὰ μάθης, τὸ γονιό σου
ποιό χῶμα τόνε σκέπασε, ποιά μοῖρα τόνε βρῆκε.
Σῦρε στ' ἀλογοδαμαστῆ τοῦ Νέστορα ἴσια τώρα,
νὰ δοῦμε σὰν τί στοχασμοὺς μὲς στὴν καρδιά του κρύβει.
Καὶ παρακάλειε τον ἐσὺ μὲ ἀλήθεια νὰ μιλήση,
ἀγκαλὰ ψέμα δὲ θὰ πῆ, γιατὶ ἔχει γνώση ἐκεῖνος."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κάνει·
"Μέντορα, πῶς νὰ πάω μαθὲς καὶ νὰ τοῦ προσμιλήσω,
ποὺ ἀκόμα εἶμ' ἀσυνήθιστος στὰ σοβαρὰ τὰ λόγια;
Νέος μεγάλο νὰ ρωτάη τό 'χει ντροπῆς ἀλήθεια."
Κι ἡ γαλανόματη Ἀθηνᾶ τοῦ ἀπολογήθη κι εἶπε·
"Τηλέμαχε, ἄλλα θὰ τὰ βρῆς μονάχος μὲ τὸ νοῦ σου,
ἄλλα ὁ θεὸς θὰ σοῦ τὰ πῆ· τὶ ἡ μάνα σου δὲ θά 'χη
γεννήσει κι ἀναθρέψει σε χωρὶς θεοῦ συμπόνια."
Εἶπε, κι ὀμπρὸς ἡ Ἀθηνᾶ ξεκίνησε μὲ

Ἀθήνη
καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
ἵξον δ᾽ ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας,
ἔνθ᾽ ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν, ἀμφὶ δ᾽ ἑταῖροι
δαῖτ᾽ ἐντυνόμενοι κρέα τ᾽ ὤπτων ἄλλα τ᾽ ἔπειρον.
οἱ δ᾽ ὡς οὖν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
χερσίν τ᾽ ἠσπάζοντο καὶ ἑδριάασθαι ἄνωγον.
πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
ἀμφοτέρων ἕλε χεῖρα καὶ ἵδρυσεν παρὰ δαιτὶ
κώεσιν ἐν μαλακοῖσιν ἐπὶ ψαμάθοις ἁλίῃσιν
πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι ᾧ·
δῶκε δ᾽ ἄρα σπλάγχνων μοίρας, ἐν δ᾽ οἶνον ἔχευεν
χρυσείῳ δέπαϊ· δειδισκόμενος δὲ προσηύδα
Παλλάδ᾽ Ἀθηναίην κούρην Διὸς αἰγιόχοιο·
"εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.

αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστί,
δὸς καὶ τούτῳ ἔπειτα δέπας μελιηδέος οἴνου
σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀίομαι ἀθανάτοισιν
εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ᾽ ἄνθρωποι.
ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ᾽ ἐμοὶ αὐτῷ·

βιάση,
καὶ πίσωθε στ' ἀχνάρια της ἀκολουθοῦσε ἐκεῖνος,
Καὶ φτάσανε στῶν Πυλιωτῶν τὰ πανηγύρια μέσα,
ποὺ μὲ τοὺς γιούς του ἐκεῖ μαζὶ κι ὁ Νέστορας καθόταν,
κι ὁλόγυρα οἱ συντρόφοι του τοιμάζαν τὸ γιορτάσι,
μέρος κρεάσια ψήνοντας, μέρος σουβλίζοντάς τα,
Κι ἅμα τοὺς ξένους γνάντεψαν, ἀντάμα ὅλοι κινοῦνε,
καὶ σφίγγοντας τὰ χέρια τους καλοῦν τους νὰ καθίσουν.
Πρῶτος ὁ γιὸς τοῦ Νέστορα ὁ Πεισίστρατος ζυγώνει,
παίρνει τὸ χέρι τῶν δυονῶν, τοὺς φέρνει στὸ τραπέζι
κι ἀπὰς σὲ μαλακὲς προβιὲς στὸν ἄμμο τοὺς καθίζει,
τοῦ Θρασυμήδη τοῦ ἀδελφοῦ καὶ τοῦ γονιοῦ του δίπλα.
Ἀπὸ τὰ σπλάχνα δίνει τους μερίδες, τοὺς γεμίζει
χρυσὸ ποτήρι μὲ κρασὶ, καὶ χαιρετώντας κράζει
στὴν κόρη τοῦ αἰγιδόσκεπου καὶ Δία, τὴν Παλλάδα·
"Εὐκήσου τώρα, ὦ ξένε μου, στὸ μέγα Ποσειδώνα,
ποὺ στὴ γιορτή του τύχατε δωπέρα νὰ βρεθῆτε.
Κι ὄντας τοῦ χύσης κι εὐκηθῆς, καθὼς εἶναι συνήθεια,
δὸς τὸ ποτήρι καὶ τοῦ νιοῦ, γλυκὸ κρασὶ νὰ χύση,
τὶ τούς ἀθάνατους κι αὐτὸς θὰ προσκυνάη· οἱ ἀνθρῶποι
ἀνάγκη πάντα τῶν θεῶν τῶν Ὀλυμπήσων ἔχουν.
Ὅμως αὐτὸς μικρότερος κι ὁμήλικός μου ὄντας,

τοὔνεκα σοὶ προτέρῳ δώσω χρύσειον ἄλεισον."
ὣς εἰπὼν ἐν χειρὶ τίθει δέπας ἡδέος οἴνου·
χαῖρε δ᾽ Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ,
οὕνεκα οἷ προτέρῃ δῶκε χρύσειον ἄλεισον·
αὐτίκα δ᾽ εὔχετο πολλὰ Ποσειδάωνι ἄνακτι·
"κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς
ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
αὐτὰρ ἔπειτ᾽ ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν
σύμπασιν Πυλίοισιν ἀγακλειτῆς ἑκατόμβης.
δὸς δ᾽ ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι,
οὕνεκα δεῦρ᾽ ἱκόμεσθα θοῇ σὺν νηὶ μελαίνῃ."
ὣς ἄρ᾽ ἔπειτ᾽ ἠρᾶτο καὶ αὐτὴ πάντα τελεύτα.
δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον·
ὣς δ᾽ αὔτως ἠρᾶτο Ὀδυσσῆος φίλος υἱός.

οἱ δ᾽ ἐπεί ὤπτησαν κρέ᾽ ὑπέρτερα καὶ ἐρύσαντο,
μοίρας δασσάμενοι δαίνυντ᾽ ἐρικυδέα δαῖτα.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·

"νῦν δὴ κάλλίον ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι
ξείνους, οἱ τινές εἰσιν, ἐπεὶ τάρπησαν

τὸ ἐσένα πρῶτα δίνω σου τ' ὁλόχρυσο ποτήρι."
Αὐτὰ εἶπε, καὶ στὰ χέρια του τὸ κρασατάσι δίνει.
Κι ἡ Ἀθηνᾶ τὸ χάρηκε ποὺ ὁ γνωστικὸς λεβέντης
ἐκείνης πρώτης τό 'δωσε τ' ὁλόχρυσο ποτήρι.
Κι ἔκανε ἀμέσως προσευκὴ τοῦ μέγα Ποσειδώνα·
"Ἄκου μας, κοσμοζώστη θεέ, μήν ἀρνηθῆς μας τὰ ὅσα
παρακαλοῦμε νὰ γενοῦν. Καὶ πρῶτα χάριζε τους
καλοτυχιὰ τοῦ Νέστορα καὶ τῶν παιδιῶν του ἀντάμα·
δίνε ὕστερα πολύχαρη στοὺς ἄλλους τοὺς Πυλιῶτες
τὴν πλερωμὴ γιὰ τὴ λαμπρὴ ἑκατοβοδιά τους τούτη.
Δίνε καὶ τοῦ Τηλέμαχου κι ἐμένανε κατόπι
καλὸ πατρίδας γυρισμό, σὰν τελεστοῦνε τὰ ὅσα
ἐδῶ νὰ πράξουμε ἤρθαμε μὲ τὸ γοργὸ καράβι."
Κι αὐτὰ ποὺ προσευκότανε μονάχη τὰ τελοῦσε·
προσφέρνει τοῦ Τηλέμαχου τὸ δίχερο ποτήρι,
καὶ τοῦ Δυσσέα ὁ ἀκριβογιὸς προσεύκεται κι ἐκεῖνος.
Καὶ σάνε ψῆσαν κι ἔσυραν τ' ἀπόξωθε κοψίδια,
τὰ μοίρασαν κι ἀρχίσανε τ' ἀρχοντικὸ τραπέζι.
Κι ἀπὸ φαγὶ κι ἀπὸ πιοτὸ σὰ χόρτασε ἡ καρδιά τους,
ὁ Γερηνιώτης Νέστορας ὁ ἀλογογνώστης εἶπε·
"Καὶ τώρα κάλλιο ἂς ρωτηθοῦν οἱ ξένοι αὐτοὶ ποιοί νά 'ναι,
μιὰς καὶ φραθήκανε θροφή. Πῆτε μας, ποιοί

ἐδωδῆς.
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
ἦ τι κατά πρῆξιν ἢ μαψιδίως ἀλάλησθε
οἷά τε ληιστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται
ψυχὰς παρθέμενοι κακὸν ἀλλοδαποῖσι πέροντες;"
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
θαρσήσας· αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
θῆχ', ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν·
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω.
ἡμεῖς ἐξ Ἰθάκης ὑπονηίου εἰλήλουθμεν·
πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύω.
πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω,
δίου Ὀδυσσῆος ταλασίφρονος, ὅν ποτέ φασι
σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι.
ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιξον,
πευθόμεθ', ἧχι ἕκαστος ἀπώλετο λυγρῷ ὀλέθρῳ,
κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν,
εἴθ' ὅ γ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.

εἶστε, ὦ ξένοι;
ποποῦθε ταξιδέψατε τοὺς πελαγήσους δρόμους;
τάχα δουλειὰ σᾶς ἔφερε, ἢ ἐδῶ κι ἐκεῖ πλανιέστε
στὶς θάλασσες, σὰν πειρατὲς ποὺ τριγυρνοῦν καὶ φέρνουν,
μὲ τῆς ζωῆς τους κίνδυνο, ζημιὰ σὲ ξένον κόσμο;"
Κι ὁ γνωστικὸς Τηλέμαχος αὐτὰ τοῦ ἀπολογήθη,
μὲ θάρρος ποὺ ἴδια της ἡ θεὰ τοῦ τό 'βαλε στὸ νοῦ του,
μαντάτα τοῦ χαμένου τοῦ γονιοῦ γιὰ νὰ γυρέψη,
κι ὄνομα σύγκαιρα λαμπρὸ στὸν κόσμο γιὰ νὰ βγάλη.
"Νέστορα, τοῦ Νηλέα ὦ γιέ, τῶν Ἀχαιῶν καμάρι,
ποποῦθε ἐρχόμαστε ρωτᾶς, αὐτὸ θὰ σοῦ ὁρμηνέψω.
Ἀπὸ τὸ Θιάκι ἐρχόμαστε, ποκάτω ἀπὸ τὸ Νεῖο,
γιὰ ἀνάγκη ποὺ ὄχι τοῦ λαοῦ, παρὰ δική μας εἶναι.
Νὰ μάθω ποῦ 'ναι ὁ κύρης μου, τὴ φήμη του ἀκλουθώντας,
τοῦ καρτερόψυχου Ὀδυσσέα, ποὺ ἕναν καιρὸ μαζί σου
λὲν πολεμώντας κούρσεψε τὴ χώρα τῆς Τρωάδας.
Κάθε ἄλλος ποὺ πολέμησε τοὺς Τρωαδῖτες τότες,
τ' ἀκούσαμε τὸ τέλος του καὶ τὴν κακή του μοῖρα·
ὡς τόσο ἐκείνου τὸ χαμὸ τὸν κρύβει ὁ γιὸς τοῦ Κρόνου,
καὶ δὲν μπορεῖ κανεὶς νὰ πῆ σωστὰ τὸ ποῦ ἀφανίστη,
ἂν ἔπεσε μαθὲ στεριᾶς ἀπὸ ἐχτρικὸ κοντάρι,
ἢ τ' ἄγρια ἂν τόνε φάγανε νερὰ τῆς Ἀμφιτρίτης.

τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
ὀφθαλμοῖσι τεοῖσιν ἢ ἄλλου μῦθον ἄκουσας
πλαζομένου· πέρι γάρ μιν ὀιζυρὸν τέκε μήτηρ.
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμός, ἐσθλὸς Ὀδυσσεύς,
ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
"ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος, ἣν ἐν ἐκείνῳ
δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμέν ὅσα ξὺν νηυσίν ἐπ' ἠεροειδέα πόντον
πλαζόμενοι κατὰ ληίδ', ὅπῃ ἄρξειεν Ἀχιλλεύς,
ἠδ' ὅσα καὶ περί ἄστυ μέγα Πριάμοιο ἄνακτος
μαρνάμεθ'· ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
ἔνθα μὲν Αἴας κεῖται ἀρήιος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ' ἐμὸς φίλος υἱός, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, πέρι μὲν θείειν ταχὺς ἠδὲ μαχητής·
ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά·

Γι' αὐτὸ δὰ τώρα πέφτω σου στὰ γόνατα, νὰ μάθω
σὰν ποιό 'τανε τὸ τέλος του κι ἡ κακοθανατιά του,
μὰ ἢ τά 'δες μὲ τὰ μάτια σου, ἢ ἀπ' ἄλλον ἄκουσές τα
τὶ ἡ μάνα τόνε γέννησε γιὰ βάσανα περίσσια.
Καὶ μὴ μοῦ τὰ μισομιλᾶς ἀπὸ συμπόνια ἢ σέβας,
μόν' πές μου τα ἴσια, καταπῶς τὰ μάτια σου τὸν εἶδαν.
Παρακαλῶ σε, ἂν ὁ λαμπρὸς γονιός μου ὁ Ὀδυσσέας
ἢ λόγο ἢ πράξη σοῦ 'ταξε καὶ τέλεσε στὴν Τροία,
ἐκεῖ ποὺ ἀρίθμητα δεινὰ στοὺς Ἀχαιοὺς πλακῶσαν,
θυμήσου τα τὴν ὥρα αὐτή, καὶ πές μου τὴν ἀλήθεια."
Κι ὁ Γερηνιώτης Νέστορας ὁ ἀλογογνώστης τοῦ εἶπε·
"Φίλε μου, ἀφοῦ μοῦ θύμισες τὰ πάθια ποὺ ἐκεῖ τότες
τραβήξαμε τῶν Ἀχαιῶν τ' ἀκράτητα ἐμεῖς τέκνα,
κι ὅσα στὰ πέλαγα τ' ἀχνὰ γυρνώντας μὲ καράβια,
σὰ βγαίναμε στὰ λάφυρα τὸν Ἀχιλλέα ἀκλουθώντας,
καὶ πάλε γύρω στὸ καστρὶ τοῦ Πρίαμου τοῦ ρήγα
σὰν πολεμούσαμε· ὅλοι ἐκεῖ οἱ καλύτεροί μας πῆγαν.
Ἐκεῖ ὁ λεβέντης ὁ Αἴαντας, ἐκεῖ κι ὁ Ἀχιλλέας,
κι ὁ Πάτροκλος, ποὺ μὲ θεοὺς μπόρειε νὰ βγῆ στὴ γνώση,
ἐκεῖ κι ὁ γιός μου ὁ ἀκριβός, τὸ παλληκάρι τ' ἄξιο,
ὁ Ἀντίλοχος, ὁ ξακουστὸς στὸ δρόμο καὶ στὴ μάχη.
Κι ἄλλα πολλὰ παθήματα κοντὰ σ' αὐτὰ

τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων.
ἔνθ' οὔ τίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς
παντοίοισι δόλοισι, πατὴρ τεός, εἰ ἐτεόν γε
κείνου ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσορόωντα.
ἦ τοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
ἔνθ' ἦ τοι ἦος μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
οὔτε ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῇ,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ
φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο.
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐσκέδασσεν Ἀχαιούς,
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι
πάντες ἔσαν· τῷ σφεων πολέες κακὸν οἶτον ἐπέσπον

μᾶς βρῆκαν·
μὰ ποιός θνητὸς ,θὰ δύνονταν αὐτὰ νὰ τὰ ἱστορήση;
Καὶ πέντε κι ἕξη ἂν ἔμνησκες χρόνους ἐδῶ ρωτώντας,
νὰ μάθης τὰ ὅσα πόφεραν οἱ Ἀχαιοὶ οἱ λεβέντες,
βαριεστημένος κι ἄμαθος στὸν τόπο σου θὰ γύρνας.
Χρόνους ἐννιὰ τοὺς πλέχναμε χαμὸ μὲ μύριες τέχνες,
καὶ μετὰ βίας τοῦ Κρόνου ὁ γιὸς τὸν ἔφερε σὲ τέλος.
Μὲ τὸν τρανὸ Ὀδυσσέα κανεὶς στὴ γνώμη δὲ μποροῦσε
νὰ παραβγῆ, ποὺ πάντα αὐτὸς ἔβγαιν' ἀπ' ὅλους πρῶτος
σὲ πᾶσα τέχνη, ὁ κύρης σου, ἂν εἶσαι ἐσὺ στ' ἀλήθεια
παιδί του ἐκείνου· ξαφνισμὸς μὲ παίρνει σὰν κοιτῶ σε.
Μοιάζει ἡ μιλιὰ σας, μὰ τὸ ναί, καὶ θά 'λεγες πὼς νέος
μὲ τόση γνώση γέρικη δὲν μπόρειε νὰ μιλήση.
Ποτὲς οἱ δυό μας, ὁ λαμπρὸς Δυσσέας κι ἐγώ, νὰ βγοῦμε
ἀσύφωνοι σὲ συντυχιὰ ἢ βουλὴ δὲν ἔτυχέ μας,
παρὰ μιὰ γνώμη δείχνοντας, μὲ στοχασιὰ καὶ σκέψη
τί τοὺς Ἀργῖτες σύφερνε πασκίζαμε νὰ βροῦμε.
Μὰ σὰν τὴ διαγουμίσαμε τοῦ Πρίαμου τὴ χώρα,
καὶ στὰ καράβια μπήκαμε, καὶ θεὸς τοὺς σκόρπιζε ὅλους
τοὺς Ἀχαιούς, κακὸ ἐρχομὸ μᾶς μελετοῦσε ὁ Δίας,
γιατὶ ὅλοι τους δὲν ἤτανε στοχαστικοὶ καὶ δίκιοι,
καὶ σὲ πολλοὺς τους ἔπεσε σὰ φοβερὴ κατάρα

μήνιος ἐξ ὁλοῆς γλαυκώπιδος ὀβριμοπάτρης.
ἥ τ᾽ ἔριν Ἀτρεΐδῃσι μετ᾽ ἀμφοτέροισιν ἔθηκε.
τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιούς,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα,
οἱ ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν,
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν.
ἔνθ᾽ ἥ τοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
νόστου μιμνήσκεσθαι ἐπ᾽ εὐρέα νῶτα θαλάσσης,
οὐδ᾽ Ἀγαμέμνονι πάμπαν ἐήνδανε· βούλετο γάρ ῥα
λαὸν ἐρυκακέειν ῥέξαι θ᾽ ἱερὰς ἑκατόμβας,
ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τ᾽ αἶψα θεῶν τρέπεται νόος αἰέν ἐόντων.
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
ἔστασαν· οἱ δ᾽ ἀνόρουσαν ἐυκνήμιδες Ἀχαιοὶ
ἠχῇ θεσπεσίῃ, δίχα δέ σφισιν ἤνδανε βουλή.
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
ἠῶθεν δ᾽ οἱ μὲν νέας ἕλκομεν εἰς ἅλα δῖαν
κτήματά τ᾽ ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας.
ἡμίσεες δ᾽ ἄρα λαοὶ ἐρητύοντο μένοντες
αὖθι παρ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι,

ἡ ὀργὴ τῆς γαλανόματης τοῦ Δία θυγατέρας,
ποὺ σκόρπισε διχογνωμιὰ στοὺς δυὸ τοὺς γιοὺς τοῦ Ἀτρέα.
Σὲ σύναξη καλέσανε τὰ πλήθη αὐτοί, τοῦ κάκου,
καὶ ξώκαιρα, σὰν ἔγερνε κατὰ τὸ βράδυ ὁ ἥλιος,
κι ἤρθαν τῶν Ἀχαιῶν οἱ γιοὶ κρασὶ βαριοπιωμένοι,
κι ἐκεῖνοι τοὺς ξηγούσανε γιατὶ συνάξανέ τους.
Τοὺς ἔλεγε ὁ Μενέλαος τοὺς Ἀχαιοὺς νὰ σύρουν
στὸν τόπο τους, τὶς διάπλατες τὶς θάλασσες περνώντας·
ὡς τόσο ὁ Ἀγαμέμνονας μὴ στέργοντας, τοὺς κράτα,
γιὰ νὰ τελέση τῆς θεᾶς ἱερὲς θυσίες πρῶτα,
τὴ μάνητά της θέλοντας μ' αὐτὲς νὰ μαλακώση.
Κλούβιος, καὶ δὲν τὸ γνώριζε πὼς δὲν τὴ μεταπείθει,
γιατὶ ἔτσι τῶν ἀθάνατων ἡ γνώμη δὲ γυρίζει.
Κι οἱ δυὸ καθὼς στεκόντανε βαριὰ λογομαχώντας,
σηκώθηκαν οἱ Ἀχαιοὶ μὲ χλαλοή μεγάλη,
καὶ χωριστήκανε σὲ δυὸ ταράφια ἀπὸ δυὸ γνῶμες.
Ἕνας τὸν ἄλλο ὀχτρεύοντας πλαγιάσαμε τὴ νύχτα,
τὶ ὁ Δίας μᾶς μαγείρευε κακὸ καὶ μαῦρο τέλος.
Μὰ τὴν αὐγὴ τραβήξαμε στὴ θάλασσα τὰ πλοῖα,
καὶ μέσα κι οἱ βαθιόζωνες γυναῖκες μὲ τὰ πλούτια.
Ὡς τόσο μείνανε οἱ μισοὶ κοντὰ στὸν Ἀγαμέμνο,
τοῦ Ἀτρέα τὸ γιό, τὸ βασιλιά,κι οἱ ἄλλοι

ποιμένι λαῶν·
ἡμίσεες δ᾽ ἀναβάντες ἐλαύνομεν· αἱ δὲ μάλ᾽ ὦκα
ἔπλεον, ἐστόρεσεν δέ θεὸς μεγακήτεα πόντον.
ἐς Τένεδον δ᾽ ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοισῇν,

οἴκαδε ἱέμενοι· Ζεὺς δ᾽ οὔ πω μήδετο νόστον,
σχέτλιος, ὅς ῥ᾽ ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις.
οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας
ἀμφ᾽ Ὀδυσῆα ἄνακτα δαΐφρονα, ποικιλομήτην,
αὖτις ἐπ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἦρα φέροντες·

αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
φεῦγον, ἐπεὶ γίγνωσκον, ὀδὴ κακὰ μήδετο δαίμων.
φεῦγε δὲ Τυδέος υἱὸς ἀρήιος, ὦρσε δ᾽ ἑταίρους.
ὀψὲ δὲ δὴ μετὰ νῶι κίε ξανθὸς Μενέλαος,
ἐν Λέσβῳ δ᾽ ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,

ἦ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης,
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ᾽ ἀριστέρ᾽ ἔχοντες,
ἦ ὑπένερθε Χίοιο, παρ᾽ ἠνεμόεντα Μίμαντα.
ᾔτεομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ γ᾽ ἡμῖν
δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα γένοιτο.

στὰ καράβια.
Καὶ τὰ καράβια ἀρμένιζαν ὁλόπρυμα, τὶ κάποιος
τότες θεὸς μᾶς ἔστρωνε τὰ τρίσβαθα πελάγη.
Στὴν Τένεδο σὰν ἤρθαμε, γυρνώντας στὴν πατρίδα,
σφαχτὰ προσφέραμε τῶν θεῶν μὰ ὁ ἄσπλαχνος ὁ Δίας
δὲν ἔστεργε νὰ φτάσουμε, μόνε κακὲς διχόνοιες
πάλε μᾶς ἔσπερνε. Πολλοὶ γυρίσανε ξοπίσω
μὲ τὰ καράβια τὰ γερτὰ, τὸ βασιλιὰ ἀκλουθώντας
τὸν Ὀδυσσέα, τὸ γνωστικὸ καὶ τὸν πολυτεχνίτη,
νὰ μὴ χαλάσουν τὴν καρδιὰ τοῦ ἀφέντη τοῦ Ἀγαμέμνου·
ὡς τόσο μ' ὅσα ἐγὼ ὅριζα, λίγα πολλὰ καράβια,
ξεκίνησα νὰ φύγουμε, τὶ τά 'νιωθα τὰ πάθια
ποὺ ὁ θεὸς μᾶς κρυφοτοίμαζε στὸ λογισμό του μέσα.
Ἐτσι κι ὁ πολεμόχαρος γιὸς τοῦ Τυδέα κινοῦσε,
καὶ τοὺς συντρόφους του ἔπαιρνε. Καὶ λίγο ἀργότερά μας
νά κι ὁ Μενέλαος ὁ ξανθὸς προφταίνει πρὸς τὴ Λέσβο,
ἐκεῖ ποὺ μελετούσαμε τὸ μακρινὸ ταξίδι,
ἂν παραπάνω ἀπὸ τὴ Χιὸ τὴ βράχινη θὰ βγοῦμε,
πρὸς τὴν Ψυριά, ἀπὸ τὰ ζερβὰ ἐτούτη ἀφήνοντάς την,
ἢ κάτω, πρὸς τὸ Μίμαντα τὸν ἀνεμοδαρμένο.
Καὶ τοῦ θεοῦ ζητήσαμε σημάδι, καὶ μᾶς ἦρθε·
νὰ σκίσουμε τὸ πέλαγο, μᾶς ἔλεγε, ὡς τὴν Εὔβοια,
γλήγορο ἂν θέμε γλυτωμὸ ἀπὸ βάσανα

φύγοιμεν.
ὦρτο δ᾽ ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ᾽ ὦκα
ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
πόλλ᾽ ἐπὶ μῆρ᾽ ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.

τέτρατον ἦμαρ ἔην, ὅτ᾽ ἐν Ἄργεϊ νῆας ἐίσας
Τυδεΐδεω ἔταροι Διομήδεος ἱπποδάμοιο
ἵστασαν· αὐτάρ ἐγώ γε Πύλονδ᾽ ἔχον, οὐδέ ποτ᾽ ἔσβη
οὖρος, ἐπεὶ δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
"ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής, οὐδέ τι οἶδα
κείνων, οἵ τ᾽ ἐσάωθεν Ἀχαιῶν οἵ τ᾽ ἀπόλοντο.
ὅσσα δ᾽ ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισι
πεύθομαι, ἢ θέμις ἐστί, δαήσεαι, κοὐδέ σε δεύσω.
εὖ μὲν Μυρμιδόνας φάσ᾽ ἐλθέμεν ἐγχεσιμώρους,
οὓς ἄγ᾽ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν.
πάντας δ᾽ Ἰδομενεὺς Κρήτην εἰσήγαγ᾽ ἑταίρους,
οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ τιν᾽ ἀπηύρα.
Ἀτρεΐδην δὲ καὶ αὐτοὶ ἀκούετε, νόσφιν ἐόντες,
ὡς τ᾽ ἦλθ᾽, ὡς τ᾽ Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
ἀλλ᾽ ἦ τοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν·

μεγάλα.
Φύσηξε πρύμος ἄνεμος, καὶ τρέξαν τὰ καράβια
μὲς στὰ ψαράτα πέλαγα, κι ἀράξαμε τὴ νύχτα
στὴ Γεραιστό· πολλῶν ἐκεῖ τοῦ Ποσειδῶνα ταύρων
μεριὰ τοῦ κάψαμε ὕστερα ἀπὸ τόσου πέλαου δρόμο.
Σὰν ἦρθε ἡ μέρα ἡ τέταρτη, οἱ συντρόφοι τοῦ Διομήδη
τοῦ ἀλογοδαμαστῆ, τοῦ γιοῦ τοῦ ἡρωϊκοῦ Τυδέα,
μὲς στ' Ἄργος φέρναν κι ἄραζαν τὰ ὡραῖα τους καράβια·
ὡς τόσο γιὰ τὴν Πύλο ἐγὼ τραβοῦσα, κι ὁλοένα
φυσοῦσε ὁ οὔριος ἄνεμος ποὺ ὁ θεὸς εἶχε σταλμένο.
Ἔτσι ἦρθα, γιέ μου, ἀνήξερος, κι ἀκόμα δὲ γνωρίζω
ποιοί τότες γλύτωσαν, καὶ ποιοί χαθήκανε καὶ πῆγαν.
Μὰ ὅσα μὲς στοὺς πύργους μου κάθουμ' ἐδῶ κι ἀκούγω,
θὰ τά 'χης μὲ τήν τάξη τους καὶ δὲ θὰ σοῦ τὰ κρύψω.
Ἤρθανε, λέν, τοῦ κονταριοῦ οἱ τεχνῖτες Μυρμιδόνες,
ποὺ ὁ γιὸς τοῦ μεγαλόψυχου Ἀχιλλέα τοὺς ὁδηγοῦσε,
ἦρθε κι ὁ δοξαστὸς ὁ γιὸς τοῦ Ποία ὁ Φιλοχτήτης.
Κι ὁ Ἰδομενέας κατέβασε στὴν Κρήτη τοὺς δικούς του,
ὅσοι ἀπὸ μάχες γλύτωσαν καὶ κῦμα δὲν τοῦς πῆρε.
Γιὰ τοῦ Ἀτρέα τὸ γιὸ κι ἐσεῖς θ' ἀκούσατε μακριάθε,
πὼς ἦρθε, καὶ πὼς ὁ Αἴγιστος φριχτὸ τοῦ φύλαε τέλος.
Ὅμως κι αὐτὸς τὸ πλέρωσε πολὺ πικρά, καὶ βλέπεις

ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
καὶ σὺ φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων ἐὺ εἴπῃ."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί οἱ Ἀχαιοὶ
οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισι πυθέσθαι·
αἴ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περιθεῖεν,
τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης."
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
"ὦ φίλ', ἐπεὶ δὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
ἐν μεγάροις ἀέκητι σέθεν κακὰ μηχανάασθαι·
εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ.
τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών,
ἢ ὅ γε μοῦνος ἐὼν ἢ καὶ σύμπαντες

πόσο καλό 'ναι ἀπόγονο ν' ἀφήνη ὅποιος πεθαίνει
σὰν κεῖνον ποὺ γδικιώθηκε τὸν Αἴγιστο τὸν πλάνο,
ποὺ τὸ γονιό του χάλασε τὸν πολυδοξασμένο.
Κι ἐσύ, καλέ μου, ποὺ ὄμορφο σὲ βλέπω καὶ μεγάλο,
νὰ γίνης καὶ παλληκαράς, νὰ σὲ παινοῦν κατόπι."
Κι ὁ γνωστικὸς Τηλέμαχος αὐτὰ τοῦ ἀπολογήθη·
"Νέστορα, τοῦ Νηλέα γιέ, τῶν Ἀχαιῶν καμάρι,
καλὰ τόνε γδικιώθηκε, κι οἱ Ἀχαιοὶ θ' ἁπλώσουν
τὴ φήμη του ν' ἀκούγεται χρόνους πολλοὺς κατόπι.
Μακάρι τόση δύναμη κι ἐμένα οἱ θεοὶ νὰ δίναν,
νὰ γδικιωθῶ τὶς ἀδικιὲς τῶν ἄσπλαχνων μνηστήρων,
ποὺ μὲ περίσσια ἀδιαντροπιὰ λογῆς κακὰ μοῦ πλέχνουν.
Μὰ τέτοιο ριζικὸ οἱ θεοὶ δὲ δῶκαν τοῦ γονιοῦ μου
κι ἐμένανε, κι ἀπομονὴ νὰ κάμω πρέπει τώρα."
Κι ὁ Γερηνιώτης Νέστορας ὁ ἀλογατὰς τοῦ κάνει·
"Φίλε μου, μιὰς καὶ τέτοια ἐσὺ μοῦ θύμισες καὶ μοῦ 'πες,
λένε πὼς περισσοὶ γαμπροὶ τὴ μάνα σου ζητώντας,
μέσα στοὺς πύργους σου δουλειὲς καὶ βάσανα σκαρώνουν.
Πές μου, ἤθελες καὶ τὰ τραβᾶς, ἢ τάχα ὁ κόσμος ὅλος
σ' ὀχτρεύεται, κάποιου θεοῦ κρυφὴ φωνὴ ἀκλουθώντας;
Ποιός ξέρει ἐκειὸς ἂ δὲν ἐρθῆ καὶ δὲν τοὺς τὰ πλερώση,
ἢ μοναχός του, ἢ καὶ μαζὶ μὲ τοὺς Ἀχαιοὺς

Ἀχαιοί;
εἰ γάρ σ᾽ ὡς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
ὡς τότ᾽ Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε᾽ Ἀχαιοί--
οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη--
εἴ σ᾽ οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῷ,
τῶ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ὦ γέρον, οὔ πω τοῦτο ἔπος τελέεσθαι ὀίω·
λίην γὰρ μέγα εἶπες· ἄγη μ᾽ ἔχει. οὐκ ἂν ἐμοί γε
ἐλπομένω τὰ γένοιτ᾽, οὐδ᾽ εἰ θεοὶ ὣς ἐθέλοιεν."
τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
ῥεῖα θεός γ᾽ ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.
βουλοίμην δ᾽ ἂν ἐγώ γε καὶ ἄλγεα πολλὰ μογήσας
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
ὤλεθ᾽ ὑπ᾽ Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
ἀλλ᾽ ἦ τοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
μοῖρ᾽ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο."

μιὰν ὥρα;
Τὶ ἡ γαλανόματη Ἀθηνᾶ κι ἐσένα ἂν ἀγαποῦσε
καθὼς πονοῦσε ἕναν καιρὸ τὸν ξακουστὸ Ὀδυσσέα
στὴν Τροία, ἐκεῖ ποὺ ὅλους μας πολλὰ μᾶς τρῶγαν πάθια,
— δὲν εἶδα, ἀλήθεια, ἀθάνατο τόση νὰ δείχνη ἀγάπη
ὅση ἔδειχνέ του φανερὰ ἡ Ἀθηνᾶ ἡ Παλλάδα, —
ἔτσι κι ἐσένα, ἂν ἤθελε νὰ σὲ πονῆ στὸ νοῦ της,
πολλοὶ τους θὰ ξεχνούσανε τοῦ γάμου τὴ λαχτάρα."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε.
"Δὲν τὸ πιστεύω, γέροντα, νὰ τελεστῆ τὸ μοῦ 'πες·
μεγάλος λόγος, ποὺ τὸ νοῦ σαστίζει· δὲν τὸ 'λπίζω
τέτοιο 'να πρᾶμα νὰ γενῆ κι ἂν οἱ θεοι θελήσουν."
Κι ἡ γαλανόματη θεὰ γυρίζει καὶ τοῦ κάνει·
"Τί λόγια ἀπὸ τὰ χείλη σου, Τηλέμαχε, ξεφύγαν;
Θεὸς ἂν θέλη, τὸ θνητὸ κι ἀπὸ μακριὰ γλυτώνει.
Κάλλια 'χα νὰ τυραννιστῶ κι ἀρίθμητα νὰ πάθω,
πατρίδα ὡς ποὺ νὰ ξαναδῶ καὶ γυρισμὸ νὰ νιώσω,
παρὰ ὅπως ὁ Ἀγαμέμνονας νὰ βρῶ χαμὸ στὸ σπίτι,
ποὺ θῦμα πῆγε τοῦ Αἴγιστου καὶ τοῦ ἄπιστου ταιριοῦ του.
Τὶ ἀπὸ παρόμοιο θάνατο μήτε οἱ θεοὶ τοῦ Ὀλύμπου
ἀγαπημένο τους θνητὸ δὲ δύνουνται νὰ σώσουν,
τοῦ χάρου τοῦ τεντόκορμου σὰν τὸν πλακώσ' ἡ μοῖρα."

τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Μέντορ, μηκέτι ταῦτα λεγώμεθα κηδόμενοί περ·
κείνῳ δ' οὐκέτι νόστος ἐτήτυμος, ἀλλά δὲν ἔχει ἐκεῖνος γυρισμὸ· οἱ ἀθάνατοι πιὰ οἱ ἤδη
φράσσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ', ἐπεὶ περὶ οἶδε δίκας ἠδὲ φρόνιν ἄλλων·
τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι γένε' ἀνδρῶν·
ὥς τέ μοι ἀθάνατος ἰνδάλλεται εἰσοράασθαι.
ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἐνίσπες·
πῶς ἔθαν' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων;
ποῦ Μενέλαος ἔην; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις, ἐπεὶ κτάνε πολλὸν ἀρείω;
ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιικοῦ, ἀλλά πῃ ἄλλῃ
πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ θαρσήσας κατέπεφνε;"
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
"τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
ἦ τοι μὲν τάδε καὐτὸς ὀίεαι, ὥς κεν ἐτύχθη,
εἰ ζωόν γ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρεΐδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ὡς μήτε γῆς δὲ θά 'ριχταν ἀπὰς στὸ ἔχευαν,
ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ

Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κρένει·
"Μέντορ', αὐτὰ ἂς τὰ πάψουμε, πολὺς κι ἂν εἶναι ὁ πόνος·
τώρα
τὸ θάνατο του ὁρίσανε καὶ τὴν κακή του μοῖρα.
Τώρα ἄλλο ἐγὼ τοῦ Νέστορα θὰ πῶ καὶ θὰ ρωτήξω,
τὶ κρίνει καὶ κατέχει αὐτὸς ὅσο κανένας ἄλλος·
τρεῖς λένε πὼς βασίλεψε γενεὲς αὐτὸς ἀνθρώπων,
καὶ σὰν ἀθάνατος σφαντάει σὰν τοῦ κοιτῶ τήν ὄψη.
Νέστορα, τοῦ Νηλέα γιέ, πές μου ὅλη τὴν ἀλήθεια·
πῶς πέθανε ὁ Ἀγαμέμνονας ὁ μέγας γιὸς τοῦ Ἀτρέα;
καὶ ποῦ ἤτανε ὁ Μενέλαος; σὰν τί τὸ μαῦρο τέλος
ποὺ ὁ πονηρὸς ὁ Αἴγιστος σοφίστηκε καὶ βρῆκε,
νὰ ξεκάμη ἀντίμαχο πολὺ καλύτερό του;
ἢ νά 'λειπε ὁ Μενέλαος, καὶ κάπου ἀλλοῦ πλανιόταν,
κι ἐκεῖνος ξεθαρρεύτηκε καὶ σκότωσε τὸ ρήγα;"
Κι ὁ Γερηνιώτης Νέστορας ὁ ἀλογατὰς τοῦ κρένει·
"Ὅλα σωστὰ κι ἀληθινὰ θὰ σοῦ τὰ πῶ, παιδί μου.
Καὶ μόνος σου φαντάζεσαι τὸ πῶς αὐτὰ θὰ βγαῖναν,
ἂ ζοῦσε ἀκόμα ὁ Αἴγιστος μὲς στᾶ παλάτια ἐκεῖνα,
τότες ποὺ γύρισε ὁ ξανθὸς Μενέλαος ἀπ' τὴν Τροία·
παρὰ θὰ τόνε τρώγανε πετάμενα καὶ

κατέδαψαν
κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος, οὐδέ κέ τίς μιν
κλαῦσεν Ἀχαιιάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
ἤμεθ'· ὁ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο
πόλλ' Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ' ἐπέεσσιν.
ἡ δ' ἦ τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·
πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς ἀνήρ, ᾧ πόλλ' ἐπέτελλεν
Ἀτρεΐδης Τροίηνδε κιὼν ἔρυσασθαι ἄκοιτιν.
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῷ.
"ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης καὶ ἐγώ, φίλα εἰδότες ἀλλήλοισιν·
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνέων,
ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων

σκύλοι,
μέσα στῶν κάμπων τὶς ρημιές, ἀλάργ' ἀπὸ τὴ χώρα,
καὶ μήτε θὰ τὸν ἔκλαιγε ποτὲς Ἀχαιοπούλα
κατόπι τέτοιο κάμωμα· ποὺ ἐμεῖς ἐκεῖ μὲ μύριους
ἀγῶνες τυραννιόμασταν, κι ἐτοῦτος φωλιασμένος
μὲς στ' Ἄργος τ' ἀλογόθροφο προσπάθειε μὲ τὰ λόγια
τὸ ταίρι τοῦ Ἀγαμέμνονα κρυφὰ νὰ ξελογιάση.
Ὡς τόσο ἀρνιόταν τ' ἄπρεπο τὸ κάμωμα ἡ πανώρια
ἡ Κλυταιμνήστρα στὴν ἀρχή, τ' εἶχε καλὴ τὴ γνώμη.
Σιμά της κι ὁ τραγουδιστὴς ἀγρύπνα, ποὺ ὁ Ἀτρείδης
νὰ τὴ φυλάη παράγγειλε μισεύοντας στὴν Τροία.
Μὰ τότες ποὺ οἱ ἀθάνατοι ψηφίσαν τὸ χαμό της,
τὸν παίρνει τὸν τραγουδιστὴ σὲ ρημονήσι ἐκεῖνος,
κι ἀφήνοντάς τον νὰ γενῆ ξεφάντωμα τῶν ὄρνιων,
τὴ φέρνει σπίτι πρόθυμη καθὼς κι ὁ ἴδιος ἦταν.
Ἀρίθμητα ἔψησε μεριὰ πὰς στοὺς βωμοὺς τῶν θεῶνε,
μύρια στολίδια κρέμασε, καὶ τούλια καὶ χρυσάφια,
ποὺ τέτοιο πρᾶμα ἀνόλπιστο καὶ μέγα ἔβγαλε πέρα.
Ὡς τόσο ἀπὸ τὴν Τροία ἐμεῖς ἐρχάμενοι, τοῦ Ἀτρέα
ὁ γιὸς κι ἐγώ, οἱ δυὸ βλάμηδες, περνούσαμε τὸ κῦμα·
ὅμως στὸ Σούνι, τὸ ἱερὸ σὰ φτάσαμε ἀκρωτήρι
τῶν Ἀθηνῶνε, ὁλόξαφνα ὁ Ἀπόλλωνας ὁ, Φοῖβος

οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνε,
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ᾽ ἀνθρώπων
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
ὣς ὁ μὲν ἔνθα κατέσχετ᾽, ἐπειγόμενός περ ὁδοῖο,

ὄφρ᾽ ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειεν.
ἀλλ᾽ ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
ἐν νηυσὶ γλαφυρῇσι Μαλειάων ὄρος αἰπὺ
ἶξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσατο, λιγέων δ᾽ ἀνέμων ἐπ᾽ ἀυτμένα χεῦε,

κύματά τε τροφέοντο πελώρια, ἶσα ὄρεσσιν.
ἔνθα διατμήξας τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
ἦχι Κύδωνες ἔναιον᾽ Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῇ Γόρτυνος ἐν ἠεροειδέι πόντῳ·

ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ,
ἐς Φαιστόν, μικρὸς δὲ λίθος μέγα κῦμ᾽ ἀποέργει.
αἱ μὲν ἄρ᾽ ἔνθ᾽ ἦλθον, σπουδῇ δ᾽ ἤλυξαν ὄλεθρον
ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
κύματ᾽· ἀτὰρ τὰς πέντε νέας

τὸ δόλιο τοῦ Μενέλαου χτυπάει καραβοκύρη,
μὲ τὶς λαμπρὲς του σαϊτιές, καὶ τὴ ζωή του παίρνει,
ἐκεῖ ποὺ κράτανε τοῦ γοργοῦ τοῦ καραβιοῦ τὸ δοιάκι,
τὸ Φρόντη τοῦ Ὀνήτορα, ποὺ τοὺς ξεπέρναε ὅλους
σὲ καραβιοῦ κυβέρνημα σὰ μάνιαζε ἀνεμούρα.
Ἔτσι μποδίστη ὁ δρόμος του, πολλὴ κι ἂν εἶχε βιάση,
σὲ φίλο θέλοντας νεκρὸ στερνὲς τιμὲς νὰ δώση,
Μὰ ὅταν κι αὐτὸς στὰ μελανὰ τὰ πέλαγα ὄξω βγῆκε
μὲ τὰ γοργὰ καράβια του, καὶ στὸ βουνὸ Μαλέα
κατέβηκε ἀρμενίζοντας, τότες φριχτὸ ταξίδι
ὁ Δίας ὁ βροντόφωνος τοῦ τοίμασε, μὲ ἀνέμους
ποὺ σφυριχτοὶ φυσούσανε, καὶ κύματα σηκῶναν
μέσα στὴν ἄγρια θάλασσα, πελώρια ἴσαμε ὄρη.
Καὶ χώρισε τὰ πλοῖα σὲ δυό· μέρος στὴν Κρήτη πέσαν,
ποὺ κατοικοῦν οἱ Κύδωνες στοὺς ὄχτους τοῦ Ἰαρδάνου.
Ἐκεῖ γκρεμνὸς πρὸς τὸ γιαλὸ γλιστρὸς ἀψηλοστέκει
στῆς Γόρτυνας τὰ πέρατα, κι ὀμπρος στ' ἀχνὰ πελάγη·
αὐτοῦ, πρὸς τή Φαιστὸ μεριά, φυσάει Νοτιὰς κι ἀμπώθει
μεγάλο κῦμα στὸ ζερβὸ τὸν κάβο· πέτρα τότες
πίσω τὸ διώχνει μικρουλὴ τὸ κῦμα τὸ μεγάλο.
Ἐκεῖ τὰ πλοῖα ξέπεσαν καὶ σπάσανε στὰ βράχια
καὶ μετὰ βίας ἀπὸ χαμὸ γλυτώσανε οἱ

κυανοπρῳρείους ἀνθρῶποι·
τὰ πέντε ὅμως μαυρόπλωρα καράβια ποὺ σωθῆκαν,
Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ. τὰ τράβηξε στὴν Αἴγυπτο τῆς τρικυμιᾶς ἡ φόρα.
ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων Πολὺ ἐκεῖ βιὸς συνάζοντας καὶ μάλαμα ὁ Μενέλαος,
ἠλᾶτο ξὺν νηυσὶ κατ᾽ ἀλλοθρόους μὲ τὰ καράβια γύριζε σὲ ἀλλόγλωσσους
300 ἀνθρώπους· ἀνθρώπους·
τόφρα δὲ ταῦτ᾽ Αἴγισθος ἐμήσατο οἴκοθι λυγρά. στ' Ἄργος ὡς τόσο ὁ Αἴγιστος φριχτοὺς σκοποὺς τελώντας,
ἑπτάετες δ᾽ ἄνασσε πολυχρύσοιο Μυκήνης, τὸν Ἀγαμέμνονα ἔσφαξε καὶ δάμασε τὴ χώρα.
κτείνας Ἀτρεΐδην, δέδμητο δὲ λαὸς ὑπ᾽ αὐτῷ. Χρόνους ἑφτὰ βασίλεψε μὲς στὴ χρυσὴ Μυκήνη,
τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἦλυθε δῖος Ὀρέστης μὰ στοὺς ὀχτὼ πλακώνοντας ἀπ' τὴν Ἀθήνα ὁ Ὀρέστης,
ἂψ ἀπ᾽ Ἀθηνάων, κατὰ δ᾽ ἔκτανε
305 πατροφονῆα, κόβει τὸν πονηρὸ φονιὰ τοῦ δοξαστοῦ
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα γονιοῦ του,
κλυτὸν ἔκτα. καὶ στοὺς Ἀργῖτες ἔδωσε τὸ νεκρικὸ τραπέζι,
ἦ τοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο· καὶ γιὰ τὸν ἄναντρο Αἴγιστο καὶ γιὰ τὴν ἔρμη μάνα.
αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος Τὴν ἴδια μέρα τοῦ 'ρχεται κι ὁ ἀντρόφωνος Μενέλαος,
πολλὰ κτήματ᾽ ἄγων, ὅσα οἱ νέες μὲ πράματα ὅσα δύνουνταν τὰ πλοῖα του
310 ἄχθος ἄειραν. νὰ σηκώσουν.
"καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο Φίλε, κι ἐσὺ πολὺ μακριὰ στὰ ξένα μὴν
τῆλ᾽ ἀλάλησο, πλανιέσαι,
κτήματά τε προλιπὼν ἄνδρας τ᾽ ἐν καὶ βιὸς μὲ τέτοιους ἄτιμους στὸ σπίτι μὴν
σοῖσι δόμοισιν ἀφήνης,
οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν
κτήματα δασσάμενοι, σὺ δὲ τηὔσίην μὴ σοῦ τὰ φᾶνε, καὶ σοῦ βγῆ τοῦ κάκου
ὁδὸν ἔλθῃς. αὐτὸς ὁ δρόμος.
ἀλλ᾽ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ᾽Ως τόσο συβουλεύω σε νὰ σύρης στοῦ
315 ἄνωγα Μενέλαου,
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν ποὺ εἶναι ὅτ' ἦρθε ἀπὸ λαοὺς ποὺ γυρισμὸ
εἰλήλουθεν, δὲ βλέπεις,
ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλποιτό γε θυμῷ

ἐλθέμεν, ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ
αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
ἀλλ' ἴθι νῦν σὺν νηί τε σῇ καὶ σοῖς ἑτάροισιν·
εἰ δ' ἐθέλεις πεζός, πάρα τοι δίφρος τε καὶ ἵπποι,
πὰρ δὲ τοι υἷες ἐμοί, οἵ τοι πομπῆες ἔσονται
ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
λίσσεσθαι δέ μιν αὐτός, ἵνα νημερτὲς ἐνίσπῃ·
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν."
ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε.
τοῖσι δὲ καὶ μετέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"ὦ γέρον, ἦ τοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν
σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικεν·
δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι."
ἦ ῥα Διὸς θυγάτηρ, οἱ δ' ἔκλυον αὐδησάσης.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
γλώσσας δ' ἐν πυρὶ βάλλον,

μιὰς κι ἀπ' ἀνέμους πλανηθῆς σ' ὅμοια μεγάλα κι ἄγρια
πελάγη, ποὺ μήτε πουλιὰ στὸ χρόνο· δὲ γυρνᾶνε.
Τράβα μὲ τὸ καράβι σου καὶ μὲ τή συντροφιά σου,
ἢ ἂν προτιμᾶς ἀπὸ στεριᾶς, νά, ἀλόγατα κι ἁμάξι·
συνταξιδιῶτες ἔπαρε τοὺς γιούς μου, νὰ σὲ φέρουν

στὴν ὥρια Λακεδαίμονα πού 'ναι ὁ ξανθὸς Μενέλαος.
Κι ἀτός σου παρακάλειε τον νὰ σοῦ πῇ τὴν ἀλήθεια,
ἀγκαλὰ ψέμα δὲ θὰ πῇ, τὶ ἔχει περίσσια γνώση."

Εἶπε· μὲ τὸ βασίλεμα πέφτει σκοτάδι ὡς τόσο,
καὶ τότες λέει τοῦ Νέστορα ἡ θεὰ ἡ γαλανομάτα·
"Σωστὰ μᾶς τά 'πες, γέροντα· ὅμως τὶς γλῶσσες κόψτε,
καὶ βάλτε στὸ κρασὶ νερό, κι ἀφοῦ στὸν Ποσειδώνα
καὶ στοὺς λοιποὺς ἀθάνατους στάξουμε στάλες, τότες
ἂς πᾶμε καὶ γιὰ πλάγιασμα, τὶ ἡ ὥρα του ζυγώνει.

Τὸ φῶς στὰ σκότη χάνεται, καὶ δὲν πολυταιριάζει
νὰ τὸ παρατραβήξουμε σὲ θεϊκὸ τραπέζι."

Εἶπε τοῦ Δία ἡ κόρη αὐτά, κι οἱ ἄλλοι τὴν ἀκοῦσαν,
Τότες νερὸ τοὺς ἔχυσαν οἱ κήρυκες στὰ χέρια,
κι οἱ νέοι στεφανώσαντας μὲ τὸ κρασὶ κροντήρια,
κάθε ποτήρι γέμισαν τὴν ἀπαρχὴ ἀφοῦ στάξαν·
ρίξαν τὶς γλῶσσες στὴ φωτιά, κι ἀφοῦ

ἀνιστάμενοι δ᾽ ἐπέλειβον.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιον θ᾽, ὅσον ἤθελε θυμός,
δὴ τότ᾽ Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
ἄμφω ἰέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.

Νέστωρ δ᾽ αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσιν·
"Ζεὺς τό γ᾽ ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὡς ὑμεῖς παρ᾽ ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠδὲ πενιχροῦ,
ᾧ οὔ τι χλαῖναι καὶ ῥήγεα πόλλ᾽ ἐνὶ οἴκῳ,
οὔτ᾽ αὐτῷ μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά.
οὔ θην δὴ τοῦδ᾽ ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
νηὸς ἐπ᾽ ἰκριόφιν καταλέξεται, ὄφρ᾽ ἂν ἐγώ γε
ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
ξείνους ξεινίζειν, ὅς τίς κ᾽ ἐμὰ δώμαθ᾽ ἵκηται."
τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"εὖ δὴ ταῦτά γ᾽ ἔφησθα, γέρον φίλε· σοὶ δὲ ἔοικεν
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτως.
ἀλλ᾽ οὗτος μὲν νῦν σοὶ ἅμ᾽ ἕψεται, ὄφρα κεν εὕδῃ
σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ᾽ ἐπὶ νῆα μέλαιναν
εἶμ᾽, ἵνα θαρσύνω θ᾽ ἑτάρους εἴπω τε ἕκαστα.
οἷος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι·

σταθῆκαν ὄρθιοι,
κι ἔσταξαν στάλες κι ἤπιανε ὅσο ἤθελε ἡ καρδιά τους,
ὁ θεόμορφος Τηλέμαχος κι ἡ Ἀθηνᾶ μαζί του,
κατὰ τὸ πλοῖο τὸ κουφωτὸ κινήσανε, μὰ πίσω
ὁ Νέστορας τοὺς κράτησε τοὺς δυό, κι αὐτὰ τοὺς εἶπε·
"Ὁ Δίας κι οἱ ἄλλοι ἀθάνατοι θεοὶ νὰ μὴν τὸ δώσουν
ἐσεῖς νὰ πᾶτε στὸ γοργὸ καράβι ἀπὸ τὰ μένα,
σὰν ἀπὸ κάποιονε γυμνὸ κι ὁλόφτωχο στ' ἀλήθεια,
ποὺ χράμια καὶ παπλώματα στὸ σπίτι του δὲν ἔχει,
γιὰ νὰ κοιμᾶται μαλακὰ κι αὐτὸς κι οἱ ξένοι ποὺ ἔρθουν,
Μὰ ἐδῶ κι ἀπὸ παπλώματα κι ἀπ' ὥρια χράμια βρίσκει.
Ποτὲς ὁ γιὸς τοῦ ἄντρα ἐκεινοῦ, τοῦ θεϊκοῦ Ὀδυσσέα,
δὲ θὰ πλαγιάση ἀκοίταχτος σὲ καραβιοῦ σανίδια,
ὅσο ἐγὼ ζῶ, καὶ τέκνα μου στὸν πύργο μου ἀπομνήσκουν,
τοὺς ξένους νὰ φιλεύουνε ποὺ τύχη ἐδῶ νὰ ρθοῦνε.
Κι ἡ γαλανόματη θεὰ τοῦ κρένει τότε ἐκείνου·

"Φρόνιμα τά 'πες, γέρο, αὐτά, καὶ πρέπει νὰ σ' ἀκούση,
καὶ νά 'ρθη στὰ παλάτια σου ὁ Τηλέμαχος τὴ νύχτα.

Ἐγὼ στὸ μαῦρο πλοῖο τραβῶ νὰ κράξω τοὺς συντρόφους,
καὶ τό 'να τ' ἄλλο νὰ τοὺς πῶ σὰ μεγαλύτερός τους.
Ὅλοι ἀπ' ἀγάπη οἱ νέοι αὐτοὶ κι οἱ συνομήλικοί του

οἱ δ᾽ ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται,
πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο.
ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηὶ μελαίνῃ
νῦν· ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
εἶμ᾽ ἔνθα χρεῖός μοι ὀφέλλεται, οὔ τι νέον γε
οὐδ᾽ ὀλίγον. σὺ δὲ τοῦτον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
πέμψον σὺν δίφρῳ τε καὶ υἱέι· δὸς δέ οἱ ἵππους,
οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι."
ὣς ἄρα φωνήσασ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη
φήνῃ εἰδομένη· θάμβος δ᾽ ἔλε πάντας ἰδόντας.
θαύμαζεν δ᾽ ὁ γεραιός, ὅπως ἴδεν ὀφθαλμοῖς·
Τηλεμάχου δ᾽ ἕλε χεῖρα, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
οὐ μὲν γάρ τις ὅδ᾽ ἄλλος Ὀλύμπια δώματ᾽ ἐχόντων,
ἀλλὰ Διὸς θυγάτηρ, κυδίστη Τριτογένεια,
ἥ τοι καὶ πατέρ᾽ ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
ἀλλὰ ἄνασσ᾽ ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι·
σοὶ δ᾽ αὖ ἐγὼ ῥέξω βοῦν ἠνιν εὐρυμέτωπον
ἀδμήτην, ἣν οὔ πω ὕπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν

τὸ μεγαλόψυχο ὡς ἐδῶ Τηλέμαχο ἀκλουθῆσαν.
Ἐκεῖ λοιπὸν ἐγώ, σιμὰ στὸ μαῦρο πλοῖο πλαγιάζω,
καὶ τὴν αὐγὴ στοὺς Καύκωνες μισεύω, τοὺς λεβέντες,
ποὺ κάποιο χρέος μοῦ χρωστοῦν, κι ὄχι καινούργιο χρέος,
μήτε μικρό, κι ἐτούτονε, στοὺς πύργους σου μιὰς κι ἦρθε,
μ' ἁμάξι ὁ γιός σου ἂς πάρη τον, κι ἀλόγατα τοῦ δίνεις,
τὰ πιὸ ἀλαφρὰ στὸ τρέξιμο, τὰ πιὸ γερὰ στὸ πόδι."
Αὐτὰ σὰν εἶπε ἡ Ἀθηνᾶ ἡ γαλανοματοῦσα,
ἔγινε ἀϊτὸς καὶ πέταξε· κι ὅσοι εἶδαν ξαφνιστῆκαν.
Ἴδιος ὁ γέρος σάστισε τηρώντας τέτοιο θᾶμα,
καὶ πιάνει τοῦ Τηλέμαχου τὸ χέρι καὶ τοῦ κρένει·
"Ὦφίλε, ἐσὺ μήτε κακὸς μήτ' ἄναντρος δὲ θά 'σαι,
ἀφοῦ θεοὶ στὴ νιότη σου ὁδηγοὶ σὲ ἀκολουθᾶνε.
Καὶ τοῦ Ὄλυμπου ἄλλος κάτοικος δὲν εἶναι ἐτοῦτος, μόνε
ἡ κόρη ἡ τριτογέννητη κι ἡ δοξαστὴ τοῦ Δία,
ποὺ ἀπ' τοὺς Ἀργῖτες ξέχωρα τὸν κύρη σου τιμοῦσε.
Ἡ χάρη σου, ὦ βασίλισσα, λαμπρὴ ἂς μᾶς φέρνη δόξα,
κι ἐμένα, καὶ στὰ τέκνα μου, καὶ στὸ καλό μου ταίρι·
κι ἐγὼ μιὰ πλατομέτωπη δαμάλα θὰ σοῦ σφάξω,
ἀνθρώπου ἀκόμα.
καὶ θὰ τὴ σφάξω, ἀφοῦ καλὰ τὰ κέρατα

περιχεύας."
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη.
τοῖσιν δ᾽ ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
υἱάσι καὶ γαμβροῖσιν, ἐὰ πρὸς δώματα καλά.
ἀλλ᾽ ὅτε δώμαθ᾽ ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
τοῖς δ᾽ ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
ὤιξεν ταμίη καὶ ἀπὸ κρήδεμνον ἔλυσε·
τοῦ ὁ γέρων κρητῆρα κεράσσατο, πολλὰ δ᾽ Ἀθήνῃ
εὔχετ᾽ ἀποσπένδων, κούρῃ Διὸς αἰγιόχοιο.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιον θ᾽, ὅσον ἤθελε θυμός,
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
τὸν δ᾽ αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ,
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
τρητοῖς ἐν λεχέεσσιν ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ,
πὰρ᾽ δ᾽ ἄρ᾽ ἐυμμελίην Πεισίστρατον, ὄρχαμον ἀνδρῶν,
ὅς οἱ ἔτ᾽ ἠίθεος παίδων ἦν ἐν μεγάροισιν·
αὐτὸς δ᾽ αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
τῷ δ᾽ ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ὦρνυτ᾽ ἄρ᾽ ἐξ εὐνῆφι Γερήνιος ἱππότα Νέστωρ,
ἐκ δ᾽ ἐλθὼν κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ ξεστοῖσι

χρυσώσω."
Αὐτὰ εἶπε, καὶ τὴν προσευκὴ συνάκουσε ἡ Παλλάδα.
Κι ὁ Γερηνιώτης Νέστορας ξεκίνησε ὡς στὰ ὥρια
παλάτια του, μὲ τοὺς γαμπροὺς κατόπι καὶ τοὺς γιούς του.
Καὶ φτάνοντας στὰ ξακουστὰ τοῦ βασιλέα παλάτια,
ἀράδα σ' ἔδρες καὶ θρονιὰ καθίσανε, κι ὁ γέρος
κροντήρι σμίγει τους κρασί γλυκόπιοτο, ποὺ χρόνους
τό 'χε ἕντεκα ἡ κελάρισσα, καὶ τώρα τ' ἄνοιγέ τους,
Αὐτὸ τοὺς ἔσμιξε νὰ πιοῦν, καὶ στάλα ἔχυσε χάμου,
μ' εὐκὲς στοῦ αἰγιδόσκεπου τοῦ Δία τὴ θυγατέρα.
Καὶ στοὺς θεοὺς σὰν ἔσταξαν κι ἤπιαν ὅσο ἀγαποῦσαν,
κινήσανε γιὰ πλάγιασμα στὸ σπίτι του ὁ καθένας,
μὰ τὸν Τηλέμαχο, τὸ γιὸ τοῦ θεϊκοῦ Ὀδυσσέα,
ὁ ἀλογολάτης Νέστορας τὸν κοίμισε στοῦ πύργου
τὴ σάλα τὴν πολύβοη, σὲ τορνευτὸ κλινάρι,
μὲ πλάγι τὸν Πεισίστρατο, τὸ λυγερὸ λεβέντη,
ποὺ ὄντας ἀκόμα ἀνύπαντρος στοῦ κύρη κατοικοῦσε.
Ἴδιος ὁ γέρος πλάγιασε στὰ ὁλόβαθα τοῦ πύργου,
σὰν ἔσιαξέ του ἡ σύγκλινη στρωσίδια καὶ κλινάρι.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
κι ὁ ἀλογολάτης Νέστορας σηκώθη ἀπὸ τὴν κλίνη,
κι ἦρθ' ὄξωθε καὶ κάθισε στὰ σκαλιστὰ

λίθοισιν,
οἵ οἱ ἔσαν προπάροιθε θυράων ὑψηλάων,
λευκοί, ἀποστίλβοντες ἀλείφατος· οἷς ἔπι μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος·
ἀλλ᾽ ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἄϊδόσδε βεβήκει,
Νέστωρ αὖ τότ᾽ ἐφῖζε Γερήνιος, οὖρος Ἀχαιῶν,
σκῆπτρον ἔχων. περὶ δ᾽ υἷες ἀολλέες ἠγερέθοντο
ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε Στρατίος τε
Περσεύς τ᾽ Ἄρητός τε καὶ ἀντίθεος Θρασυμήδης.
τοῖσι δ᾽ ἔπειθ᾽ ἕκτος Πεισίστρατος ἦλυθεν ἥρως,
πὰρ δ᾽ ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἄγοντες.
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
"καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ᾽ ἐέλδωρ,
ὄφρ᾽ ἦ τοι πρώτιστα θεῶν ἱλάσσομ᾽ Ἀθήνην,
ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
ἀλλ᾽ ἄγ᾽ ὁ μὲν πεδίονδ᾽ ἐπὶ βοῦν, ἴτω, ὄφρα τάχιστα
ἔλθῃσιν, ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
εἶς δ᾽ ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ᾽ οἴους·
εἷς δ᾽ αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
οἱ δ᾽ ἄλλοι μένετ᾽ αὐτοῦ ἀολλέες, εἴπατε δ᾽ εἴσω

λιθάρια,
ποὺ ὁλόμπροστα στὶς ἀψηλὲς βρισκόντουσαν τὶς θύρες,
ἄσπρα, γυαλιστερά. Ἐκεῖ καθόταν κι ὁ Νηλέας
στὰ παλιὰ χρόνια, ποὺ ἤτανε στὴ γνώση θεὸς μονάχος.
Ὅμως ἐκειόνε ὁ θάνατος τὸν ἔφερε στὸν Ἅδη,
καὶ τώρα φύλακας ἐκεῖ τῶν Ἀχαιῶν καθόταν
ὁ ρήγας Νέστορας· σιμὰ κι οἱ γιοί του μαζευτῆκαν,
ἀπὸ τὴν κλίνη ὅτ' ἤρθανε· ὁ Ἐχέφρονας, ὁ Στράτης,
μὲ τὸν Περσέα ὁ Ἄρητος, κι ὁ ὁμοιόθεος Θρασυμήδης.
Ἀδέρφι ἔχτο ὁ ἥρωας Πεισίστρατος τοὺς ἦρθε,
κι ἀντάμα τὸ θεόμοιαστο Τηλέμαχο σὰ βάλαν,
ὁ ἀλογολάτης Νέστορας ἀρχίζει, ὁ Γερηνιώτης·
"Παιδιά μου, γλήγορα ἂς γενῆ ἡ ἀποθυμιά μου ἐτούτη,
τὴν Ἀθηνᾶ ἀπὸ τοὺς θεοὺς νὰ ξιλεώσω πρώτη,
ποὺ μοῦ 'ρθεν ὁλοφάνερη πὰς στὸ λαμπρὸ τραπέζι.
Ἕνας νὰ τρέξη στὴ βοσκὴ νὰ βρῆ καλὴ δαμάλα,
ποὺ ὁ ἀγελαδάρης ὡς ἐδῶ κεντώντας θὰ τὴ φέρη·
στὸ πλοῖο τοῦ μεγαλόψυχου Τηλέμαχου ἂς πάη ἄλλος,
νὰ φέρη τοὺς συντρόφους του, καὶ μόνε δυὸ ἂς ἀφήση·
τρίτος ἐδῶ τὸ χρυσοχὸ Λαέρκη νά 'ρθη ἂς κράξη,
τοῦ δαμαλιοῦ τὰ κέρατα γιὰ νὰ μαλαματώση.
Μείνετ' οἱ ἄλλοι ἐσεῖς αὐτοῦ, καὶ στὰ παλάτια μέσα

δμῳῇσιν κατὰ δώματ᾽ ἀγακλυτὰ δαῖτα πένεσθαι,
ἕδρας τε ξύλα τ᾽ ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐποίπνυον. ἦλθε μὲν ἂρ βοῦς
ἐκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἐίσης
Τηλεμάχου ἕταροι μεγαλήτορος, ἦλθε δὲ χαλκεὺς
ὅπλ᾽ ἐν χερσὶν ἔχων χαλκήια, πείρατα τέχνης,
ἄκμονά τε σφῦραν τ᾽ ἐυποίητόν τε πυράγρην,
οἵσίν τε χρυσὸν εἰργάζετο· ἦλθε δ᾽ Ἀθήνη
ἱρῶν ἀντιόωσα. γέρων δ᾽ ἱππηλάτα Νέστωρ
χρυσὸν ἔδωχ᾽· ὁ δ᾽ ἔπειτα βοὸς κέρασιν περίχευεν
ἀσκήσας, ἵν᾽ ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
βοῦν δ᾽ ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων.
χέρνιβα δέ σφ᾽ Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
ἦλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ᾽ ἔχεν οὐλὰς
ἐν κανέῳ πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης
ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο βοῦν ἐπικόψων.
Περσεὺς δ᾽ ἀμνίον εἶχε· γέρων δ᾽ ἱππηλάτα Νέστωρ
χέρνιβά τ᾽ οὐλοχύτας τε κατήρχετο, πολλὰ δ᾽ Ἀθήνῃ
εὔχετ᾽ ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐτίκα Νέστορος υἱὸς ὑπέρθυμος Θρασυμήδης
ἦλασεν ἄγχι στάς· πέλεκυς δ᾽ ἀπέκοψε

τραπέζια νὰ τοιμάσουνε στὶς παρακόρες πῆτε,
νὰ φέρουν καὶ καθίσματα, ξύλα, νερὸ καθάριο."
Αὐτὰ εἶπε, κι ὅλοι τρέξανε· κι ἦρθε ἡ δαμάλα ἀπέξω,
ἦρθαν τοῦ μεγαλόψυχου Τηλέμαχου οἱ συντρόφοι
ἀπ' τὸ καράβι τὸ γερό, ἦρθε ὁ χαλκιὰς κρατώντας
ἀμόνι,
σφυρί, καλόφτιαστη μασιά. Ν' ἀποδεχτῆ ζυγώνει
τὴν προσφορὰ κι ἡ Ἀθηνᾶ· δίνει χρυσάφι ὁ γέρος·
δουλεύει το καὶ χύνει το στὰ κέρατα ὁ τεχνίτης,
γιὰ νὰ χαρῆ τηρώντας το ἡ Ἀθηνᾶ, καὶ σέρνουν
ἀπὸ τὰ κέρατα τὸ ζῶ ὁ Ἐχέφρονας κι ὁ Στράτης.
Κι ἔφερνε ὁ Ἄρητος νερὸ σὲ πλουμιστὸ λεγένι,
τριφτὸ κριθάρι πανεριὰ κρατώντας στ' ἄλλο χέρι·
πελέκι κράταε κοφτερὸ ὁ λεβέντης Θρασυμήδης,
τὸ ζῶ νὰ κόψη. Σήκωνε ὁ Περσέας τὴ γαβάθα,
κι ὁ γέρος μὲ τὸ νίψιμο καὶ τὸ τριφτὸ κριθάρι
ἔκανε ἀρχὴ καὶ τὴ θεὰ θερμοπαρακαλοῦσε,
στὴ φλόγα ἀπάνω ρίχνοντας τοῦ κεφαλιοῦ τὶς τρίχες.
Καὶ σάνε προσευκήθηκαν κριθάρι πασπαλώντας,
τότες τοῦ Νέστορα μεμιὰς ὁ γιὸς ὁ ἀντρειωμένος
ὁ Θρασυμήδης ζύγωσε καὶ βάρεσε· τὰ

τένοντας
αὐχενίους, λῦσεν δὲ βοὸς μένος. αἱ δ' ὀλόλυξαν
θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις
Νέστορος, Εὐρυδίκη, πρέσβα
Κλυμένοιο θυγατρῶν.
οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης
ἔσχον· ἀτὰρ σφάξεν Πεισίστρατος, ὄρχαμος ἀνδρῶν.
τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμός,
αἶψ' ἄρα μιν διέχευαν, ἄφαρ δ' ἐκ μηρία τάμνον
πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχνα πάσαντο,
μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.
τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληϊάδαο.
αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,
ἔκ ῥ' ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος·
πὰρ δ' ὅ γε Νέστορ' ἰὼν κατ' ἄρ' ἕζετο, ποιμένα λαῶν.
οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,

νεῦρα
κόβουντ' ἀμέσως τοῦ ζνιχιοῦ, καὶ παραλεῖ ἡ δαμάλα·
κόρες καὶ νύφες σκούζουνε, σκούζει κι ἡ Εὐρυδίκη,
τοῦ Κλύμενου ἡ πρωτότοκη, τοῦ Νέστορα τὸ ταίρι,
Κι οἱ ἄλλοι καθὼς κράταγαν τὸ ζῶ ἀνασηκωμένο,
τοὺς τό 'σφαξε ὁ Πεισίστρατος, τὸ πρῶτο παλληκάρι.
Κι ἀπὸ τὰ κόκκαλα ἡ ψυχὴ μὲ τὸ αἷμα σὰν τοῦ βγῆκε,
μεμιὰς τὸ κομματιάσανε καὶ τὰ μεριὰ λιανίσαν,
ὅλα σωστά· τὰ τύλιξαν μὲ σκέπη, τὰ διπλῶσαν,
ὠμὰ κομμάτια ἀπὸ παντοῦ τοὺς θέσανε, κι ὁ γέρος
στὶς σκίζες τά 'καιε μὲ κρασὶ φλογάτο ραίνοντάς τα·
κι οἱ νέοι τὰ πεντόσουβλα κρατούσανε σιμά του.
Καὶ σὰν καῆκαν τὰ μεριὰ καὶ γεύτηκαν τὰ σπλάχνα,
κόψαν καὶ τ' ἄλλα, στὸ σουβλὶ τὰ πέρασαν, καὶ τότες
τὰ ψήσανε, τὰ μυτερὰ σουβλιά 'χοντας στὰ χέρια.
Καὶ τοῦ Τηλέμαχου λουτρὸ τοῦ δίνει ἡ Πολυκάστη,
κόρη στερνὴ τοῦ Νέστορα, τοῦ γόνου τοῦ Νηλέα.
Καὶ σὰν τόνε καλόλουσε, τὸν ἄλειψε μὲ λάδι,
καὶ μ' ὄμορφο τὸν ἔντυσε χιτώνα καὶ χλαμύδα,
ποὺ βγῆκε ἀπὸ τὸ λούσιμο μὲ τοὺς θεοὺς παρόμοιος
καὶ πῆγε κάθισε σιμὰ στὸ Νέστορα τὸ ρήγα.
Καὶ τ' ἀποπάνω κρέατα σὰν ψῆσαν καὶ τὰ βγάλαν,

δαίνυνθ᾽ ἑζόμενοι· ἐπὶ δ᾽ ἀνέρες ἐσθλοὶ ὄροντο
οἶνον οἰνοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππόται Νέστωρ·
"παῖδες ἐμοί, ἄγε Τηλεμάχῳ καλλίτριχας ἵππους
ζεύξαθ᾽ ὑφ᾽ ἅρματ᾽ ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο,
καρπαλίμως δ᾽ ἔζευξαν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους.
ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν
ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
ἂν δ᾽ ἄρα Τηλέμαχος περικαλλέα βήσετο δίφρον·
πὰρ δ᾽ ἄρα Νεστορίδης Πεισίστρατος, ὄρχαμος ἀνδρῶν,
ἐς δίφρον τ᾽ ἀνέβαινε καὶ ἡνία λάζετο χερσί,
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην
ἐς πεδίον, λιπέτην δὲ Πύλου αἰπὺ πτολίεθρον.
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
ἐς Φηρὰς δ᾽ ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
ἔνθα δὲ νύκτ᾽ ἄεσαν, ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ἵππους τε ζεύγνυντ᾽ ἀνά θ᾽ ἅρματα

στὸ φαγοπότι κάθισαν, καὶ τίμια παλληκάρια
σκωθῆκαν καῖ κερνούσανε μὲ τὰ χρυσὰ ποτήρια.
Κι ἀπὸ φαγὶ κι ἀπὸ πιοτὸ σὰ φράθηκε ἡ καρδιά τους,
αὐτὰ τὰ λόγια ὁ Νέστορας τοὺς εἶπε ὁ ἀλογολάτης.
“Παιδιά μου, τοῦ Τηλέμαχου φέρτε μεμιὰς καὶ ζέψτε
τὰ ὡριότριχα τ' ἀλόγατα, νὰ καλοταξιδέψη.”

Αὐτὰ εἶπε, καὶ τὸν ἄκουσαν, κι εὐτὺς στ' ἁμάξι ζέψαν
τ' ἀλόγατα τὰ γλήγορα. Κελάρισσα τοὺς βάζει

ψωμί, προσφάγι καὶ κρασὶ, σὰν πόχουν οἱ ρηγάδες.
Πὰς στ' ὥριο ἁμάξι ἀνέβηκε ὁ Τηλέμαχος, καὶ δίπλα
ὁ ἀσίκης ὁ Πεισίστρατος τὰ χαλινάρια πῆρε
καὶ τ' ἄλογα μαστίγωσε· πρόθυμ' αὐτὰ πετάξαν
στοὺς κάμπους, πίσω ἀφήνοντας τὴν ἀψηλὴ τὴν Πύλο.

Πὰς στὰ λαιμά τους ὁ ζυγὸς ὁλημερὶς κουνοῦσε,
μὰ ὁ ἥλιος σὰ βασίλεψε, κι ἀπόσκιωναν οἱ δρόμοι,
στὶς Φῆρες σταματήσανε, στοὺς πύργους τοῦ Διοκλέα,
ποὺ ἤτανε γιὸς τοῦ Ὀρσίλοχου, καὶ ποὺ τ' Ἀλφειοῦ ἦταν 'γγόνι.

Ἐκεῖ ξενύχτησαν, κι αὐτὸς φιλόξενα τοὺς δέχτη.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
ζέψανε, κι ἀν,εβήκανε στ' ὡριόφαντο τ'

ποικίλ᾽ ἔβαινον·
ἐκ δ᾽ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην.

ἵξον δ᾽ ἐς πεδίον πυρηφόρον, ἔνθα δ᾽ ἔπειτα
ἦνον ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.

ἀμάξι,
κι ἀφήκανε τὰ ξώθυρα τοῦ βουητεροῦ τοῦ πύργου·
δίνει βιτσιὰ στ' ἀλόγατα, κι αὐτὰ γοργοπετάξαν,
κι ἴσια στοὺς κάμπους τοὺς σπαρτοὺς κατέβηκαν πετώντας,
καὶ δρόμο κόψανε πολὺ μὲ τὴν ὁρμὴ ποὺ πῆραν.
Κι ἔγειρ' ὁ ἥλιος τὸ βράδυ, κι ἀπόσκιασαν οἱ δρόμοι.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία δ

Τὰ ἐν Λακεδαίμονι.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

οἱ δ᾽ ἵξον κοίλην Λακεδαίμονα κητώεσσαν,
πρὸς δ᾽ ἄρα δώματ᾽ ἔλων Μενελάου κυδαλίμοιο.
τὸν δ᾽ εὗρον δαινύντα γάμον πολλοῖσιν ἑτῆσιν
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.
τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἱέι πέμπεν·
ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσε
δωσέμεναι, τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον.
τὴν ἄρ᾽ ὅ γ᾽ ἔνθ᾽ ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι
Μυρμιδόνων προτὶ ἄστυ περικλυτόν, οἷσιν ἄνασσεν.
υἱέι δὲ Σπάρτηθεν Ἀλέκτορος ἦγετο κούρην,
ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
ἐκ δούλης· Ἑλένῃ δὲ θεοὶ γόνον οὐκέτ᾽ ἔφαινον,

Κάτου στῆς Λακεδαίμονας τὰ βραχοκάμπια φτάνουν,
καὶ στὰ παλάτια ξεκινοῦν τοῦ δοξαστοῦ Μενέλαου.
Βρῆκαν τον κι ἔκανε χαρὰ μὲ περισσούς δικούς του,
τὶ γιὸ καὶ κόρη πάντρευε στὸ σπιτικό του μέσα.
Στοῦ ἀτρόμητου Ἀχιλλέα τὸ γιὸ τὴν κόρη του προβόδα,
ποὺ ἀπὸ τήν Τροία τὴν ἔταξε καὶ λόγο τοῦ εἶχε δώσει,
καὶ τώρα τέλος φέρνανε οἱ ἀθάνατοι στὸ γάμο.
Μὲ ἀλόγατα καὶ μ' ἅμαξες τὴν ἔστελνε στὴ χώρα
τῶ Μυρμιδόνων τὴ λαμπρὴ, ποὺ βασιλιάς τους ἦταν,
Καὶ γιὰ τὸ γιό του διάλεξε τοῦ Ἀλέχτορα τὴν κόρη
στὴ Σπάρτη· ὁ χαδεμένος του λεβέντης Μεγαπένθης
ἦταν αὐτὸς, κι ἡ μάνα του σκλαβούλα, τὶ ἡ Ἑλένη

ἐπεὶ δὴ τὸ πρῶτον ἐγείνατο παῖδ' ἐρατεινήν,
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσέης Ἀφροδίτης.
ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα
γείτονες ἠδὲ ἕταιι Μενελάου κυδαλίμοιο,
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων, δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτούς,
μολπῆς ἐξάρχοντος, ἐδίνευον κατὰ μέσσους.

τὼ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτώ τε καὶ ἵππω,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός,
στῆσαν· ὁ δὲ προμολὼν ἴδετο κρείων Ἐτεωνεύς,
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο,
βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα ποιμένι λαῶν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"ξείνω δή τινε τώδε, διοτρεφὲς ὦ Μενέλαε,
ἄνδρε δύω, γενεῇ δὲ Διὸς μεγάλοιο ἔικτον.
ἀλλ' εἴπ', ἦ σφωιν καταλύσομεν ὠκέας ἵππους,
ἦ ἄλλον πέμπωμεν ἱκανέμεν, ὅς κε φιλήσῃ."
τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
"οὐ μὲν νήπιος ἦσθα, Βοηθοΐδη Ἐτεωνεῦ,
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πάϊς ὣς νήπια βάζεις.
ἦ μὲν δὴ νῶι ξεινήια πολλὰ φαγόντε
ἄλλων ἀνθρώπων δεῦρ' ἱκόμεθ', αἴ κέ ποθι Ζεὺς

ἄλλο παιδὶ δὲ γέννησε κατόπι τῆς Ἑρμιόνης
τῆς ὥριας, ποὺ χρυσόλαμπε σὰν ἴδια ἡ Ἀφροδίτη.
Ἔτσι μὲς στὸ πεντάψηλο ξεφάντωναν παλάτι
ὅλ' οἱ γειτόνοι κι οἱ δικοὶ τοῦ δοξαστοῦ Μενέλαου,
καὶ γλέντιζαν ὁ θεϊκὸς τραγουδιστὴς κοντά τους
τραγούδαε λύρα παίζοντας, καὶ στὸ σκοπό του ἀπάνω
δυὸ χορευτάδες πηδηχτὰ καταμεσὶς σβουρίζαν.
Στὰ πρόθυρα ὁ παλληκαρὰς Τηλέμαχος κι ὁ γιόκας
τοῦ Νέστορα ὁ περίλαμπρος μὲ τ' ἄλογα σταθῆκαν.
Προβγαίνει κι ἀγναντεύει τους ὁ ἄξιος Ἐτεωνέας,
πιστὸς παραστεκάμενος τοῦ δοξαστοῦ Μενέλαου,
καὶ στὸ παλάτι μήνυμα τοῦ βασιλέα τοῦ φέρνει,
σιμά του στέκοντας, μ' αὐτὰ τὰ φτερωμένα λόγια·
"Ὦδιόθρεφτε Μενέλαε, δυὸ ξένοι ἐδῶ φανῆκαν,
ποὺ σὰν τοῦ Δία μοιάζει τους τὸ γένος τοῦ μεγάλου.
Καὶ πὲς ἂν θὰ τοὺς λύσουμε τ' ἀλόγατα ἀπ' τ' ἁμάξι,
ἢ σ' ἄλλους νὰ τοὺς στείλουμε φιλοξενιὰ νὰ βροῦνε."
Καὶ τοῦ ξανθοῦ Μενέλαου τοῦ βαριοφάνη, κι εἶπε·
"Δὲν ἤσουν ἄλλοτες ἐσὺ κουτός, μωρ' Ἐτεωνέα,
μὰ τώρ' ἀλήθεια σὰ μωρὸ παιδὶ μοῦ συντυχαίνεις.
Τάχα δὲ φάγαμε κι ἐμεῖς σὲ σπίτια ἀνθρώπων ἄλλων,
πρὶν νά 'ρθουμε, κι ἀπὸ δεινὰ μᾶς

λευτερώση ὁ Δίας;
ἐξοπίσω περ παύσῃ ὀιζύος. ἀλλὰ λύ᾽ ἵππους
ξείνων, ἐς δ᾽ αὐτοὺς προτέρω ἄγε θοινηθῆναι."
ὣς φάθ᾽, ὁ δὲ μεγάροιο διέσσυτο, κέκλετο δ᾽ ἄλλους
ὀτρηροὺς θεράποντας ἅμα σπέσθαι ἑοῖ αὐτῷ.
οἱ δ᾽ ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
καὶ τοὺς μὲν κατέδησαν ἐφ᾽ ἱππείῃσι κάπῃσι,
πὰρ δ᾽ ἔβαλον ζειάς, ἀνὰ δὲ κρῖ λευκὸν ἔμιξαν,
ἅρματα δ᾽ ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα,
αὐτοὺς δ᾽ εἰσῆγον θεῖον δόμον. οἱ δὲ ἰδόντες
θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος·
ὡς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
δῶμα καθ᾽ ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
ἔς ῥ᾽ ἀσαμίνθους βάντες ἐυξέστας λούσαντο.
τοὺς δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ᾽ ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας,
ἔς ῥα θρόνους ἕζοντο παρ᾽ Ἀτρεΐδην Μενέλαον.
χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Μόν' ἔλα λῦσ' τ' ἀλόγατα τῶν ξένων κι ἔμπασέ τους,
νὰ κάτσουν καὶ νὰ καλοφᾶν καὶ νὰ χορτάσουν πρῶτα."
Εἶπε κι ἐκεῖνος χύθηκε καὶ φώναξε τοὺς ἄλλους
πρόθυμους δούλους κι εἶπε τους κατόπι του νὰ τρέξουν.
Καὶ τὰ δρωμένα τ' ἄλογα ξεζέψαν ἀπ' τ' ἁμάξι,
καὶ στ' ἀλογήσα τὰ παχνιὰ τὰ δέσαν, καὶ τούς βάλαν
νὰ φᾶνε ζειὰ ἀνακατευτὴ μὲ κάτασπρο κριθάρι.
Στὰ ξώτοιχα τὸ ὁλόλαμπρο τ' ἁμάξι τότες γείραν,
κι ἐκείνους μὲς στ' ἀρχοντικὸ τοὺς φέραν· κι αὐτοὶ ἰδόντας
τοῦ διόθρεφτου τοῦ βασιλιᾶ τοὺς πύργους, ἀποροῦσαν,
τ' εἶχαν τὸ φῶς τοῦ φεγγαριοῦ καὶ τοῦ ἥλιου τὴ λαμπράδα
τὰ σπίτια τ' ἀψηλόσκεπα τοῦ δοξαστοῦ Μενέλαου.
Καὶ σὰν τὰ σεριανίσανε καὶ χάρηκε ἡ ψυχή τους,
μπήκανε μὲς στὶς σκαλιστὲς τὶς γοῦρνες καὶ λουστῆκαν.
Καὶ σὰν τοὺς λοῦσαν κοπελιὲς κι ἀλεῖψαν τους μὲ λάδι,
καὶ τοὺς φορέσανε κρουστὲς χλαμύδες καὶ χιτῶνες,
πὰς σὲ θρονιὰ τοὺς κάθισαν σιμὰ στὸ γιὸ τοῦ Ἀτρέα.
Καὶ μπρίκι γιὰ τὸ νίψιμο τοὺς φέρνει τότε ἡ βάγια,
ὥριο, χρυσό, καὶ χύνει τους στὴν ἀργυρὴ λεγένη,
κι ὕστερα στρώνει ἀντίκρυ τους γυαλιστερὸ τραπέζι.
Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,

εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων.
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
τὼ καὶ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος·
"σίτου θ᾽ ἅπτεσθον καὶ χαίρετον. αὐτὰρ ἔπειτα
δείπνου πασσαμένω εἰρησόμεθ᾽, οἵ τινές ἐστον
ἀνδρῶν· οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων,
ἀλλ᾽ ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων
σκηπτούχων, ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν."
ὣς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
ὄπτ᾽ ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ᾽ οἱ ἄλλοι·
"φράζεο, Νεστορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,
χαλκοῦ τε στεροπὴν κὰδ δώματα ἠχήεντα
χρυσοῦ τ᾽ ἠλέκτρου τε καὶ ἀργύρου ἠδ᾽ ἐλέφαντος.
Ζηνός που τοιήδε γ᾽ Ὀλυμπίου ἔνδοθεν αὐλή,
ὅσσα τάδ᾽ ἄσπετα πολλά· σέβας μ᾽ ἔχει εἰσορόωντα."
τοῦ δ᾽ ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος,
καί σφεας φωνήσας ἔπεα πτερόεντα

κι ἀπὸ τὰ καλοφάγια της τοὺς φίλεψε περίσσια.
Καὶ στὰ πινάκια ὁ μοιραστὴς τὰ κρέατα ἀραδιάζει,
καὶ θέτει χρυσοπότηρα ὀμπροστά τους. Κι ὁ Μενέλαος
τοὺς χαιρετάει τοὺς δυὸ μαζί, κι αὐτὰ τοὺς συντυχαίνει·
"Ἁπλῶστε χέρι στὸ φαγί, χαρῆτε το· κατόπι
σὰν καλοφᾶτε, σᾶς ρωτῶ ποιοί νά 'στε, κι ἀποποῦθε.
Τὸ αἷμα σας τὸ γονικὸ δὲν εἶναι ἐσᾶς χαμένο,
παρὰ θεόθρεφτων παιδιὰ θένα 'στε βασιλιάδων,
τὶ ἀνθρῶποι δὲ γεννοῦν κοινοὶ παλληκαράδες τέτοιους."
Εἶπε, κι ὀμπρός τους ἔθεσε ραχόψαχνα βοδήσα,
ψητά, ποὺ ἐκείνου τά 'χανε βαλμένα γιὰ τιμή του.
Κι αὐτοὶ τὰ χέρια ἁπλώνανε στὰ καλοφάγια ὀμπρός τους.
Κι ἀπὸ πιοτὸ κι ἀπὸ φαΐ σὰ φράθηκε ἡ καρδιά τους,
στοῦ Νέστορα ὁ Τηλέμαχος τὸ τέκνο συντυχαίνει,
ὁλόσιμά του σκύβοντας, νὰ μὴν ἀκοῦν οἱ ἄλλοι·
"Γιὰ κοίτα, γιὲ τοῦ Νέστορα, καὶ φίλε τῆς καρδιᾶς μου,
χαλκὸς ποὺ ἀστράφτει μὲς σ' αὐτὰ τὰ βουητερὰ παλάτια,
τὸ μάλαμα καὶ τὸ ἤλεχτρο, τὸ φίλντισί, τ' ἀσήμι.
Τέτοιες θένα 'ναι κι οἱ αὐλὲς τοῦ Δία τοῦ Ὀλυμπήσου·
ἀρίφνητα καλὰ θωρῶ, καὶ θαμασμὸς μὲ πιάνει."
Καὶ τὸν ἀπείκασε ὁ ξανθὸς Μενέλαος σὰ μιλοῦσε,
καὶ τοὺς φωνάζει καὶ λαλεῖ μὲ

προσηύδα·
"τέκνα φίλ', ἦ τοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν·
ἀνδρῶν δ' ἥ κέν τίς μοι ἐρίσσεται, ἠὲ καὶ οὐκί,
κτήμασιν. ἦ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
ἠγαγόμην ἐν νηυσὶ καὶ ὀγδοάτῳ ἔτει ἦλθον,
Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς,
Αἰθίοπάς θ' ἰκόμην καὶ Σιδονίους καὶ Ἐρεμβοὺς
καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.
τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν.
ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς οὔτε τι ποιμὴν
τυροῦ καὶ κρειῶν οὐδὲ γλυκεροῖο γάλακτος,
ἀλλ' αἰεὶ παρέχουσιν ἐπητανὸν γάλα θῆσθαι.
ἧος ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων
ἠλώμην, τῆός μοι ἀδελφεὸν ἄλλος ἔπεφνεν
λάθρῃ, ἀνωιστί, δόλῳ οὐλομένης ἀλόχοιο·
ὣς οὔ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὑμῖν
εἰσίν, ἐπεὶ μάλα πολλὰ πάθον, καὶ ἀπώλεσα οἶκον
εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ καὶ ἐσθλά.
ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο

φτερωμένα λόγια·
"Ποιός ἄνθρωπος, παιδάκια μου, μετριέται μὲ τὸ Δία;
ἀθάνατοί 'ναι οἱ πύργοι του καὶ τὰ καλά του ἐκείνου·
θνητὸς μονάχα στὰ καλὰ μ' ἐμένανε μετριέται,
ἢ κι ὄχι· τὶ μὲ πάθια μου καὶ μὲ πολλὰ ταξίδια
μὲς στὰ καράβια τά 'φερα χρόνους ὀχτὼ γυρνώντας·
Κύπρο, Φοινίκη διάβηκα, Αἴγυπτο, Αἰθιοπία,
καὶ Σιδονιῶτες κι Ἐρεμπούς, καὶ τῆς Λιβύας τὴ χώρα,
ἐκεῖ ποὺ πάντοτες τ' ἀρνιὰ μὲ κέρατα γεννιοῦνται,
καὶ τρεῖς φορὲς τὰ πρόβατα γεννοβολοῦν τὸ χρόνο.
Μήτε τοῦ νοικοκύρη ἐκεῖ καὶ μήτε τοῦ πιστοῦ του
δὲ λείπει κρεάσι καὶ τυρὶ καὶ τὸ γλυκὸ τὸ γάλα·
τὶ τό 'χουν ὅσο θὲς ἐκεῖ τὸ γάλα καὶ τ' ἀρμέγουν.
Καὶ βιὸς πολὺ συνάζοντας ἐγὼ καθὼς πλανιόμουν,
ἄλλος κρυφὰ κι ὁλόξαφνα τὸν ἀδερφό μου τότες
μὲ τήν ἀπάτη σκότωνε τῆς ἔρμης του γυναίκας·
καὶ νά, γιατὶ δὲ χαίρουμαι τὰ πλούτια αὐτὰ ποὺ ὁρίζω.
Θὰ τὰ γρικήσατε κι ἐσεῖς αὐτὰ ἀπὸ τοὺς γονιούς σας,
ὅποιοι κι ἂν εἶναι, τὶ ἔπαθα πολλά, μοῦ χάθη σπίτι
καλότυχο καὶ μὲ καλὰ περίσσια πλουτισμένο.
Μακάρι νὰ μοῦ μνήσκανε τὸ τρίτο μὲς στοὺς πύργους,
κι οἱ ἄντρες νὰ γλυτώνανε ποὺ μᾶς χαθῆκαν τότες

Τροίῃ ἐν εὐρείῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
ἀλλ᾽ ἔμπης πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων
πολλάκις ἐν μεγάροισι καθήμενος ἠμετέροισιν
ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ᾽ αὖτε
παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὡς ἑνός, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
μνωομένῳ, ἐπεὶ οὔ τις Ἀχαιῶν τόσσ᾽ ἐμόγησεν,
ὅσσ᾽ Ὀδυσεὺς ἐμόγησε καὶ ἤρατο. τῷ δ᾽ ἄρ᾽ ἔμελλεν
αὐτῷ κήδε᾽ ἔσεσθαι, ἐμοὶ δ᾽ ἄχος αἰὲν ἄλαστον
κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται, οὐδέ τι ἴδμεν,
ζώει ὅ γ᾽ ἦ τέθνηκεν. ὀδύρονταί νύ που αὐτὸν
Λαέρτης θ᾽ ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια
Τηλέμαχός θ᾽, ὃν ἔλειπε νέον γεγαῶτ᾽ ἐνὶ οἴκῳ."
ὣς φάτο, τῷ δ᾽ ἄρα πατρὸς ὑφ᾽ ἵμερον ὦρσε γόοιο.
δάκρυ δ᾽ ἀπὸ βλεφάρων χαμάδις βάλε πατρὸς ἀκούσας,
χλαῖναν πορφυρέην ἄντ᾽ ὀφθαλμοῖιν ἀνασχὼν
ἀμφοτέρῃσιν χερσί. νόησε δέ μιν Μενέλαος,
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι
ἦ πρῶτ᾽ ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο.

ἦος ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ

στὴν Τρωάδα τὴν πλατύχωρη, μακριὰ ἀπὸ τὴν πατρίδα.
Ὅλους ἐγὼ τοὺς κλαίω ἐκειοὺς καὶ δέρνουμαι, κλεισμένος
σὰν κάθουμαι πολλὲς φορὲς σ' αυτά μου τὰ παλάτια,
κι ὧρες στὸ κλάμα χαίρουμαι, ὧρες τὸ κόβω πάλε,
τὶ γλήγορα χορταίνεται τὸ κρύο τὸ μοιρολόγι.
Μὰ τούτους ὅλους δὲ θρηνῶ, κι ἂς καίγετ' ἡ καρδιά μου,
ὅσο ἕναν, ποὺ ποθώντας τον ὄρεξη χάνω κι ὕπνο·
γιατ' Ἀχαιὸς δὲν τράβηξε τὰ ὅσα ὁ Ὀδυσσέας.
Μὰ ἡ μοῖρα τό 'θελε πολλὰ νὰ πάθη αὐτός, κι ἐμένα
νὰ τρώη ὁ πόνος του ὁ σκληρός, ποὺ τόσους χρόνους λείπει,
κι ἀνίσως ζῇ ἢ ἀπέθανε κανένας δὲ γνωρίζει.
Καὶ θὰ τὸν κλαῖνε τώρ' αὐτὸν ὁ γέρος ὁ Λαέρτης
κι ἡ Πηνελόπη ἡ γνωστικιά, θὰ τόνε κλαίη κι ὁ γιός τους,
ποὺ ἀπὸ τὸ σπίτι φεύγοντας μωρὸ τὸν εἶχε ἀφήσει."
Εἶπε, κι αὐτὸς λαχτάρηξε νὰ κλάψη τὸ γονιό του.
Χάμου ἕνα δάκρυο του ἔχυσε γρικώντας τ' ὄνομά του,
κι ὀμπρὸς στὰ μάτια σήκωσε τὴν πορφυρένια χλαίνα
μὲ τὰ δυὸ χέρια. Τό 'νιωσε ὁ Μενέλαος, καὶ μονάχος
τὸ βαθιογύριζε στὸ νοῦ καὶ στήν ψυχή του μέσα,
νὰ τὸν ἀφήση ὁ ἴδιος του νὰ πῆ γιὰ τὸ γονιό του,
ἢ πρῶτος νὰ ρωτήξη αὐτὸς καὶ ξέταση νὰ κάνη;
Κι ἐκεῖ ποὺ αὐτὰ μελέταγε στὸ νοῦ

κατὰ θυμόν,
ἐκ δ᾽ Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
ἦλυθεν Ἀρτέμιδι χρυσηλακάτῳ ἐικυῖα.
τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκεν,
Ἀλκίππη δὲ τάπητα φέρεν μαλακοῦ ἐρίοιο,
Φυλὼ δ᾽ ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔθηκεν
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι᾽ ἐνὶ Θήβῃς
Αἰγυπτίῃς, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται·
ὃς Μενελάῳ δῶκε δύ᾽ ἀργυρέας ἀσαμίνθους,
δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα.
χωρὶς δ᾽ αὖθ᾽ Ἑλένῃ ἄλοχος πόρε κάλλιμα δῶρα·
χρυσέην τ᾽ ἠλακάτην τάλαρόν θ᾽ ὑπόκυκλον ὄπασσεν
ἀργύρεον, χρυσῷ δ᾽ ἐπὶ χείλεα κεκράαντο.
τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα
νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ᾽ αὐτῷ
ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα.
ἕζετο δ᾽ ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
αὐτίκα δ᾽ ἥ γ᾽ ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα·
"ἴδμεν δή, Μενέλαε διοτρεφές, οἵ τινες οἵδε
ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
ψεύσομαι ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.

καὶ στὴν ψυχή του,
ἡ Ἑλένη ἀπὸ τ' ἀνώγια της τὰ μοσκομυρισμένα
προβάλλει σὰν τὴν Ἄρτεμη τὴ χρυσοσαγιτοῦσα.
Σιμά της στήνει ἡ Ἄδραστη θρονὶ καλοφτιασμένο,
ἡ Ἀλκίππη μάλλινο ἁπαλὸ φέρνει χαλὶ κι ἁπλώνει,
καὶ τὸ πανέρι τ' ἀργυρὸ φέρν' ἡ Φυλώ, ποὺ δῶρο
ἡ Ἀλκάντρα τῆς τὸ χάρισε ἡ γυναίκα τοῦ Πολύβου,
ποὺ ζοῦσε καὶ λημέριαζε στὴν Αἴγυπτο στὶς Θῆβες,
καὶ ποὺ εἶχε πλούτια ἀρίφνητα στὸ σπιτικό του μέσα.
Ἔδωσ' ἐκεῖνος δυὸ ἀργυρὰ λουτρὰ τοῦ γιοῦ τοῦ Ἀτρέα,
δυὸ τρίποδα, καὶ μάλαμα τάλαντα δέκα χώρια·
δῶρα ἡ κερά του διαλεχτὰ χαρίζει τῆς Ἑλένης,
χρυσή ἀληκάτη, κι ἀργυρὸ πανέρι πὰς στὶς ρόδες,
μὲ χρυσωμένα ὁλόγυρα τοῦ πανεριοῦ τὰ χείλη.
Αὐτὸ δὰ τῆς παράθεσε ἡ Φυλὼ ἡ παρακόρη,
γεμάτο νῆμα δουλευτό, κι ἀπάνω ἡ ἀληκάτη
μὲ τὸ βαθιόχρωμο μαλλί, θεμένη πέρα ὡς πέρα.
Καθίζει ἀπάνω στὸ θρονί, μ' ἀκουμποπόδι ὀμπρός της
ἡ Ἑλένη, καὶ τὸν ἄντρα της καλορωτάει νὰ μάθη.
"Ὦ διόθρεφτε Μενέλαε, γνωρίζουμ' ἐμεῖς τάχα
ἐτοῦτοι ποὺ μᾶς ἤρθανε σὰν ποιοί παινιένται νά 'ναι ;
Ἀλήθεια, ἢ ψέματα θὰ πῶ; δὲν τὸ βαστῶ πιὰ μέσα.

οὐ γάρ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
οὔτ᾽ ἄνδρ᾽ οὔτε γυναῖκα, σέβας μ᾽ ἔχει εἰσορόωσαν,
ὡς ὅδ᾽ Ὀδυσσῆος μεγαλήτορος υἷι ἔοικε,
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ᾽ ἐνὶ οἴκῳ
κεῖνος ἀνήρ, ὅτ᾽ ἐμεῖο κυνώπιδος εἵνεκ᾽ Ἀχαιοὶ
ἤλθεθ᾽ ὑπὸ Τροίην πόλεμον θρασὺν ὀρμαίνοντες."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
"οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ ἐίσκεις·
κείνου γὰρ τοιοίδε πόδες τοιαίδε τε χεῖρες
ὀφθαλμῶν τε βολαὶ κεφαλή τ᾽ ἐφύπερθέ τε χαῖται.
καὶ νῦν ἦ τοι ἐγὼ μεμνημένος ἀμφ᾽ Ὀδυσῆι
μυθεόμην, ὅσα κεῖνος ὀιζύσας ἐμόγησεν
ἀμφ᾽ ἐμοί, αὐτὰρ ὁ πικρὸν ὑπ᾽ ὀφρύσι δάκρυον εἶβε,
χλαῖναν πορφυρέην ἄντ᾽ ὀφθαλμοῖιν ἀνασχών."

τὸν δ᾽ αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
κείνου μέν τοι ὅδ᾽ υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ᾽ ἐνὶ θυμῷ
ὧδ᾽ ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν
ἄντα σέθεν, τοῦ νῶι θεοῦ ὣς τερπόμεθ᾽ αὐδῇ.
αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ
τῷ ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ

Ποτές μου δὲν εἶδ' ἄνθρωπο, ἄντρα ἢ γυναίκα, τόσο
νὰ μοιάζῃ ἀνθρώπου, ὅσο αὐτὸς — θαμάζω βλέποντάς τον—
ὁ γιὸς τοῦ μεγαλόκαρδου Ὀδυσσέα μοιάζει νά 'ναι,
ὁ νέος Τηλέμαχος, ποὺ ἐκειὸς μικρὸ τὸν εἶχε ἀφήσει
γιὰ μένα τὴν ἀσύστατη σὰν τρέξατε στὴν Τροία
στὸ νοῦ σας πόλεμο ἔχοντας ἀπόκοτο ὅλοι τότες."
Κι ὁ ξανθουλὸς Μενέλαος γυρίζει καὶ τῆς κρένει·
"Κι ἐγώ, γυναίκα, νιώθω τα καθὼς ἐσὺ τὰ κρίνεις·
τέτοια τὰ πόδια του ἐκεινοῦ, τὰ χέρια κι οἱ ματιές του,
τέτοιο καὶ τὸ κεφάλι του κι ἀπάνωθέ του ἡ κόμη.
Καὶ καθὼς τώρα θύμιζα τὸν Ὀδυσσέα, δηγώντας
τὰ ὅσα ἐκεῖνος ἔπαθε καὶ πόφερε γιὰ μένα,
αὐτὸς πικρὸ κατέβαζε στὸ πρόσωπό του δάκρυο,
κι ὀμπρὸς στὰ μάτια σήκωνε τήν πορφυρένια χλαίνα."
Καὶ τότε ὁ γιὸς τοῦ Νέστορα ὁ Πεισίστρατος τοῦ κάνει·
"Ὦδιόθρεφτε Μενέλαε κι ἀρχοντογιὲ τοῦ Ἀτρέα,
ἐκείνου γιὸς εἶν' ἀπεδῶ στ' ἀλήθεια, καθὼς εἶπες·
εἶναι ὅμως στοχαζούμενος καὶ δὲν κοτάει ὁ νοῦς του
ὅ,τι πρωτόηρθε, ἀνέπρεπα νὰ κρένῃ λόγια ὀμπρός σου,
ἐδῶ ποὺ σὰ φωνὴ θεοῦ ἡ φωνή σου μᾶς γλυκαίνει.
Μ' ἔστειλ' ἐμένα ὁ Νέστορας, ὁ ἀλογογνώστης ρήγας,
νὰ τόνε συνοδέψω αὐτὸν, τὶ νὰ σὲ δῆ

σε ἰδέσθαι,
ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι ἠέ τι ἔργον.
πολλὰ γὰρ ἄλγε᾽ ἔχει πατρὸς πάϊς οἰχομένοιο
ἐν μεγάροις, ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν,
ὡς νῦν Τηλεμάχῳ ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
εἴσ᾽ οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
"ὢ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
ἵκεθ᾽, ὃς εἵνεκ᾽ ἐμεῖο πολέας ἐμόγησεν ἀέθλους·
καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶιν ὑπεὶρ ἅλα νόστον ἔδωκε
νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς.
καί κέ οἱ Ἄργεϊ νάσσα πόλιν καὶ δώματ᾽ ἔτευξα,
ἐξ᾽ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ
καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
αἳ περιναιετάουσιν, ἀνάσσονται δ᾽ ἐμοὶ αὐτῷ.
καί κε θάμ᾽ ἐνθάδ᾽ ἐόντες ἐμισγόμεθ᾽· οὐδέ κεν ἡμέας
ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε,
πρίν γ᾽ ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
ἀλλὰ τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτός,
ὃς κεῖνον δύστηνον ἀνόστιμον οἷον ἔθηκεν."
ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο.

ποθοῦσε,
ἴσως καὶ λόγο ἢ κάμωμα στὸ λογισμό του βάλης.
Γονιοῦ ποὺ ξενικεύτηκε παιδὶ πολλὰ παθαίνει
στὸ σπίτι του, ἃ δὲν τοῦ 'ρχεται βοήθεια ἀπὸ τοὺς ἄλλους.
Ἔτσι καὶ τοῦ Τηλέμαχου λείπει ὁ γονιός του, κι ἄλλοι
στὰ βάσανά του γλυτωμὸ δὲν ἔρχουνται νὰ φέρουν."
Κι ὁ ξανθουλὸς Μενέλαος τοῦ ἀπολογιέται τότες·
"Ἀλήθεια, γιὸς ἀγαπητοῦ μοῦ 'ρθε στὸ σπίτι ἀνθρώπου,
ποὺ γιὰ τὰ μένα τράβηξε κόπους κι ἀγῶνες μύριους·
κι εἶπα, θὰ τόνε φίλευα ἀπὸ κάθε ἄλλον Ἀργίτη
ξέχωρα, ἂν τότες ἔδινε ὁ Δίας ὁ βροντορίχτης
νὰ ρθοῦμε ἀντάμα, στὰ γοργὰ ἀρμενίζοντας καράβια.
Μὲς στ' Ἄργος θένα τοῦ 'φτιανα καὶ χώρα καὶ παλάτι,
ἀπὸ τὸ Θιάκι φέρνοντας μ' αὐτὸν καὶ τὰ καλά του,
τὸ γιό του κι ὅλο τὸ λαό, κι ἁρπώντας του μιὰ χώρα
ἀπ' ὅσες γύρω βρίσκουνται κι ἐμένα προσκυνᾶνε.
Ἐδῶ συχνὰ θὰ σμίγαμε, καὶ δὲ θὰ χώριζε ἄλλο
τὸ φιλευτή του ἐμένανε ἀπ' ἐκειὸν τὸ φιλεμένο,
παρὰ τὸ μαῦρο σύννεφο τοῦ Χάρου σὰν ἐρχόταν.
Γραφτὸ ὅμως ἤτανε ὁ θεὸς νὰ τὰ φτονέση ἐτοῦτα,
καῖ μόνο ἐκείνου ν' ἀρνηθῆ τὸ γυρισμὸ τοῦ δόλιου."
Εἶπε, καὶ σ' ὅλους ἔδωσε μοιρολογιοῦ λαχτάρα.

κλαῖε μὲν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος,
οὐδ᾽ ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε·
μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
τόν ῥ᾽ Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός·
τοῦ ὅ γ᾽ ἐπιμνησθεὶς ἔπεα πτερόεντ᾽ ἀγόρευεν·
"Ἀτρεΐδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσχ᾽ ὁ γέρων, ὅτ᾽ ἐπιμνησαίμεθα σεῖο
οἷσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
καὶ νῦν, εἴ τί που ἔστι, πίθοιό μοι· οὐ γὰρ ἐγώ γε
τέρπομ᾽ ὀδυρόμενος μεταδόρπιος, ἀλλὰ καὶ ἠὼς
ἔσσεται ἠριγένεια· νεμεσσῶμαί γε μὲν οὐδὲν
κλαίειν ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
τοῦτό νυ καὶ γέρας οἷον ὀιζυροῖσι βροτοῖσιν,
κείρασθαί τε κόμην βαλέειν τ᾽ ἀπὸ δάκρυ παρειῶν.
καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἐγώ γε
ἤντησ᾽ οὐδὲ ἶδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, πέρι μὲν θείειν ταχὺν ἠδὲ μαχητήν."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
"ὦ φίλ᾽, ἐπεὶ τόσα εἶπες, ὅσ᾽ ἂν πεπνυμένος ἀνὴρ
εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος

Κλαίγ' ἡ Ἑλένη ἡ Ἀργίτισσα, τοῦ Δία ἡ θυγατέρα,
κλαίει ὁ καλὸς Τηλέμαχος κι ὁ γιὸς τοῦ Ἀτρέα Μενέλαος,
καὶ μήτε ὁ γιὸς τοῦ Νέστορα στεγνὰ δὲν εἶχε μάτια·
τὶ τὸν Ἀρχίλοχο κι αὐτὸς τὸν ἄσφαλτο θυμήθη,
ποὺ ὁ γόνος τῆς λαμπρῆς Ἠῶς τὸν εἶχε σκοτωμένο·
αὐτὸν θυμώντας μίλησε μὲ λόγια φτερωμένα·
"Τοῦ Ἀτρέα γιέ, πιὸ γνωστικὸ μὲς στούς ἀνθρώπους ὅλους
ὁ γέρος σὲ εἶπε Νέστορας μιλώντας γιὰ τὰ σένα
στὸ σπίτι, σὰ ρωτιούμασταν ὁ ἕνας μὲ τὸν ἄλλον.
Καὶ τώρα, ἃ γίνεται, ἄκου με· γιατὶ στὸ δεῖπνο ἀπάνω
δὲν τ' ἀγαπῶ τὰ κλάματα· μὰ θὰ ξανάρθη ἡ Αὐγούλα.
Δὲ λέω πὼς ὅποιον παίρνει μας ὁ Χάρος νὰ μὴν κλαῖμε.
Αὐτὸ δὰ μόνο δῶρο τους ἔχουν οἱ δόλιοι ἀνθρῶποι,
ἡ κομη νὰ κουρεύεται, νὰ τρέχουνε τὰ δάκρια.
Κι ἐμένα ἀπέθανε ἀδερφός, ποὺ στοὺς Ἀργῖτες μέσα
δὲν ἦταν ὁ χερότερος, καὶ ποὺ γνωστός σου θά 'ναι·
δὲν τόνε γνώρισα κι ἐγώ· λένε πὼς πρῶτος ἦταν
ὁ Ἀντίλοχος στὸ τρέξιμο, κι ἀδάμαστος στὴ μάχη."
Κι ὁ ξανθομάλλης τοῦ ἀπαντάει Μενέλαος καὶ τοῦ κάνει·
"Φίλε, ποὺ φρόνιμα λαλεῖς, κι ὅσα ἄνθρωπος μὲ γνώση
καὶ πιὸ μεγάλος θά 'λεγε καὶ θά 'κανε· ἀπὸ τέτοιον
ὄντας γονιό, δὲ δύνεσαι παρὰ σοφὰ νὰ

εἴη·
τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζεις,
ῥεῖα δ᾽ ἀρίγνωτος γόνος ἀνέρος ᾧ τε Κρονίων
ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε,
ὡς νῦν Νέστορι δῶκε διαμπερὲς ἤματα πάντα
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη,
δόρπου δ᾽ ἐξαῦτις μνησώμεθα, χερσὶ δ᾽ ἐφ᾽ ὕδωρ
χευάντων. μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοὶ διαειπέμεν ἀλλήλοισιν."
ὣς ἔφατ᾽, Ἀσφαλίων δ᾽ ἄρ ὕδωρ ἐπὶ χεῖρας ἔχευεν,
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησ᾽ Ἑλένη Διὸς ἐκγεγαυῖα·
αὐτίκ᾽ ἄρ᾽ εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
νηπενθές τ᾽ ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη,
οὔ κεν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
οὐδ᾽ εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
οὐδ᾽ εἴ οἱ προπάροιθεν ἀδελφεὸν ἢ φίλον υἱὸν
χαλκῷ δηιόῳεν, ὁ δ᾽ ὀφθαλμοῖσιν ὁρῷτο.

κρένης.
Εὔκολ' ἀκούγεται ἡ γενιὰ τοῦ ἄντρα
ποὺ ὁ γιὸς τοῦ Κρόνου
καλὸ τοῦ φέρνει ριζικὸ σὲ γάμο καὶ σὲ γέννα.
Ἔτσι τοῦ Νέστορα ἔδωκε ὁ Δίας μιὰ γιὰ πάντα,
κι ὁ ἴδιος νά 'χη γερατειὰ καλὰ στ' ἀρχοντικό του,
καὶ γιοὺς νὰ κάμη φρόνιμους καὶ στ' ἄρματα μεγάλους.
Μὰ ἂς πάψουμε τὰ κλάματα, ποὺ αὐτὰ γενῆκαν τότες·
στὸ δεῖπνο τώρα ἂς ἔρθουμε, νερὸ στὰ χέρια ἂς χύσουν,
καὶ μὲ τὸ χάραμα αὔριο ξαναρχινοῦν τὰ λόγια,
ποὺ κι ὁ Τηλέμαχος κι ἐγὼ θὰ ποῦμε ἀνάμεσα μας."
Εἶπε, κι ὁ Ἀσφάλης τὸ νερὸ τοὺς ἔχυσε στὰ χέρια,
ὁ σβέλτος κι ἄξιος παραγιὸς τοῦ δοξαστοῦ Μενέλαου.
Κι ἁπλῶσαν χέρια στὰ ἑτοιμα φαγιὰ πού 'χαν ὀμπρός τους.
Τότες αὐτὸ σοφίστηκε τοῦ Δία ἡ κόρη Ἑλένη·
ἀπ' ὅπου πίνανε κρασὶ τοὺς ἔριξε βοτάνι,
συχαστικὸ κι ἀνέχολο, ποὺ κάθε πόνο πνίγει.
Ὅποιος αὐτὸ τὸ καταπιῆ σμιγμένο στὸ κροντήρι,
ὁλημερὶς δὲ χύνεται στὸ μάγουλο του δάκρυο,
μὰ κι ἄξαφνα ἂν ἡ μάνα του ἢ ὁ κύρης τοῦ πεθάνη,
ἢ κι ὀμπροστὰ στὰ μάτια του μὲ τὸ μαχαίρι ἂν κόβουν
ἀγαπημένο ἀδέρφι του, ἢ γιὸ μονάκριβό του.

τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλά, τά οἱ Πολύδαμνα πόρεν, Θῶνος παράκοιτις
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα πολλὰ δὲ λυγρά·
ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων
ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.
αὐτὰρ ἐπεί ῥ᾽ ἐνέηκε κέλευσέ τε οἰνοχοῆσαι,
ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν·
"Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε
ἀνδρῶν ἐσθλῶν παῖδες· ἀτὰρ θεὸς ἄλλοτε ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα·
ἦ τοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισι
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·
ἀλλ᾽ οἷον τόδ᾽ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ᾽ Ἀχαιοί.
αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ᾽ ἀμφ᾽ ὤμοισι βαλών, οἰκῆι ἐοικώς,
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν·
ἄλλῳ δ᾽ αὐτὸν φωτὶ κατακρύπτων ἤισκε,
δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν

Τέτοια 'χε γιατροβότανα καλὰ τοῦ Δία ἡ κόρη·
τά 'χε δοσμένα ἡ σύγκοιτη τοῦ Θώνα ἡ Πολυδάμνα,
στὴν Αἴγυπτο, ποὺ ἀρίθμητα ἡ πλούσια ἡ γῆς τὰ βγάζει,
ἄλλα καλὰ στὸ σμίξιμο κι ἄλλα φαρμακωμένα·
γιατρὸς καθένας εἶν' ἐκεῖ παράξιος μὲς στὸν κόσμο,
τὶ ὅλοι τους τὸν Παιήονα γνωρίζουν πρόγονό τους.
Καὶ μέσα αὐτὰ σὰν τά 'ριξε, κι εἶπε νὰ τοὺς κεράσουν,
πάλε ἄρχισε τὸ μιλητό, κι αὐτὰ τοὺς συντυχαίνει·
"Ὦ διόθρεφτε Μενέλαε, κι ἐσεῖς ἐδῶ βλαστάρια
λαμπρῶν ἀντρῶν, — γιατὶ ὁ θεὸς ὁ Δίας μᾶς χαρίζει
ἄλλου καλὸ κι ἄλλου κακό, καὶ δύνεται τὰ πάντα, —
ἐδῶ τώρα ποὺ κάθεστε καὶ τρῶτε στὸ παλάτι,
καὶ μὲ μιλιὲς γλεντίζετε, σὰν κάτι ποὺ ταιριάζει
θὰ πῶ σας. Εἶναι ἀδύνατο νὰ δηγηθῶ σας ὅλους
τοῦ σιδερόκαρδου Ὀδυσσέα τοὺς πάμπολλους ἀγῶνες·
ἕνα θὰ πῶ ὅμως ποὺ ἔπραξε ὁ ἀτρόμητος ἐκεῖνος,
στὴν Τροία, ποὺ τοὺς Ἀχαιοὺς μύρια τοὺς πέσαν πάθια·
τότες ποὺ χάραξε κακὰ σημάδια στὸ κορμί του,
ντύθηκε ροῦχα φτωχικά, καὶ μοιάζοντας μὲ δοῦλο
γυρνοῦσε στὴν πλατύδρομη τοῦ ἐχτροῦ τὴ χώρα μέσα·
ἔτσι ἀλλαγμένος, θά 'λεγες κάποιος ζητιάνος ἦταν,
αὐτὸς ποὺ ἀλλιῶς φαινότανε στ'

Ἀχαιῶν.
τῷ ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ᾽ ἀβάκησαν
πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
καί μιν ἀνηρώτων· ὁ δὲ κερδοσύνῃ ἀλέεινεν.
ἀλλ᾽ ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίῳ,
ἀμφὶ δὲ εἵματα ἕσσα καὶ ὤμοσα καρτερὸν ὅρκον
μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ᾽ ἀναφῆναι,
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ᾽ ἀφικέσθαι,
καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῷ
ἦλθε μετ᾽ Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.
ἔνθ᾽ ἄλλαι Τρῳαὶ λίγ᾽ ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ᾽, ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
ἂψ οἶκόνδ᾽, ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
δῶχ᾽, ὅτε μ᾽ ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
παῖδά τ᾽ ἐμὴν νοσφισσαμένην θάλαμόν τε πόσιν τε
οὔ τευ δευόμενον, οὔτ᾽ ἂρ φρένας οὔτε τι εἶδος."

τὴν δ᾽ ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
"ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες.
ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε
ἀνδρῶν ἡρώων, πολλὴν δ᾽ ἐπελήλυθα γαῖαν·

ἀχαϊκὰ καράβια.
Τέτοιος στὴν Τροία χώθηκε, κι ἐκεῖνοι τυφλωθῆκαν
ὅλοι τους, καὶ μονάχη ἐγὼ τὸν ἔνιωσα ποιός ἦταν,
καὶ τόνε ρώτηξα, κι αὐτὸς μοῦ ξέφυγε μὲ τέχνη.
Μὰ ὅταν ἐγὼ τὸν ἔλουσα, τὸν ἄλειψα μὲ λάδι,
καὶ τοῦ 'δωσα φορέματα, καὶ τοῦ 'κανα ὅρκο μέγα
ἀνάμεσά τους νὰ μὴν πῶ πὼς φάνηκε ὁ Ὀδυσσέας,
πρὶν αὐτὸς φτάση στὶς σκηνὲς καὶ στὰ γοργὰ καράβια,
τότες τὰ σκέδια τῶν Ἀχαιῶν μοῦ τὰ φανέρωσε ὅλα.
Κι ἀρίθμητους ἡ σπάθα του σὰν ἔκοψε Τρωαδῖτες,
πρὸς τοὺς Ἀργῖτες γύρισε πολλά 'χοντας στὸ νοῦ του.
Τότες οἱ ἄλλες Τρωϊσσες πικρὰ μοιρολογοῦσαν,
ὅμως ἐγὼ χαιρόμουνα, γιατ' ἡ καρδιά μου πίσω
στὸ σπίτι μου μὲ τράβαγε, καὶ στέναζα ὁλοένα
γιὰ τὴν τυφλάδα ποὺ ἔβαλε στὸ νοῦ μου ἡ Ἀφροδίτη,
ἀπὸ τὴ γῆς μου τὴ γλυκειὰ σὰ μ' ἔφερε στὰ ξένα,
καὶ χώρισα ἀπ' τὴν κόρη μου, τὴν κλίνη μου, τὸν ἄντρα,
ποὺ ἄλλος στὸ νοῦ καὶ στὴ μορφιὰ κανεὶς δὲν τὸν περνοῦσε."

Κι ὁ ξανθουλὸς Μενέλαος γυρίζει καὶ τῆς κάνει·
"Ναί, ὅλα ἐτοῦτα ἀληθινὰ τὰ μίλησες, γυναίκα·
πολλῶν ἐγὼ μελέτησα τὴ γνώση καὶ τὴ γνώμη,
ἀντρῶν ἡρώων, καὶ πολλοὺς εἶδα τοῦ κόσμου τόπους,

ἀλλ᾽ οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
οἷν Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ.
οἷον καὶ τόδ᾽ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
ἵππῳ ἔνι ξεστῷ, ἵν᾽ ἐνήμεθα πάντες ἄριστοι
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ᾽ ἔμελλε
δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι·
καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ᾽ ἰούσῃ.
τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
ἐκ δ᾽ ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
πάντων Ἀργείων φωνὴν ἴσκουσ᾽ ἀλόχοισιν.
αὐτὰρ ἐγὼ καὶ Τυδεΐδης καὶ δῖος Ὀδυσσεὺς
ἥμενοι ἐν μέσσοισιν ἀκούσαμεν ὡς ἐβόησας.
νῶι μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε
ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ᾽ ὑπακοῦσαι·
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένω περ.
ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ γ᾽ οἷος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν. ἀλλ᾽ Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν
νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς·
τόφρα δ᾽ ἔχ᾽, ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος

μὰ ἄνθρωπο τέτοιον πουθενὰ τὰ μάτια μου δὲν εἶδαν,
σὰν ποὺ ἤτανε ὁ τρανόψυχος κι ὁ ἀκριβὸς Δυσσέας.
Κι ἄλλο ἕνα ἐκεῖνος ἔπραξε μὲ τόλμη κι ἀντρειοσύνη,
τότες ποὺ φόνο φέρναμε καὶ χαλασμὸ στοὺς Τρῶες,
μὲς στ' ἄλογο τὸ σκαλιστὸ κρυμμένοι ἐμεῖς οἱ πρῶτοι.
Ἦρθες κι ἐσὺ τότες ἐκεῖ· θεὸς θὰ σ' εἶχε στείλει,
ποὺ νὰ χαρίση γύρευε στοὺς Τρωαδῖτες δόξα·
σιμά σου κι ὁ θεόμοιαστος Δήφοβος.
Καὶ κάνεις
τρεῖς γύρους πασπατεύοντας τὸν κουφωτὸ κρυψώνα,
καὶ κράζοντας τὰ ὀνόματα τῶν Ἀργιτῶνε μέσα,
καθένα μὲ τὴν ξέχωρη λαλιὰ τῆς σύγκοιτής του.
Ἐγὼ καὶ τοῦ Τυδέα ὁ γιὸς κι ὁ μέγας ὁ Ὀδυσσέας
τ' ἀκούσαμε τὸ λάλημα στὴ μέση καθισμένοι.
Ἐμᾶς τοὺς δυὸ μᾶς ἔπιασε λαχτάρα τότες, ἢ ὄξω
νὰ βγοῦμε, ἢ ἀπομέσαθε ν' ἀποκριθοῦμε ἀμέσως·
ὅσο ὅμως κι ἂν τὸ θέλαμε, μᾶς βάσταξ' ὁ Ὀδυσσέας.
Κι ἔτσι ὅλα τ' Ἀχαιόπουλα σωπάσαν ἐκεῖ μέσα.
Ἕνας μονάχα, ὁ Ἄντικλος ζητάει νὰ σ' ἀπαντήση,
μὰ ὁ Δυσσέας τοῦ 'σφιξε τὸ στόμα μὲ τὶς δυό του
χεροῦκλες, καὶ κρατώντας τον τοὺς Ἀχαιοὺς γλυτώνει,
ὥσπου ἡ Παλλάδα ἡ Ἀθηνᾶ σὲ τράβηξε ἀποκεῖθε."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει

ἀντίον ηὖδα·
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἄλγιον· οὐ γάρ οἵ τι τάδ' ἤρκεσε λυγρὸν ὄλεθρον,
οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
ἀλλ' ἄγετ' εἰς εὐνὴν τράπεθ' ἡμέας, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες."
ὣς ἔφατ', Ἀργείη δ' Ἑλένη δμῳῇσι κέλευσεν
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
δέμνια δὲ στόρεσαν· ἐκ δὲ ξείνους ἄγε κῆρυξ.
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός·
Ἀτρεΐδης δὲ καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
πὰρ δ' Ἑλένη τανύπεπλος ἐλέξατο, δῖα γυναικῶν.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ὤρνυτ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος
εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην,
Τηλεμάχῳ δὲ παρῖζεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·

καὶ τοῦ κάνει·
"Μενέλαε, τοῦ Ἀτρέα γιέ, καὶ διόθρεφτέ μου ἀφέντη,
πιὸ κρῖμας, ποὺ μήτε κι αὐτὸ δὲν τοῦ 'διωξε τὴ μοῖρα,
μήτε καὶ ποὺ εἶχε μέσα του τὰ στήθια σιδερένια.
Ὅμως στὴν κλίνη φέρτε μας, τὶ ἦρθε ἡ στιγμὴ νὰ πᾶμε
νὰ γείρουμε, καὶ τὸ γλυκὸ τὸν ὕπνο νὰ χαροῦμε."
Αὐτὰ εἶπε, καὶ τὶς δοῦλες της ἡ Ἑλένη εὐτὺς προστάζει
στρωσίδια νὰ τοιμάσουνε, νὰ βάλλουνε τὰ χράμια
τὰ κερμεζὰ καὶ τὰ ὄμορφα, κι ἀπάνω τους τὰ πεύκια,
καὶ τὶς φλοκάτες τὶς κρουστὲς γιὰ ντύσιμο ἀποπάνω.
Κι οἱ δοῦλες βγήκανε μὲ φῶς στὰ χέρια, καὶ τοὺς στρῶσαν·
καὶ πῆρε τότε ὁ κήρυκας τοὺς ξένους στὸ χαγιάτι,
κι ἐκεῖ ὁ Τηλέμαχος κι ὁ γιὸς τοῦ Νέστορα πλαγιάσαν·
στ' ἀπόβαθα τοῦ θάλαμου κοιμήθηκε ὁ Μενέλαος,
καὶ πλάγι ἡ λυγερόκορμη καὶ λατρευτή του Ἑλένη.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
κι ἀπάνω ὁ μεγαλόφωνος σηκώθηκε ὁ Μενέλαος·
ντύνεται, σπάθα κοφτερὴ κρεμάζει ἀπὸ τὸν ὦμο,
ὥρια ἀμποδένει σάνταλα στὰ πόδια τὰ λαμπρά του,
προβάλλει ἀπὸ τὸ θάλαμο μ' ἀθάνατο παρόμοιος,
καὶ δίπλα στὸν Τηλέμαχο· καθίζει καὶ τοῦ κρένει·

"τίπτε δέ σε χρειὼ δεῦρ᾽ ἤγαγε, Τηλέμαχ᾽ ἥρως,
ἐς Λακεδαίμονα δῖαν, ἐπ᾽ εὐρέα νῶτα θαλάσσης;
δήμιον ἦ ἴδιον; τόδε μοι νημερτὲς ἐνίσπες."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἤλυθον, εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις.
ἐσθίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα,
δυσμενέων δ᾽ ἀνδρῶν πλεῖος δόμος, οἵ τέ μοι αἰεὶ
μῆλ᾽ ἀδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς,
μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
τοὔνεκα νῦν τὰ σὰ γούναθ᾽ ἱκάνομαι, αἴ κ᾽ ἐθέλῃσθα
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
ὀφθαλμοῖσι τεοῖσιν ἢ ἄλλου μῦθον ἄκουσας
πλαζομένου· περὶ γάρ μιν ὀιζυρὸν τέκε μήτηρ.
μηδέ τί μ᾽ αἰδόμενος μειλίσσεο μηδ᾽ ἐλεαίρων,
ἀλλ᾽ εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμός, ἐσθλὸς Ὀδυσσεὺς
ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ᾽ Ἀχαιοί,
τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες."
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέθη ξανθὸς Μενέλαος·
"ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος

"Ποιά ἀνάγκη σ' ἔφερ' ὡς ἐδῶ, Τηλέμαχε λεβέντη,
κι ἦρθες στὴ Λακεδαίμονα, τὶς θάλασσες περνώντας
δική σου, ἢ τάχα τοῦ λαοῦ; Πὲς μου ὅλη τὴν ἀλήθεια."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κάνει·
"Γιὲ τοῦ Ἀτρέα Μενέλαε, καὶ διόθρεφτε μου ἀφέντη,
ἦρθα νὰ μάθω ἂν ἔφερες μαντάτα τοῦ γονιοῦ μου·
τὶ τρῶν τὸ σπίτι μου, καὶ πᾶν' τὰ πλούσια μου χωράφια·
γεμάτα τὰ παλάτια μου ἀπ' ἐχτροὺς ποὺ νύχτα μέρα
μοῦ σφάζουν κι ὅλο σφάζουνε τὰ βοδοπρόβατά μου,
ἐκεῖνοι οἱ παραδιάντροποι τῆς μάνας μου μνηστῆρες.
Γι' αὐτὸ δὰ τώρα πέφτω σου στὰ γόνατα, νὰ μάθω
σὰν ποιό 'τανε τὸ τέλος του κι ἡ κακοθανατιά του,
μὰ τά εἰδες μὲ τὰ μάτια σου, ἢ ἀπ' ἄλλον ἄκουσές τα·
τὶ ἡ μάνα τόνε γέννησε μὲ βάσανα περίσσια.
Καὶ μὴ μοῦ τὰ μισομιλᾶς ἀπὸ συμπόνια ἢ σέβας,
μόν' πές μου τα ἴσια, καταπῶς τὰ μάτια σου τὸν εἶδαν.
Παρακαλῶ σε, ἂν ὁ λαμπρὸς γονιός μου ὁ Ὀδυσσέας
ἢ λόγο ἢ πράξη σοῦ 'ταξε καὶ τέλεσε στὴν Τροία,
ἐκεῖ ποὺ ἀρίθμητα δεινὰ τοὺς Ἀχαιοὺς πλακῶσαν,
θυμήσου τα τὴν ὥρα αὐτή, καὶ πές μου τὴν ἀλήθεια."
Κι ὁ ξανθωπὸς Μενέλαος βαριὰ τοῦ ἀπολογιέται·
"Ὤχοῦ, σὲ τί παλληκαρᾶ κλινάρι νὰ

ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ᾽ ὁπότ᾽ ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ᾽ ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,

ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν, οἷός ποτ᾽ ἐυκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς,
κὰδ δ᾽ ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ᾽ ἅ μ᾽ εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα παρὲξ εἴποιμι παρακλιδόν, οὐδ᾽ ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ᾽ ἐπικεύσω.
"Αἰγύπτῳ μ᾽ ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.
οἱ δ᾽ αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
νῆσος ἔπειτά τις ἔστι πολυκλύστῳ ἐνὶ πόντῳ

πλαγιάσουν
τοὺς ἦρθεν ὄρεξη αὐτουνοὺς τοὺς ἄναντρους, ἀλήθεια.
Καθὼς μὲς σ' ἄγριου λιονταριοῦ ρουμάνι ἡ ἀλαφίνα
κοιμίζει βυζαστάρικα νιογέννητα λαφούλια,
καὶ παίρνει τὶς βουνοπλαγιὲς καὶ τὰ χλωρὰ λαγκάδια,
καὶ βόσκει, μὰ ἄξαφνα γυρνάει μὲς στὴ μονιά του ἐκεῖνος,
καὶ φέρνει τέλος φοβερὸ σὲ μάνα καὶ λαφούλια,
ἔτσι κι ὁ Ὀδυσσέας φριχτὰ θὰ τοὺς τελειώση ἐκείνους.
Κι, ὦ Δία θεέ μου, κι Ἀθηνᾶ κι Ἀπόλλωνα, ἂν ἐκεῖνος,
τοὺς πὲση σὰν ποὺ φάνηκε στὴν ὄμορφη τὴ Λέσβο,
ποὺ πρόβαλε καὶ πάλεψε μὲ τὸ Φιλομηλείδη,
καὶ μονομιὰς τὸν ἔριξε, κι οἱ Ἀχαιοὶ χαρῆκαν,
ἂν τέτοιος ὁ Ὀδυσσέας ἐρθῆ καὶ πέση στοὺς μνηστῆρες,
γλήγορο θά 'ν' τὸ τέλος τους, κι ὁ γάμος τους φαρμάκι.
Κι αὐτὰ ποὺ τώρα μὲ ρωτᾶς καὶ ποὺ παρακαλεῖς με,
δὲ θὰ τὰ πῶ τριγυριστὰ καὶ δὲ θὰ σὲ γελάσω,
παρὰ ὅσα μοῦ 'πε ὁ ἅλαθος τῆς θάλασσας ὁ γέρος,
ἕνα πρὸς ἕνα θά 'χης τα, καὶ λόγο δὲ θὰ κρύψω.
Στὴν Αἴγυπτο, σὰ γύρευα γιὰ ἐδῶ νὰ ξεκινήσω,
μὲ κράτησαν οἱ ἀθάνατοι, τὶ δὲν τοὺς εἶχα κάνει
τὴν ταχτικὴ ἑκατοβοδιά, κι ἐκεῖνοι πάντα θέλουν
τὶς προσταγὲς ποὺ ἀφήνουνε νὰ μὴν τὶς ἀστοχοῦμε.

Εἶναι νησὶ στὴ θάλασσα τὴν πολυκυματοῦσα,
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσι,
κατάμπροστα στὴν Αἴγυπτο, καὶ Φάρο τ' ὀνομάζουν·
τόσσον ἄνευθ' ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
μακριὰ νὰ ποῦμε ὅσο μπορεῖ καράβι σὲ μιὰ μέρα
ἴνυσεν, ἢ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν·
νὰ φτάση, ἂν πρύμος ἄνεμος φυσάη καλὰ ὡς τὸ τέλος·
ἐν δὲ λιμὴν εὐορμος, ὅθεν τ' ἀπὸ νῆας ἐίσας
κι ἔχει λιμάνι ἀπάνεμο, ποὺ κεῖθε τὰ καράβια
ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
ἀνοίγουνε στὰ πέλαγα, σκοῦρο νερὸ σὰν πάρουν.
ἔνθα μ' ἐείκοσιν ἤματ' ἔχον θεοί, οὐδέ ποτ' οὖροι
Εἴκοσι μέρες οἱ θεοὶ μ' εἶχαν ἐκεῖ κλεισμένο,
πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
κι ἄνεμοι ἀπὸ τὰ πέλαγα δὲ μοῦ φυσοῦσαν πρύμοι,
πομπῆες γίγνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.
ποὺ τὰ καράβια σπρώχνουνε στοῦ ὠκεανοῦ τὰ πλάτια.
καί νύ κεν ἤια πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν,
Καὶ πιὰ δὲ θὰ μᾶς μνήσκανε μήτε θροφὲς μήτ' ἄντρες,
εἰ μή τίς με θεῶν ὀλοφύρατο καί μ' ἐσάωσε,
ἂ δὲ μὲ σπλαχνιζότανε ἡ θεὰ ποὺ γλύτωσέ με,
Πρωτέος ἰφθίμου θυγάτηρ ἁλίοιο γέροντος,
τοῦ γέρου τοῦ θαλασσινοῦ, τοῦ θείου Πρωτέα ἡ κόρη,
Εἰδοθέη· τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα.
ἡ Εἰδοθέα, ποὺ ἄγγιξα περίσσια τὴν καρδιά της.
ἥ μ' οἴῳ ἔρροντι συνήντετο νόσφιν ἑταίρων·
Μὲ βρῆκε καὶ σερνόμουνα μόνος μακριὰ ἀπ' τοὺς ἄλλους,
αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
ποὺ γύριζαν καὶ ψάρευαν μὲ τὰ γυρτὰ τ' ἀγκίστρια,
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
τὶ ἡ πεῖνα τοὺς τὰ θέριζε σκληρὰ τὰ σωθικά τους.
ἡ δέ μευ ἄγχι στᾶσα ἔπος φάτο φώνησέν τε·
Αὐτὴ κοντά μου στάθηκε καὶ μίλησέ μου κι εἶπε·
"'νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων,
"Ἄραγες νά 'σαι ἀνόητος κι ἀσύστατος, ὦ ξένε,
ἦε ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων;
ἢ πίτηδες ἀφήνεσαι, καὶ θὲς νὰ τυραννιέσαι ;
ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι, οὐδέ τι τέκμωρ
Καιρὸ κρατιέσαι στὸ νησί, τέλος νὰ βρῆς δὲ σώνεις,
εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.'"
καὶ τῶ συντρόφω σου ἡ καρδιὰ στοὺς πόνους μέσα λυώνει."
"ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος
Αὐτά 'πε, κι ἐγὼ γύρισα καὶ τῆς

προσέειπον·
᾽ἐκ μέν τοι ἐρέω, ἤ τις σύ πέρ ἐσσι θεάων,
ὡς ἐγὼ οὔ τι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ἀλλὰ σύ πέρ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
ὅς τίς μ᾽ ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
νόστον θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
᾽τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
τὸν δέ τ᾽ ἐμόν φασιν πατέρ᾽ ἔμμεναι ἠδὲ τεκέσθαι.
τόν γ᾽ εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστον θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφές, αἴ κ᾽ ἐθέλῃσθα,
ὅττι τοι ἐν μεγάροισι κακόν τ᾽ ἀγαθόν τε τέτυκται
οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
μή πώς με προϊδὼν ἠὲ προδαεὶς ἁλέηται·

ἀπολογιέμαι·
"Ὅποια θεὰ κι ἂν εἶσαι ἐσὺ, τὸ ποὺ ρωτᾶς θᾶ μάθης·
δὲ μένω πίτηδες ἐδῶ, μόν' πρέπει νά 'χω κάνει
κάποια ἁμαρτία στοὺς θεοὺς ποὺ ὁρίζουνε τὰ οὐράνια.
Ὡχ τόσο πές μου, τὶ οἱ θεοὶ τὸ καθετὶς γνωρίζουν,
ποιός μὲ μποδίζει ἀθάνατος καὶ μοῦ 'κλεισε τὸ δρόμο,
καὶ πῶς τὶς ψαροθάλασσες περνώντας θὰ γυρίσω;"
Αὐτὰ τῆς εἶπα, κι ἡ θεὰ μοῦ ἀπολογιέται ἀμέσως·
"Θὰ σοῦ μιλήσω, ξένε, ἐγὼ σωστὰ γιὰ ὅλα ἐτοῦτα.
Γέρος ἀλάθευτος ἐδῶ θαλασσινὸς συχνάζει,
ὁ ἀθάνατος Αἰγυπτιανὸς Πρωτέας, ποὺ τὰ βάθια
γνωρίζει ὅλης τῆς θάλασσας, τοῦ Ποσειδώνα δοῦλος·
λὲν πὼς αὐτὸς μὲ γέννησε, καὶ πὼς γονιὸ τὸν ἔχω.
Καρτέρι ἐσὺ ἃ δυνόσουνα νὰ στήσης νὰ τὸν πιάσης,
τὸ δρόμο αὐτὸς θὰ σοῦ 'λεγε, τοῦ ταξιδιοῦ τὸ μάκρος,
καὶ πῶς τὰ πέλαα σκίζοντας στὸν τόπο σου θὰ φτάσης.
Κι αὐτὸς ἀκόμα θὰ σοῦ πῆ, ὦ διόθρεφτε, ἂν θελήσης,
ὅ,τι καλὸ κι ὅ,τι κακὸ στὸ σπιτικό σου 'γίνη,
σὰν ἔλειπες σὲ μακρινὰ καὶ δύσκολα ταξίδια."
Ἔτσ' εἶπε, κι ἀπαντώντας της ἐγὼ τῆς κάνω τότες·
"Λέγε μου τώρα ποῦ νὰ βρῶ καρτέρι γιὰ τὸ γέρο,
νὰ μὴ μοῦ φύγη ἂν τίποτις ἀκούση ἢ ἀγναντέψη·

ἀργαλέος γάρ τ᾽ ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
᾽τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
ἦμος δ᾽ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκῃ,
τῆμος ἄρ᾽ ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς
πνοιῇ ὕπο Ζεφύροιο μελαίνῃ φρικὶ καλυφθείς,
ἐκ δ᾽ ἐλθὼν κοιμᾶται ὑπὸ σπέσσι γλαφυροῖσιν·
ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς ἁλοσύδνης
ἀθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
ἔνθα σ᾽ ἐγὼν ἀγαγοῦσα ἅμ᾽ ἠοῖ φαινομένηφιν
εὐνάσω ἐξείης· σὺ δ᾽ ἐὺ κρίνασθαι ἑταίρους
τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐυσσέλμοισιν ἄριστοι.
πάντα δέ τοι ἐρέω ὀλοφώια τοῖο γέροντος.
φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν·
αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται ἠδὲ ἴδηται,
λέξεται ἐν μέσσῃσι νομεὺς ὡς πώεσι μήλων.
τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
καὶ τότ᾽ ἔπειθ᾽ ὑμῖν μελέτω κάρτος τε βίη τε,
αὖθι δ᾽ ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.
πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ᾽ ἐπὶ γαῖαν
ἕρπετὰ γίγνονται, καὶ ὕδωρ καὶ

τὶ δύσκολο 'ναι τὸ θεὸ θνητὸς νὰ καταφέρη."
Αὐτὰ τῆς εἶπα, κι ἡ θεὰ μοῦ ἀπολογήθη ἀμέσως·
"Θὰ σοῦ μιλήσω, ξένε, ἐγὼ μ' ἀλήθεια καὶ γιὰ δαῦτο.
Ἀπάνω στὰ μεσούρανα καθὼς ἀνέβη ὁ ἥλιος,
ἔρχετ' ἀπὸ τὸ πέλαγο ὁ ἀλάθευτος ὁ γέρος,
ἅμα τοῦ μπάτη ξανοιχτῆ τὸ μαῦρο σαγανάκι,
καὶ βγαίνει καὶ στὶς θολωτὲς σπηλιὲς γλυκοκοιμᾶται.
Γύρω του οἱ φώκιες, θρέμματα τῆς ὥριας Ἀμφιτρίτης,
πέφτουν κοπάδι βγαίνοντας ἀπὸ τὴν κυματοῦσα,
καὶ τὴν πικρὴ τὴ μυρουδιὰ τοῦ βάθου της σκορπᾶνε.
Ἐκεῖ πρὸς τὰ χαράματα σὲ φέρνω ἐγώ, κι ἀράδα
θὰ σᾶς πλαγιάσω μὲ τοὺς τρεῖς ποὺ θὰ καλοδιαλέξης
συντρόφους, τοὺς ἀξιώτερους ποὺ στὰ καράβια σου ἔχεις.
Κι ὅλες ἐγὼ τὶς μαριολιὲς θὰ σοῦ τῖς πῶ τοῦ γέρου·
πρῶτα στὶς φώκιες ἔρχεται καὶ τὶς μετράει ἀράδα·
κι ὅταν τὶς φώκιες καλοδῆ καὶ τὶς καλομετρήση,
σὰν πιστικὸς μὲ πρόβατα στὴ μέση τους πλαγιάζει.
Μιὰς τόνε δῆτε καὶ στρωθῆ, βάλτε καρδιά, κι ὁρμώντας
κρατᾶτε τον, κι ἂς πολεμάη ἐκεῖνος νὰ ξεφύγη.
Μὲ κάθε ζωντανὸ τῆς γῆς θὰ σοφιστῆ νὰ μοιάση,
νερὸ θὰ γίνη καὶ φωτιὰ θεόφλογη ὁμπροστά σας,
μὰ ἐσεῖς γερὰ κρατᾶτε τον, καὶ πιὸ

θεσπιδαὲς πῦρ·
ὑμεῖς δ᾽ ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
ἀλλ᾽ ὅτε κεν δή σ᾽ αὐτὸς ἀνείρηται ἐπέεσσι,
τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε,
καὶ τότε δὴ σχέσθαι τε βίης λῦσαί τε γέροντα,
ἤρως, εἴρεσθαι δέ, θεῶν ὅς τίς σε χαλέπτει,
νόστον θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.᾽
"ὣς εἰποῦσ᾽ ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ᾽ ἕστασαν ἐν ψαμάθοισιν,
ἴα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
δόρπον θ᾽ ὁπλισάμεσθ᾽, ἐπί τ᾽ ἦλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
ἴα πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους
τρεῖς ἄγον, οἵσι μάλιστα πεποίθεα πᾶσαν ἐπ᾽ ἰθύν.
"τόφρα δ᾽ ἄρ᾽ ἥ γ᾽ ὑποδῦσα θαλάσσης εὐρέα κόλπον
τέσσαρα φωκάων ἐκ πόντου δέρματ᾽ ἔνεικε·
πάντα δ᾽ ἔσαν νεόδαρτα· δόλον δ᾽ ἐπεμήδετο πατρί.
εὐνὰς δ᾽ ἐν ψαμάθοισι διαγλάψασ᾽ ἁλίῃσιν
ἧστο μένουσ᾽· ἡμεῖς δὲ μάλα σχεδὸν ἦλθομεν αὐτῆς·

βαριὰ ζουλᾶτε.
Ὅμως ὁ ἴδιος του ἄξαφνα σὰν κάνη νὰ ρωτήξη,
καὶ τόνε δῆτε μὲ μορφὴ σὰν ποὺ ἦταν πλαγιασμένος,
τραβᾶτε χέρι τότε ἐσεῖς, τὸ γέρο λευτερῶστε,
καὶ ρώταγέ τον, ἴρωα, ποιός θεὸς σὲ βασανίζει,
καὶ πῶς τὶς ψαροθάλασσες περνώντας θὰ γυρίσης."
Αὐτά 'πε, καὶ στὴ θάλασσα βουτάει τὴν κυματοῦσα.
Κι ἐγὼ στὰ πλοῖα ξεκίνησα ποὺ στέκανε στὸν ἄμμο,
καὶ διάβαινα μὲ τὴν καρδιὰ περίσσια ταραγμένη
Καὶ στὸ γιαλὸ σὰ ζύγωσα, καὶ πῆγα στὸ καράβι,
στρώνουμε δεῖπνο, κι ὕστερα πλακώνει ἡ θεία ἡ νύχτα·
καὶ γέρνουμε, καὶ παίρνει μας ὁ ὕπνος στ' ἀκρογιάλι.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ τράβηξα γιαλὸ γιαλὸ μπρὸς στὰ πλατιὰ πελάγη,
παρακαλώντας τοὺς θεοὺς, μὲ τρεῖς μαζὶ συντρόφους,
ποὺ ὅ,τι καταπιανόντουσαν τρανὴ τοὺς εἶχα πίστη.
Κι ἀπ' τοῦ πελάου τὶς ἀγκαλιὲς προβάλλοντας ἐκείνη,
φέρνει φωκήσα τέσσερα τομάρια νιογδαρμένα
στὸ νοῦ της μελετώντας πῶς τὸ γέρο νὰ γελάση.
Κι ἀφοῦ στοὺς ἄμμους χάραξε πλαγιάσματα, καθόταν
καὶ πρόσμενε· καὶ σμίξαμε κι ἐμεῖς· ἀράδα τότες

ἐξείης δ᾽ εὔνησε, βάλεν δ᾽ ἐπὶ δέρμα ἑκάστῳ.
ἔνθα κεν αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
τίς γάρ κ᾽ εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη;
ἀλλ᾽ αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ᾽ ὄνειαρ·
ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα
ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν.
πᾶσαν δ᾽ ἠοίην μένομεν τετληότι θυμῷ·
φῶκαι δ᾽ ἐξ ἁλὸς ἦλθον ἀολλέες. αἱ μὲν ἔπειτα
ἑξῆς εὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης·

ἔνδιος δ᾽ ὁ γέρων ἦλθ᾽ ἐξ ἁλός, εὗρε δὲ φώκας
ζατρεφέας, πάσας δ᾽ ἄρ᾽ ἐπῄχετο, λέκτο δ᾽ ἀριθμόν·
ἐν δ᾽ ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
ὠΐσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
ἡμεῖς δὲ ἰάχοντες ἐπεσσύμεθ᾽, ἀμφὶ δὲ χεῖρας
βάλλομεν· οὐδ᾽ ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
ἀλλ᾽ ἦ τοι πρώτιστα λέων γένετ᾽ ἠυγένειος,
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
γίγνετο δ᾽ ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον·
ἡμεῖς δ᾽ ἀστεμφέως ἔχομεν τετληότι θυμῷ.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀνίαζ᾽ ὁ γέρων ὀλοφώια εἰδώς,
καὶ τότε δή μ᾽ ἐπέεσσιν ἀνειρόμενος

μᾶς γέρνει, καὶ καθένα μας σκεπάζει μὲ τομάρι.
Φριχτὸ καρτέρι θά 'τανε, τὶ βώχα τοῦ θανάτου
ἀπὸ τὶς θαλασσόθρεφτες μᾶς τυραννοῦσε φώκιες.
Καὶ ποιός κοιμᾶται μὲ θεριὰ σιμά του πελαγήσα ;
Ὅμως μᾶς γλύτωσε ἴδια της μὲ σόφισμα δικό της·
βάζει μοσκιὰ μυρόβολη σὲ καθενὸς ρουθούνι,
καὶ τοῦ θαλασσινοῦ θεριοῦ τὴ μυρουδιὰ ἀφανίζει.
Ὁλοπρῶς προσμέναμε μ' ἀπόφαση στὸ νοῦ μας.
κι ἦρθαν οἱ φώκιες μαζωχτὲς ἀπὸ τὰ βάθια ἀράδα
στὸ περιγιάλι πλάγιασαν, κι ἀπὰς στὸ μεσημέρι
κι ὁ γέρος ἦρθε ἀπ' τὰ βαθιά, καὶ βρίσκοντας τὶς φώκιες
τὶς παχουλές, τὶς μέτρησε μιὰ μιὰ καὶ τὶς καλόειδε.
Πρώτους ἐμᾶς λογάριασε στὸ μέτρημα, κι ὁ νοῦς του
δὲν ἔβαλε τὴν πονηριά, μόν' πλάγιασε κι ἐκεῖνος.
Τότες μὲ βουὴ χουμίξαμε, καὶ ξάφνου ἀδράξαμέ τον·
αὐτὸς τὴν τέχνη δὲν ξεχνάει, καὶ πρῶτ' ἀπ' ὅλα γίνη
λιοντάρι μὲ τὴ χήτη του, κατόπι ἀμέσως φίδι
κι ἀγριόχοιρος, καὶ πάρδαλη, τέλος νερὸ τρεχάτο,
καὶ δέντρο ἀψηλοφύλλωτο. Κι ἐμεῖς τὴν ὥρα ἐκείνη
γερὰ τόνε κρατούσαμε μ' ἀπόφαση στὸ νοῦ μας.
Μὰ τέλος σὰν ἀπόκαμε ὁ παμπόνηρος ὁ γέρος,
ἄρχισε τότες νὰ ρωτάη, κι αὐτὰ τὰ

προσέειπε·
"'τίς νύ τοι, Ἀτρέος υἱέ, θεῶν συμφράσσατο βουλάς,
ὄφρα μ' ἔλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;'
"ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'οἶσθα, γέρον, τί με ταῦτα παρατροπέων ἐρεείνεις;
ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκομαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
ἀλλὰ σύ πέρ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
ὅς τίς μ' ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.'
"ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'ἀλλὰ μάλ' ὤφελλες Διί τ' ἄλλοισίν τε θεοῖσι
ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα
σὴν ἐς πατρίδ' ἵκοιο πλέων ἐπὶ οἴνοπα πόντον.
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐυκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
αὖτις ὕδωρ ἔλθῃς ῥέξῃς θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι·
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μενοινᾷς.'
"ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον

λόγια μοῦ 'πε·
"Ὢγιὲ τοῦ Ἀτρέα, ποιός θεὸς κατηχημένο σ' ἔχει,
καὶ μὲ τὸ ζόρι ξαφνικὰ μ' ἀδράχνεις ; Τί γυρεύεις ;"
Αὐτὰ μὲ ρώτηξε, κι ἐγὼ γυρίζω καὶ τοῦ κάνω·
"Γνωρίζεις, γέρο· τί ρωτᾶς νὰ μὲ πλανέσης τάχα ;
Τόσον καιρὸ μὲς στὸ νησὶ κρατιέμαι αὐτό, καὶ κάποιο
τέλος νὰ βρῶ δὲ δύνουμαι, μόνε ἡ καρδιά μου λυώνει.
Μὰ πές μου ἐσύ, γιατ' οἱ θεοὶ τὸ καθετὶς γνωρίζουν,
ποιός μὲ μποδίζει ἀθάνατος, καὶ μοῦ 'κλεισε τὸ δρόμο ;
καὶ πῶς τὰ ψαροπέλαγα περνώντας θὰ γυρίσω ;"
Εἶπα, κι ἐκεῖνος γύρισε καὶ μοῦ ἀποκρίθη ἀμέσως·
"Στὸ Δία καὶ στοὺς ἄλλους θεοὺς πρῶτα ἔπρεπε νὰ κάνης
καλὲς θυσίες, πρὶ νὰ μπῆς στὸ πλοῖο, γιὰ νὰ γυρίσης
τὰ μαῦρα πέλαα σκίζοντας, στὴν ποθητὴ πατρίδα.
Τὶ δὲν τὸ θέλει ἡ μοῖρα σου νὰ δῆς δικοὺς καὶ φίλους,
μήτε νὰ ρθῆς στὸν τόπο σου καὶ στὸ νοικοκυριό σου,
πρὶν ξανανέβης τοῦ Αἴγυπτου τὸ διόσταλτο ποτάμι,
καὶ κάμης ἑκατοβοδιῶν ἱερὲς ἐκεῖ θυσίες
γιὰ τοὺς ἀθάνατους θεοὺς ποὺ ὁρίζουνε τὰ οὐράνια·

καὶ τότες θὰ σοῦ δώσουνε τὸ δρόμο ποὺ γυρεύεις."
Αὐτὰ εἶπε, καὶ σὰν τ' ἄκουσα ραγίστηκε ἡ καρδιά μου,
ποὺ μὲς στὸ πέλαγο τ' ἀχνὸ μὲ πρόσταζε νὰ σύρω

Αἴγυπτόνδ᾽ ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
πίσω στὸν Αἴγυπτο, μακρὺ καὶ δύσκολο ταξίδι,

ἀλλὰ καὶ ὣς μύθοισιν ἀμειβόμενος προσέειπον·
ὡς τόσο πάλε τοῦ ἄνοιξα μίλια, καὶ τοῦ ξανάειπα·

"᾽ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.
"Αὐτὰ καθὼς τὰ πρόσταξες, ὦ γέρο, θὰ τὰ κάμω,

ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Μὰ πές μου ἀληθινὰ κι αὐτό· γυρίσαν τάχας ὅλοι

ἢ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
μὲ τὰ καράβια οἱ Ἀχαιοὶ ποὺ πίσω στὴν Τρωάδα

οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ὁ ἥρωας Νέστορας κι ἐγὼ τοὺς εἴχαμε ἀφησμένους,

ἦέ τις ὤλετ᾽ ὀλέθρῳ ἀδευκέι ἦς ἐπὶ νηὸς
ἢ τοῦ 'ρθε κανενὸς κακὸ μὲς στὸ καράβι τέλος,

ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν᾽.
ἢ καὶ σὲ χέρια φίλων του, ἀπ' τὸν πόλεμο κατόπι ;"

"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπεν·
Αὐτὰ εἶπα, κι ἐκειὸς γύρισε καὶ μ' ἀποκρίθη ἀμέσως·

Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
"Τοῦ Ἀτρέα ὦ γιέ, τί τὰ ρωτᾶς αὐτά; Σοῦ λέω δὲν πρέπει

ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σέ φημι
ὅσα στὸ νοῦ μου ἐγὼ κρατῶ νὰ ξέρης καὶ νὰ μάθης,

δὴν ἄκλαυτον ἔσεσθαι, ἐπὴν ἐὺ πάντα πύθηαι.
τὶ δὲ θὰ μείνης ἄκλαιγος πολλὴ ὥρα, σὰν τ' ἀκούσης.

πολλοὶ μὲν γὰρ τῶν γε δάμεν, πολλοὶ δὲ λίποντο·
Πολλοὶ ἀπ' ἐκειοὺς τελειώσανε, μὰ καὶ πολλοὶ ἀπομεῖναν·

ἀρχοὶ δ᾽ αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων
ἀπ' ἀρχηγοὺς χαλκοάρματων Ἀχαιῶνε δυὸ μονάχοι

ἐν νόστῳ ἀπόλοντο· μάχῃ δέ τε καὶ σὺ παρῆσθα.
χαθήκανε στὸ γυρισμό· στὸν πόλεμο κι ἐσύ 'σουν.

εἷς δ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέι πόντῳ.
Ἕνας ἀκόμα ζωντανὸς στὶς θάλασσες κρατιέται.

"Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι.
Τέλειωσ' ὁ Αἴαντας μαζὶ μὲ τὰ μακρόκουπά του

Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν
καράβια. Πρῶτα στὶς Γυρὲς τὸν πῆρε ὁ Ποσειδώνας,

πέτρῃσιν μεγάλῃσι καὶ ἐξεσάωσε θαλάσσης·
πέτρες θεόρατες, κι ἐκεῖ τὸν ἔσωσ' ἀπ' τὸ κῦμα·

καί νύ κεν ἔκφυγε κῆρα καὶ ἐχθόμενός περ Ἀθήνῃ,
θὰ γλύτωνε, ὅσο ἡ Ἀθηνᾶ κι ἂν τοῦ κρατοῦσε πάθος,

εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ᾽ ἀάσθη·
λόγο ἃ δὲν ἔβγαζε βαρὺ στὸ σκοτισμό του ἀπάνω,

φῆ ῥ᾽ ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα
πὼς ξέφυγε τὰ κύματα στὸ πεῖσμα

θαλάσσης.
τοῦ δὲ Ποσειδάων μεγάλ᾽ ἔκλυεν αὐδήσαντος·
αὐτίκ᾽ ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν
ἤλασε Γυραίην πέτρην, ἀπὸ δ᾽ ἔσχισεν αὐτήν·
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ,
τῷ ῥ᾽ Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ᾽ ἀάσθη·
τὸν δ᾽ ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
ὣς ὁ μὲν ἔνθ᾽ ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
"᾽σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ᾽ ὑπάλυξεν
ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλε Μαλειάων ὄρος αἰπὺ
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
πόντον ἐπ᾽ ἰχθυόεντα φέρεν βαρέα στενάχοντα,
ἀγροῦ ἐπ᾽ ἐσχατιήν, ὅθι δώματα ναῖε Θυέστης
τὸ πρίν, ἀτὰρ τότ᾽ ἔναιε Θυεστιάδης Αἴγισθος.
ἀλλ᾽ ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ᾽ ἵκοντο,
ἦ τοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα· πολλὰ δ᾽ ἀπ᾽ αὐτοῦ
δάκρυα θερμὰ χέοντ᾽, ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
τὸν δ᾽ ἄρ᾽ ἀπὸ σκοπιῆς εἶδε σκοπός, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ᾽ ἔσχετο μισθὸν

τῶν θεῶνε,
Κι ὁ Ποσειδώνας ἄκουσε τ' ἀγέρωχά του λόγια,
κι ἀδράχνει τὸ τρικράνι του στὰ δυνατά του χέρια,
χτυπάει τὸ βράχο τῆς Γυρῆς, καὶ τόνε σκίζει· μέρος
ἔμειν' ἐκεῖ, καὶ στὸ γιαλὸ πετάχτηκε ἄλλο μέρος,
ποὺ ὁ Αἴαντας κρατιότανε μὲς στὴν πολλή του ζάλη,
καὶ τόνε ρίχτει στοὺς βυθοὺς τοῦ ἀπέραντου πελάγου.
Ἔτσι ἀφανίστη ὁ Αἴαντας ἁρμύρα ἀφοῦ κατάπιε.
Μὰ ὁ ἀδερφός σου γλύτωσε στὰ βαθουλά του πλοῖα,
τὶ ἡ Ἥρα ἡ πολυδόξαστη τοῦ στάθη σωτηριά του.
Ὅμως σὰν κοντοζύγωνε τὸν ἀψηλὸ Μαλέα,
μπόρα τὸν παίρνει ξαφνική, καὶ τὸν πετάει πελάγου,
καθὼς βαριαναστέναζε, πρὸς ξενικὸ ἀκρογιάλι,
ποὺ ὁ Θυέστης εἶχε μιὰ φορὰ τοὺς πύργους του καὶ ζοῦσε,
καὶ τώρα ὁ γιός του ὁ Αἴγιστος τοὺς εἶχε κατοικιά του.
Μὰ κι ἀποκεῖθε βολικὸς σὰ φάνη ὁ γυρισμός τους,
καὶ πρύμο οἱ θεοὶ τοὺς φύσηξαν, καὶ στὴν πατρίδα φτάσαν,
χαίροντας τότες πάτησε τὸ πατρικὸ τὸ χῶμα,
καὶ τό 'πιασε, καὶ μὲ πολλὰ θερμὰ τὸ φίλαε δάκρια,
ποὺ πάλε τὴν ἀξιώθηκε τὴν ποθητὴ πατρίδα.
Κι ἀπὸ τὴ βίγλα ὁ φύλακας ἀμέσως τὸν ξανοίγει,
ποὺ ὁ πονηρὸς ὁ Αἴγιστος τὸν εἶχε ἐκεῖ στημένο·

χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ᾽ ὅ γ᾽ εἰς ἐνιαυτόν,
μή ἑ λάθοι παριών, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
βῆ δ᾽ ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
αὐτίκα δ᾽ Αἴγισθος δολίην ἐφράσσατο τέχνην·

κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους
εἶσε λόχον, ἑτέρωθι δ᾽ ἀνώγει δαῖτα πένεσθαι.
αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν
ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
τὸν δ᾽ οὐκ εἰδότ᾽ ὄλεθρον ἀνήγαγε καὶ κατέπεφνεν
δειπνίσσας, ὡς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
οὐδέ τις Ἀτρεΐδεω ἑτάρων λίπεθ᾽ οἵ οἱ ἕποντο,
οὐδέ τις Αἰγίσθου, ἀλλ᾽ ἔκταθεν ἐν μεγάροισιν᾽.
"ὣς ἔφατ᾽, αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
κλαῖον δ᾽ ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
ἤθελ᾽ ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής·
"᾽μηκέτι, Ἀτρέος υἱέ, πολὺν χρόνον ἀσκελὲς οὕτω
κλαῖ᾽, ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
πείρα ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
ἦ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν

τοῦ 'χε ταμένη πλερωμὴ δυὸ τάλαντα χρυσάφι·
μέρα καὶ νύχτα φύλαγε νὰ μὴν κρυφοπεράση
καὶ πέση καταπάνω τους μὲ τ' ἄρματα στὸ χέρι.
Καὶ τρέχει φέρνει μήνυμα τοῦ βασιλιᾶ στὸν πύργο.
Κι εὐτὺς σοφίστη ὁ Αἴγιστος θεοπόνηρο παιχνίδι·
εἴκοσι παίρνει διαλεχτὰ τῆς χώρας παλληκάρια,
τοὺς κρύβει, καὶ προστάζει ἀλλοῦ τραπέζι νὰ τοιμάσουν.
Πῆγε τὸν Ἀγαμέμνονα ὁ ἴδιος νὰ τὸν καλέση
μὲ ἀλόγατα καὶ μ' ἅμαξες, κακὰ στὸ νοῦ γυρνώντας.
Τὸν ἀνεβάζει ἀνήξερο στὸ δεῖπνο, καὶ κατόπι
τὸν κόβει σὰν ποὺ κόβουνε μὲς στὸ παχνὶ τὸ βόδι.
Κανένας δὲν ἀπόμεινε τοῦ γιοῦ του Ἀτρέα βλάμης,
καὶ μήτε τοῦ Αἴγιστου, παρὰ στοὺς πύργους σκοτωθῆκαν.
Αὐτὰ μοῦ 'πε, κι ἐμένανε ραγίστηκε ἡ καρδιά μου·
καὶ κάθισα στὴν ἀμμουδιὰ καὶ τό 'ριξα στὸ κλάμα,
καὶ μήτε ζωὴ μήτε ἥλιου φῶς δὲν ἤθελε ἡ ψυχή μου.
Καὶ σὰ χαμοκυλίστηκα καὶ χόρτασα τὸ κλάμα,
τότες μοῦ λέει ὁ ἀλάθευτος τῆς θάλασσας ὁ γέρος.
"Μὴν παρακλαῖς ἀνέπαυα, γιὲ τοῦ Ἀτρέα, τὸ κλάμα
δὲ μᾶς φελᾶ, μόν' κοίταξε πῶς γλήγορα νὰ φτάσης
στὸν τόπο σου, κι ἢ ζωντανὸ θὰ τόνε βρῆς ἀκόμα,
ἢ νὰ τὸν κόψη πρόλαβε ὁ Ὀρέστης, κι

Ὀρέστης
κτεῖνεν ὑποφθάμενος, σὺ δέ κεν τάφου ἀντιβολήσαις.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
αὖτις ἐνὶ στήθεσσι καὶ ἀχνυμένῳ περ ἰάνθη,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
"᾽τούτους μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ᾽ ὀνόμαζε,
ὅς τις ἔτι ζωὸς κατερύκεται εὐρέι πόντῳ
ἠὲ θανών· ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι᾽.
"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπεν·
᾽υἱὸς Λαέρτεω, ᾽Ιθάκῃ ἔνι οἰκία ναίων·
τὸν δ᾽ ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
σοι δ᾽ οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν,
ἀλλά σ᾽ ἐς ᾽Ηλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς ῾Ραδάμανθυς,
τῇ περ ῥηίστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετός, οὔτ᾽ ἄρ χειμὼν πολὺς οὔτε ποτ᾽ ὄμβρος,
ἀλλ᾽ αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
᾽Ωκεανὸς ἀνίησιν ἀναψύχειν

ἐσὺ τότες
προφταίνεις νὰ παραβρεθῆς στὸ νεκρικὸ τραπέζι."
Αὐτὰ μοῦ 'πε, κι ἐμένανε συνέφερε ἡ καρδιά μου,
κι ἡ ἀντρειωμένη μου ψυχή, μ' ὅλη τή θλίψη πού 'χε,
Τότες μ' αὐτὰ τοῦ μίλησα τὰ φτερωμένα λόγια.
"Τούτους τοὺς ξέρω πιά· μὰ ἐσὺ τὸν τρίτο λέγε μου ἄντρα,
ποὺ στὰ πλατιὰ τὰ πέλαγα ζώντας κρατιέται ἀκόμα,
ἢ καὶ νεκρός, — μὰ θέλω ἐγὼ νὰ μάθω, κι ἂς λυπᾶμαι."
᾽Ετσ' εἶπα, κι αὐτὸς γύρισε κι ἀπολογιὰ μοῦ κάνει·
"Εἶν' τοῦ Λαέρτη ὁ γιὸς αὐτός, ποὺ κατοικεῖ στὸ Θιάκι.
Τὸν εἶδα ἐγὼ σ' ἕνα νησὶ δάκρυα πολλὰ νὰ χύνη,
στῆς θέαινας τῆς Καλυψῶς, ποὺ δίχως θέληση του
κρατάει τον, καὶ δὲ δύνεται νὰ δῇ γλυκειὰ πατρίδα·
τὶ μήτε πλοῖα μὲ τὰ κουπιὰ μήτε συντρόφους ἔχει,
ποὺ νὰ τὸν πάρουν ἀπ' ἐκεῖ στῆς θάλασσας τὰ πλάτια.
Κι ἐσύ, Μενέλαε διόθρεφτε, τῆς μοίρας σου δὲν εἶναι
στ' Ἄργος τ' ἀλογοβόσκητο νὰ λυώσης τὴ ζωή σου,
παρὰ στὰ πέρατα τῆς γῆς, στὰ ᾽Ηλύσια τὰ λημέρια,
πού 'ναι ὁ ξανθὸς Ραδάμανθης, οἱ θεοὶ θένα σὲ στείλουν,
ἐκεῖ ποὺ οἱ μέρες τῶν θνητῶν ἀνάλαφρες διαβαίνουν·
δὲν ἔχει οὔτε χειμώνα ἐκεῖ, μήτε βροχὴ καὶ χιόνι,
μόνε τ' ἀγέρι τὸ γλυκὸ τοῦ Ζέφυρου ἀνεβάζει

ἀνθρώπους·
οὕνεκ᾽ ἔχεις Ἑλένην καί σφιν γαμβρὸς Διός ἐσσι᾽.

"ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ᾽ ἀντιθέοις ἑτάροισιν
ἴα, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
δόρπον θ᾽ ὁπλισάμεσθ᾽, ἐπί τ᾽ ἦλυθεν ἀμβροσίη νύξ,
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ᾽ ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἐίσῃς,
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον·
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἂψ δ᾽ εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο
στῆσα νέας, καὶ ἔρεξα τεληέσσας ἑκατόμβας.
αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
χεῦ᾽ Ἀγαμέμνονι τύμβον, ἵν᾽ ἄσβεστον κλέος εἴη.
ταῦτα τελευτήσας νεόμην, ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ᾽ ὦκα φίλην ἐς πατρίδ᾽ ἔπεμψαν.
ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
καὶ τότε σ᾽ εὖ πέμψω, δώσω δέ τοι

παντοτινὰ ὁ Ὠκεανός, καὶ τοὺς θνητοὺς δροσίζει·
τὶ ἔχεις τὴν Ἑλένη ἐσὺ, κι εἶσαι γαμπρὸς τοῦ Δία."
Αὐτὰ εἶπε, καὶ στὴ θάλασσα βουτάει τὴν κυματοῦσα.
Καὶ πέρα ἐγὼ στοὺς θεόμοιαστους συντρόφους καὶ στὰ πλοῖα
ξεκίνησα μὲ τὴν καρδιὰ περίσσια ταραγμένη.
Καὶ σάνε κατεβήκαμε στὸ πλοῖο καὶ στ' ἀκρογιάλι,
τὸ δεῖπνο μας τοιμάσαμε, κι ἡ θεία σὰν ἦρθε ἡ νύχτα,
νὰ κοιμηθοῦμε πέσαμε πὰς τοῦ γιαλοῦ τὴν ἄκρη.
Σὰ φάνη ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
πρῶτα στὴ λαμπροθάλασσα τραβᾶμε τᾶ καράβια,
καὶ τὰ κατάρτια στήνουμε μ' ἀπάνω τὰ πανιά τους.
Μπῆκαν κι ἐκεῖνοι, κάθισαν ἀράδα στὰ σανίδια,
καὶ τὸν ἀστραφτερὸ γιαλὸ μὲ τὰ κουπιά βαροῦσαν.
Στὸν οὐρανόχυτο Αἴγυπτο μπῆκαν τὰ πλοῖα κι ἀράξαν,
καὶ τέλεσα ἑκατοβοδιῶν καλὲς ἐκεῖ θυσίες·
καὶ τῶν θεῶν τὴ μάνητα σὰν ἔπαψα, μνημούρι
τοῦ Ἀγαμέμνονα ἔστησα, νὰ ζήση τ' ὄνομά του.
Καὶ σὰν τὰ τέλειωσα, ἔφυγα· μοῦ στεῖλαν πρύμο ἀγέρα
οἱ ἀθάνατοι, καὶ στὴ γλυκειὰ μὲ φέρανε πατρίδα.
Ὡς τόσο, δέξου τώρα ἐσὺ στοὺς πύργους μου νὰ μείνης,
ὡσότου μέρες ἔντεκα ἢ καὶ δώδεκα νὰ γίνουν
πρεπούμενα σὲ προβοδῶ ἐγὼ τότε, καὶ

ἀγλαὰ δῶρα,
τρεῖς ἵππους καὶ δίφρον ἐύξοον· αὐτὰρ ἔπειτα
δώσω καλὸν ἄλεισον, ἵνα σπένδῃσθα θεοῖσιν
ἀθανάτοις ἐμέθεν μεμνημένος ἤματα πάντα."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Ἀτρεΐδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ᾽ ἔρυκε.
καὶ γάρ κ᾽ εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοί γ᾽ ἀνεχοίμην
ἥμενος, οὐδέ κέ μ᾽ οἴκου ἔλοι πόθος οὐδὲ τοκήων·
αἰνῶς γὰρ μύθοισιν ἔπεσσί τε σοῖσιν ἀκούων
τέρπομαι. ἀλλ᾽ ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
ἐν Πύλῳ ἠγαθέῃ· σὺ δέ με χρόνον ἐνθάδ᾽ ἐρύκεις.
δῶρον δ᾽ ὅττι κέ μοι δοίης, κειμήλιον ἔστω·
ἵππους δ᾽ εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῷ
ἐνθάδε λείψω ἄγαλμα· σὺ γὰρ πεδίοιο ἀνάσσεις
εὐρέος, ᾧ ἔνι μὲν λωτὸς πολύς, ἐν δὲ κύπειρον
πυροί τε ζειαί τε ἰδ᾽ εὐρυφυὲς κρῖ λευκόν.
ἐν δ᾽ Ἰθάκῃ οὔτ᾽ ἂρ δρόμοι εὐρέες οὔτε τι λειμών·
αἰγίβοτος, καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
οὐ γάρ τις νήσων ἱππήλατος οὐδ᾽ εὐλείμων,
αἵ θ᾽ ἁλὶ κεκλίαται· Ἰθάκη δέ τε καὶ περὶ πασέων."
ὣς φάτο, μείδησεν δὲ βοὴν ἀγαθὸς Μενέλαος,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·

σοῦ δίνω
δῶρα λαμπρά, τρία ἄλογα κι ἁμάξι σκαλισμένο,
καὶ κρασοπότηρο ὅμορφο, νὰ στάζῃς τῶν θεῶνε,
καὶ βλέποντας το ὁλοζωῆς ἐμένα νὰ θυμᾶσαι."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κάνει·
"Τοῦ Ἀτρέα γιέ, νὰ μὲ κρατᾶς μὴ θὲς ἐδῶ σὲ μάκρος.
Ἐγὼ καὶ χρόνο δέχουμαι νὰ κάθουμαι κοντά σου,
χωρὶς νὰ λαχταράη γονιοὺς καὶ σπιτικὸ ἡ ψυχή μου,
γιατὶ μὲ γλύκα σ' ἀγρικῶ νὰ λὲς καὶ νὰ δηγέσαι.
Μὰ θά 'χουν οἱ συντρόφοι μου στὴν Πύλο στενοχώρια,
κι ἐσὺ πολὺν καιρὸ ζητᾶς ἐδῶ νὰ μὲ κρατήσῃς.
Δῶρο ὅ,τι δώσῃς μου, τιμὴ θὰ τό 'χω καὶ καμάρι·
τ' ἀλόγατα ὅμως δὲν μπορῶ στὸ Θιάκι νὰ τὰ φέρω,
μόνε θὰ σοῦ τ' ἀφήσω ἐδῶ, νὰ τὰ χαρῇς, ποὺ ὁρίζεις
μεγάλη ὁλόγυρα ἁπλωσιά, μὲ περισσὸ τριφύλλι,
μὲ κύπερη, μὲ στάρι, ζειά, καὶ φουντωτὸ κριθάρι.
Στὸ Θιάκι ἐμεῖς δὲν ἔχουμε δρόμους πλατιούς, λιβάδια·
γιδότοπος, πιὸ νόστιμος ἀπ' ἀλογῆσες χῶρες.
Μήτ' ἄλογα δὲ βρίσκουνται, μήτε λιβάδια ἀπάνω
στὰ θαλασσόζωστα νησιά, κι ἀπ' ὅλα δὰ στὸ Θιάκι."
Αὐτά εἰπε· χαμογέλασε ὁ τρανόφωνος Μενέλαος,
καὶ τόνε λαφροχάδεψε κι ὀνόμασέ τον κι εἶπε·

"αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις·
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
δώρων δ' ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν·
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῷ δ' χείλεα κεκράανται,
ἔργον δ' Ἡφαίστοιο. πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
κεῖσέ με νοστήσαντα· τεὴν δ' ἐθέλω τόδ' ὀπάσσαι."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
δαιτυμόνες δ' ἐς δώματ' ἴσαν θείου βασιλῆος.
οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' ἐυήνορα οἶνον·
σῖτον δέ σφ' ἄλοχοι καλλικρήδεμνοι ἔπεμπον.
ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος, ὕβριν ἔχοντες.
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδής,
ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
τοῖς δ' υἱὸς Φρονίοιο Νοήμων ἐγγύθεν ἐλθὼν
Ἀντίνοον μύθοισιν ἀνειρόμενος προσέειπεν·
"Ἀντίνο', ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσίν, ἦε καὶ

"Αἷμα καλό, παιδάκι μου, τὰ λόγια σου μοῦ δείχνουν·
σοῦ ἀλλάζω τ' ἄλογα, μπορῶ κι ἀλλιῶς νὰ σὲ φιλέψω·
ἀπ' ὅσα δῶρα σπίτι μου φυλάω θησαυρισμένα,
σοῦ δίνω τ' ὁμορφότερο, τὸ πιὸ βαριότιμό μου.
Σοῦ δίνω ψιλοδούλευτο κροντήρι, ὅλο ἀσήμι,
κι ἀπάνωθε τὰ χείλη του μὲ μάλαμα σμιγμένα·
δουλειὰ τοῦ Ἡφαίστου· ὁ Φαίδιμος ὁ ἥρωας τό 'χε δώσει,
ὁ ρήγας τῶν Σιδονιτῶν, τότες ποὺ ἐδῶ γυρνώντας
στ' ἀρχοντικά του κόνεψα· δικό σου νά 'ναι θέλω."
Τέτοιες κουβέντες ἔκαναν ἐκεῖνοι ἀνάμεσό τους·
κι οἱ καλεσμένοι μπαίνανε στοῦ βασιλιᾶ τοὺς πύργους,
καὶ φέρναν, ἄλλοι πρόβατα, κι ἄλλοι κρασὶ γιὰ ἡρώους·
τὰ σιταρόψωμα ἔστελναν οἱ λυγερὲς κυράδες,
καὶ μὲς τοὺς βασιλόπυργους τοιμάζαν τὸ τραπέζι.
Καὶ στοῦ Ὀδυσσέα κατάμπροστα οἱ μνηστῆρες τὰ παλάτια
δισκοβολώντας γλέντιζαν καὶ ρίχνοντας κοντάρια
σὲ γῆς στρωτή, ποὺ ἀδιάντροπα ἐκεῖ πάντα μαζεύονταν.
Μὰ οἱ ἀρχηγοὶ κι οἱ πρῶτοι τους στὴν παλληκαροσύνη,
ὁ Ἀντίνος κι ὁ θεόμοιαστος Εὐρύμαχος, καθόνταν.
Σ' ἐτούτους ὁ Νοήμονας, ὁ γιὸς τοῦ Φρόνιου ἦρθε,
καὶ στὸν Ἀντίνο μίλησε, καὶ ρώτηξέ τον κι εἶπε·
"Ἀντίνο, τάχα ξέρουμε, γιά ὁ νοῦς

οὐκί,
ὁππότε Τηλέμαχος νεῖτ᾽ ἐκ Πύλου ἠμαθόεντος;
νῆά μοι οἴχετ᾽ ἄγων· ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς
Ἤλιδ᾽ ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
δώδεκα θήλειαι, ὑπὸ δ᾽ ἡμίονοι ταλαεργοὶ
ἀδμῆτες· τῶν κέν τιν᾽ ἐλασσάμενος δαμασαίμην."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἀνὰ θυμὸν ἐθάμβεον· οὐ γὰρ ἔφαντο
ἐς Πύλον οἴχεσθαι Νηλήιον, ἀλλά που αὐτοῦ
ἀγρῶν ἢ μήλοισι παρέμμεναι ἠὲ συβώτῃ.
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη Εὐπείθεος υἱός·
"νημερτές μοι ἔνισπε, πότ᾽ ᾤχετο καὶ τίνες αὐτῷ
κοῦροι ἕποντ᾽; Ἰθάκης ἐξαίρετοι, ἢ ἑοὶ αὐτοῦ
θῆτές τε δμῶές τε; δύναιτό κε καὶ τὸ τελέσσαι.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὺ εἰδῶ,
ἦ σε βίῃ ἀέκοντος ἀπηύρα νῆα μέλαιναν,
ἦε ἑκὼν οἱ δῶκας, ἐπεὶ προσπτύξατο μύθῳ."
τὸν δ᾽ υἱὸς Φρονίοιο Νοήμων ἀντίον ηὔδα·
"αὐτὸς ἑκὼν οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
ὁππότ᾽ ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ
αἰτίζῃ; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
κοῦροι δ᾽, οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ᾽ ἡμέας,
οἵ οἱ ἕποντ᾽· ἐν δ᾽ ἀρχὸν ἐγὼ βαίνοντ᾽ ἐνόησα

μας δὲν κατέχει,
τοὺς ἄμμους ὁ Τηλέμαχος τῆς Πύλος πότε ἀφήνει ;
Μὲ τὸ καράβι μου ἔφυγε, καὶ τό 'χω ἀνάγκη τώρα,
πέρα νὰ πάω, στὴν Ἤλιδα, ποὺ δώδεκα φοράδες
μου θρέφουνε δουλευτικὰ μὰ ἀδάμαστα μουλάρια,
ποὺ ἤθελα ἐδῶ κανένα τους νὰ φέρω νὰ δαμάσω."
Εἶπε, κι ἐκεῖνοι θάμασαν· τὶ στοῦ Νηλέα τὴν Πύλο
δὲν ἔλεγαν πὼς μίσεψε, μόν' κάπου στὴν ξοχή του,
γιά μὲ τὰ πρόβατα ἔμνησκε, γιά στοῦ χοιροβοσκοῦ του.
Κι ὁ Ἀντίνος, τοῦ Εὐπείθη ὁ γιός, τοῦ μίλησε καὶ τοῦ εἶπε·
"Πές μου σωστά, πότ' ἔφυγε, καὶ ποιούς μαζί του πῆρε ;
τάχα Θιακήσους διαλεχτούς, γιά πλερωτούς καὶ δούλους;
Γιατὶ κι αὐτὸ θὰ τό 'κανε. Πές μου ἀνοιχτὰ κι ἐτοῦτο,
νὰ ξέρω· τὸ καράβι σου, στο πῆρε μὲ τὸ ζόρι,
ἢ τάχα σὲ καλόπιασε, καὶ τό 'δωσες μονάχος ;"
Καὶ γύρισε ὁ Νοήμονας τοῦ Φρόνιου ὁ γιὸς καὶ τοῦ εἶπε·
"Τοῦ τό 'δωσα ἀπὸ λόγου μου· τί τάχα θά 'κανε ἄλλος,
ἂν τέτοιος ἄντρας, ἔχοντας ἔννοιες πολλὲς στὸ νοῦ του,
παρακαλοῦσε ; Δύσκολο νὰ τοῦ ἀρνηθῆς τὴ χάρη.
Πῆρε μαζί του τοῦ Θιακιοῦ τὰ πρῶτα παλληκάρια,
κι εἶδα ἀρχηγὸ τὸ Μέντορα νὰ μπαίνη στὸ καράβι,

Μέντορα, ἠὲ θεόν, τῷ δ' αὐτῷ πάντα ἐΐκει.
ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
χθιζὸν ὑπηοῖον, τότε δ' ἔμβη νηὶ Πύλονδε."
ὣς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός,
τοῖσιν δ' ἀμφοτέροισιν ἀγάσσατο θυμὸς ἀγήνωρ.
μνηστῆρας δ' ἄμυδις κάθισαν καὶ παῦσαν ἀέθλων.
τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός,
ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην·
"ὢ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
ἐκ τοσσῶνδ' ἀέκητι νέος πάϊς οἴχεται αὔτως
νῆα ἐρυσσάμενος, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους.
ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσειε βίην, πρὶν ἥβης μέτρον ἱκέσθαι.
ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι ἠδὲ φυλάξω
ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
ὡς ἂν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός."
"ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον.
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν

ἴσως καὶ νά 'τανε θεὸς ποὺ τοῦ 'μοιαζε περίσσια.
Μὰ αὐτὸ ἀπορῶ· ποὺ ἐχτὲς ταχὺ τὸ Μέντορα ἐδῶ εἶδα,
κι ὡς τόσο μπῆκε τότε αὐτὸς στὸ πλοῖο νὰ πάη στὴν Πύλο."
Ἅμα εἶπε τοῦτα, κίνησε στὸ σπίτι τοῦ γονιοῦ του·
μὰ οἱ δυὸ ἐκεῖνοι ποὺ ἄκουγαν ταράχτηκε ἡ ψυχή τους,
καὶ τοὺς μνηστῆρες κάθισαν, καὶ πάψαν τοὺς ἀγῶνες.
Κι ὁ Ἀντίνος, τοῦ Εὐπείθη ὁ γιός, τοὺς μίλησε μὲ πίκρα,
τὶ λύσσα τὰ συνέπαιρνε τὰ μαῦρα σωθικά του,
καὶ μοιάζανε τὰ μάτια του σὰ λαμπερὲς δυὸ φλόγες·
"Γιὰ δὲς μεγάλο κάμωμα, ταξίδι νὰ τολμήση,
ποὺ λέγαμε ὁ Τηλέμαχος πὼς δὲν τὰ βγάζει πέρα.
Σὲ τόσων πεῖσμα ἕνα παιδὶ νὰ πάρη πλοῖο νὰ φύγη,
ἀφοῦ τοῦ τόπου διάλεξε τὰ πρῶτα παλληκάρια.
Ἀρχίζει κι ἀπ' τὰ πρῶτα του χερότερα ποὺ ὁ Δίας
νὰ τόνε σπάση πρὶν ἐρθῆ καὶ βάσανα μᾶς φέρη.
Μὰ πλοῖο δόστε μου γοργὸ καὶ εἰκοσαριὰ συντρόφους
καρτέρι νὰ τοῦ στήσω ἐγὼ καὶ νὰ παραμονέψω
μὲς στὰ στενὰ ἐκεῖ τοῦ Θιακιοῦ καὶ τῶν βροχιῶν τῆς Σάμης,
νὰ τὸ καῆ ποὺ ἀρμένισε γιὰ χάρη τοῦ γονιοῦ του."
Εἶπε, κι οἱ ἄλλοι στέργανε καὶ θαρρεσιὰ τοῦ δίναν·
κατόπι σηκωθήκανε καὶ στὸ παλάτι μπῆαν.
Ὅμως πολὺ δὲν ἄργησε νὰ μάθη ἡ

ἄπυστος
μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον·
κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς
αὐλῆς ἐκτὸς ἐών· οἱ δ᾽ ἔνδοθι μῆτιν ὕφαινον.
βῆ δ᾽ ἴμεν ἀγγελέων διὰ δώματα Πηνελοπείῃ·
τὸν δὲ κατ᾽ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
"κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
ἦ εἰπέμεναι δμῳῇσιν Ὀδυσσῆος θείοιο
ἔργων παύσασθαι, σφίσι δ᾽ αὐτοῖς δαῖτα πένεσθαι;
μὴ μνηστεύσαντες μηδ᾽ ἄλλοθ᾽ ὁμιλήσαντες
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν·
οἳ θάμ᾽ ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
ὑμετέρων τὸ πρόσθεν ἀκούετε, παῖδες ἐόντες,
οἷος Ὀδυσσεὺς ἔσκε μεθ᾽ ὑμετέροισι τοκεῦσιν,
οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμῳ, ἥ τ᾽ ἐστὶ δίκη θείων βασιλήων·
ἄλλον κ᾽ ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.
κεῖνος δ᾽ οὔ ποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει.
ἀλλ᾽ ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
φαίνεται, οὐδέ τίς ἐστι χάρις μετόπισθ᾽ ἐυεργέων."
τὴν δ᾽ αὖτε προσέειπε Μέδων πεπνυμένα εἰδώς·

Πηνελόπη
ὅσα οἱ μνηστῆρες μυστικὰ στὸ νοῦ τους μαγειρεῦαν,
τὶ ὁ κήρυκας ὁ Νέδοντας τῆς τά 'πε, ποὺ ἄκουσέ τα,
ὄντας παρόξω τῆς αὐλῆς, ποὺ ἐκεῖ τὰ κρυφοπλέχναν,
καὶ μπῆκε νὰ τὰ μπιστευτῆ τῆς Πηνελόπης μέσα.
Καὶ στὸ κατώφλι ποὺ εἶδε τον ἡ Πηνελόπη, ἀρχίζει·
"Τί σ' ἔστειλαν, ὦ κήρυκα, ἐδῶ οἱ τρανοὶ μνηστῆρες;
τάχα τὶς δοῦλες τοῦ θεϊκοῦ Ὀδυσσέα νὰ προστάξης
νὰ πάψουν τὶς σπιτοδουλειὲς καὶ δεῖπνο νὰ τοὺς στρώσουν;
Νὰ μήν τὸ σώσουν ἄλλα πιὰ νὰ δοῦνε γάμου γλέντια,
μόνε νὰ φᾶνε ἐδῶ ἀς ἔρθουν τὸ δεῖπνο τὸ στερνό τους.
Ποὺ ἐδῶ μαζεύεστε καὶ βιὸς μεγάλο καταλεῖτε,
τὰ πλούτια τοῦ Τηλέμαχου, καὶ τάχα ἀπ' τοὺς γονιούς σας,
σὰν ἤσαστε μωρὰ παιδιά, δὲν τό 'χετε ἀκουσμένο
τὸ τί τούς στάθηκε ἐκεινοὺς ὁ θεῖος ὁ Ὀδυσσέας,
ποὺ κανενός τους ἄδικο μήτ' ἔκαμε μήτε εἶπε,
σὰν ποὺ στὸν κόσμο συνηθοῦν οἱ θεϊκοὶ οἱ ρηγάδες,
κι ἄλλο ἄξαφνα θνητὸ μισοῦν, ἄλλο θνητὸ ἀγαπᾶνε.
Ἐκεῖνος σὲ ἄντρα ὑβριστικὰ δὲ φέρθηκε ποτές του,
μὰ ἐσᾶς κι ὁ νοῦς σας φανερὸς καὶ τ' ἄπρεπά σας ἔργα,
καὶ χάρη, ἂ σᾶς γενῆ καλό, κατόπι δὲν κρατᾶτε."
Καὶ τότε ὁ πολυστόχαστος ὁ Μέδοντας τῆς εἶπε·

"αἲ γὰρ δή, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων·
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέι χαλκῷ
οἴκαδε νισόμενον· ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην ἠδ᾽ ἐς Λακεδαίμονα δῖαν."
ὣς φάτο, τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
"κῆρυξ, τίπτε δέ μοι πάϊς οἴχεται; οὐδέ τί μιν χρεὼ
νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵ θ᾽ ἁλὸς ἵπποι
ἀνδράσι γίγνονται, περόωσι δὲ πουλὺν ἐφ᾽ ὑγρήν.
ἦ ἵνα μηδ᾽ ὄνομ᾽ αὐτοῦ ἐν ἀνθρώποισι λίπηται;"
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Μέδων πεπνυμένα εἰδώς·
"οὐκ οἶδ᾽ ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
πατρὸς ἑοῦ ἢ νόστον ἢ ὅν τινα πότμον ἐπέσπεν."
ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμ᾽ Ὀδυσῆος.
τὴν δ᾽ ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη
δίφρῳ ἐφέζεσθαι πολλῶν κατὰ οἶκον ἐόντων,
ἀλλ᾽ ἄρ᾽ ἐπ᾽ οὐδοῦ ἷζε πολυκμήτου

"Νά 'ταν αὐτό, βασίλισσα, τὸ πιὸ βαρὺ κακό μας·
μὰ ἕν' ἄλλο ἀκόμα πιὸ βαρὺ καὶ φοβερὸ οἱ μνηστῆρες
τὴν ὥρα αὐτὴ σκαρώνουνε, ποὺ ὁ Δίας νὰ τὸ χαλάση.
Πασκίζουν τὸν Τηλέμαχο στὸ γυρισμὸ νὰ κόψουν,
ποὺ νὰ ζητήση μίσεψε μαντάτα τοῦ γονιοῦ του,
στὴ θεία τὴ Λακεδαίμονα καὶ στὴν καλὴ τὴν Πύλο."
Εἶπε, κι ἐκείνης κόπηκαν τὰ γόνατα, ἡ καρδιά της·
ὥρα πολλὴ τὴ γλῶσσα της ἀμιλησιὰ κρατοῦσε,
τὰ μάτια δάκρυα γέμισαν, καὶ πιάστηκε ἡ φωνή της.
Τέλος αὐτὰ τοῦ μίλησε τὰ λόγια·
"Κήρυκά μου,
τί μοῦ 'φυγε τ' ἀγόρι μου ; Δὲν εἶχε αὐτὸς ἀνάγκη
νὰ μπῆ στὰ πλοῖα τὰ γοργά, ποὺ γιὰ τοὺς ἄντρες εἶναι
σὰν ἄλογα τῆς θάλασσας, νὰ τοὺς πελαγοφέρνουν.
Ἢ τάχατες μήτε ὄνομα στὴ γῆς νὰ μὴν τοῦ μείνη ;"
Κι ὁ γνωστικὸς ὁ Μέδοντας ἀπολογήθη κι εἶπε.
"Δὲν ξέρω ἂν θεὸς τὸν κίνησε, γιὰ τοῦ 'ρθε ἀπὸ βουλή του,
νὰ πάη στὴν Πύλο, τοῦ γονιοῦ τὸ γυρισμὸ νὰ μάθη,
ἢ ἂν τελείωσε, ποιό στάθηκε τὸ τέλος του ν' ἀκούση."
Αὐτὰ σὰν εἶπε, γύρισε μὲς στοῦ Ὀδυσσέα τοὺς πύργους.
Κι ἐκείνη τὴν ψυχόδερνε καὶ τὴ βαροῦσε ὁ πόνος,
καὶ μήτε σ' ἕνα ἀπ' τὰ θρονιὰ δὲν μπόρειε νὰ καθίση,
παρὰ στοῦ καλοκάμωτου θαλάμου τὸ

θαλάμοιο
οἴκτρ᾽ ὀλοφυρομένη· περὶ δὲ δμῳαὶ μινύριζον
πᾶσαι, ὅσαι κατὰ δώματ᾽ ἔσαν νέαι ἠδὲ παλαιαί.
τῆς δ᾽ ἀδινὸν γοόωσα μετηύδα Πηνελόπεια·
"κλῦτε, φίλαι· πέρι γάρ μοι Ὀλύμπιος ἄλγε᾽ ἔδωκεν
ἐκ πασέων, ὅσσαι μοι ὁμοῦ τράφεν ἠδ᾽ ἐγένοντο·
ἦ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ᾽ Ἑλλάδα καὶ μέσον Ἄργος.
νῦν αὖ παῖδ᾽ ἀγαπητὸν ἀνηρείψαντο θύελλαι
ἀκλέα ἐκ μεγάρων, οὐδ᾽ ὁρμηθέντος ἄκουσα.
σχέτλιαι, οὐδ᾽ ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη
ἐκ λεχέων μ᾽ ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ,
ὁππότ᾽ ἐκεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
τῷ κε μάλ᾽ ἦ κεν ἔμεινε καὶ ἐσσύμενός περ ὁδοῖο,
ἦ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
ἀλλά τις ὀτρηρῶς Δολίον καλέσειε γέροντα,
δμῶ᾽ ἐμόν, ὅν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας

κατώφλι
κάθισε δάκρυα χύνοντας πικρά, κι οἱ παρακόρες,
γριὲς καὶ νιὲς τοῦ παλατιοῦ, μαζί της σιγοκλαῖγαν.
Κι ἐκείνη βαριοκλαίγοντας τοὺς εἶπε·
"Ἀγαπημένες,
ἀκοῦτε· πιότερα δεινὰ μοῦ 'δωσ' ἐμένα ὁ Δίας
ἀπ' ὅλες ποὺ γεννήθηκαν καὶ ζήσανε μαζί μου.
Λαμπρὸ καὶ λιονταρόψυχο πρῶτα στερήθηκα ἄντρα,
μὲ μύρια μὲς στοὺς Δαναοὺς καμάρια στολισμένο,
ποὺ στὴν Ἑλλάδα ἡ δόξα του καὶ στ' Ἄργος ὅλο βγῆκε.
Τώρ' ἀπ' ἐδῶ μοῦ ἁρπάξανε οἱ ἀνέμοι καὶ τὸ γιό μου,
ἀνάκουστα, καὶ μίσεψε χωρὶς νὰ τόνε νιώσω.
Ἀπόνετες, ποὺ καμιανῆς δὲν πέρασε ἀπ' τὸ νοῦ σας
νὰ μὲ ξυπνῆστε, ἂν καὶ καλὰ τὰ ξέρατε ἐσεῖς ὅλα,
τότες ποὺ μπῆκε στὸ βαθὺ καὶ μελανὸ καράβι,
Ἂν ἐγὼ τ' ἄκουα πὼς αὐτὸς ταξίδι μελετοῦσε,
θά 'μνησκε ἐδῶ, κι ἂς ἤτανε στὶς ξενιτειὲς ὁ νοῦς του·
ἀλλιῶς, νεκρὴ θὰ μ' ἄφηνε σ' αὐτὰ τὰ σπίτια μέσα.
Μὰ ἂς τρέξουν κι ἂς φωνάξουνε τὸ γέρο τὸ Δολίο,
ποὺ ὁ κύρης δοῦλο μοῦ 'δωσε πριχοῦ νὰ ρθῶ ἐδῶ πέρα,
καὶ μοῦ φυλάει τὸ σύδεντρο περβόλι· αὐτὸς νὰ σύρη
καὶ νὰ καθίση νὰ τὰ πῆ ἕνα ἕνα τοῦ Λαέρτη,
ἴσως κι ὁ νοῦς του στοχαστῆ, καὶ τότες βγῆ στὸν κόσμο

ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασιν
ὃν καὶ Ὀδυσσῆος φθῖσαι γόνον ἀντιθέοιο."

τὴν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλέι χαλκῷ
ἢ ἔα ἐν μεγάρῳ· μῦθον δέ τοι οὐκ ἐπικεύσω.
ἤδε᾽ ἐγὼ τάδε πάντα, πόρον δέ οἱ ὅσσ᾽ ἐκέλευε,
σῖτον καὶ μέθυ ἡδύ· ἐμεῦ δ᾽ ἔλετο μέγαν ὅρκον
μὴ πρὶν σοὶ ἐρέειν, πρὶν δωδεκάτην γε γενέσθαι
ἢ σ᾽ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
ἀλλ᾽ ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ᾽ ἑλοῦσα,
εἰς ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχε᾽ Ἀθηναίῃ κούρῃ Διὸς αἰγιόχοιο·
ἡ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσαι.
μηδὲ γέροντα κάκου κεκακωμένον· οὐ γὰρ ὀίω

πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο
ἔχθεσθ᾽, ἀλλ᾽ ἔτι πού τις ἐπέσσεται ὅς κεν ἔχῃσι
δώματά θ᾽ ὑψερεφέα καὶ ἀπόπροθι πίονας ἀγρούς."
ὣς φάτο, τῆς δ᾽ εὖνησε γόον, σχέθε δ᾽ ὄσσε γόοιο.
ἡ δ᾽ ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ᾽ ἑλοῦσα
εἰς ὑπερῷ᾽ ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν,
ἐν δ᾽ ἔθετ᾽ οὐλοχύτας κανέῳ, ἠρᾶτο δ᾽

και σ' όλους παραπονεθῆ ποὺ βάλθηκαν κι εκείνου
καὶ τοῦ Ὀδυσσέα τοῦ ἰσόθεου τὸ γόνο ν' ἀφανίσουν."
Κι ἡ Εὐρύκλεια ἡ παραμάνα της γυρνάει κι ἀπολογιέται·
"Καλὴ νυφούλα μου, ἔπαρε μαχαίρι νὰ μὲ κόψῃς,
γιά μὲς στὰ σπίτια σου ἄσε με· δὲ θὰ σοῦ κρύψω λόγο.
Τὰ γνώριζα ὅλα, κι ὅ,τι αὐτὸς μοῦ πρόσταξε, ἔδωκά του,
καὶ στάρι καὶ γλυκὸ κρασί· μὰ μέγα μοῦ 'βαλε ὅρκο
δώδεκα μέρες πρὶ γενοῦν νὰ μὴν τὸ ξεστομίσω,
ἢ πρὶν ἐσὺ ποθήσῃς τον καὶ μάθῃς το πὼς λείπει,
γιὰ νὰ μὴν κλαῖς καὶ μᾶς χαλνᾶς τὴν ὥρια σου τὴν ὄψη.
Μὰ σὰ λουστῆς καῖ καθαρὰ σὰ ντύσῃς τὸ κορμί σου,
καὶ μὲ τὶς βάγιες σου ἀνεβῆς στ' ἀνώγι, προσευκήσου
στοῦ Δία τοῦ αἰγιδόσκεπου τὴν κόρη τὴν Παλλάδα,
τὶ ἐκείνη κι ἀπὸ θάνατο μπορεῖ νὰ τόνε σώσῃ.
Τοῦ δόλιου γέρου βάσανα καινούργια μὴν τοῦ δίνῃς·
θαρρῶ πὼς δὲν τ' ὀχτρεύουνται οἱ ἀθάνατοι τὸ γένος
τοῦ γιοῦ τοῦ Ἀρκείσιου· πάντα δὰ κάποιος θὰ μείνῃ νά 'χῃ
τὰ σπίτια τ' ἀψηλόχτιστα καὶ τὰ παχιὰ χωράφια."
Εἶπε, κι ἐκείνη μέρωσε, τῆς στέγνωσαν τὰ μάτια,
καὶ λούστηκε, καὶ φόρεσε καθάρια τὸ κορμί της,
κι ἀντάμα μὲ τὶς βάγιες της ἀνέβηκε στ' ἀνώγι,
καὶ στὸ πανέρι βάζοντας κριθάρι,

Ἀθήνῃ·
"κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
εἴ ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
ἢ βοὸς ἢ ὄϊος κατὰ πίονα μηρί᾽ ἔκηε,
τῶν νῦν μοι μνῆσαι, καί μοι φίλον υἷα σάωσον,
μνηστῆρας δ᾽ ἀπάλαλκε κακῶς ὑπερηνορέοντας."
ὣς εἰποῦσ᾽ ὀλόλυξε, θεὰ δέ οἱ ἔκλυεν ἀρῆς.
μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια
ἀρτύει, οὐδέ τι οἶδεν ὅ οἱ φόνος υἷι τέτυκται."
"ὣς ἄρα τις εἴπεσκε, τὰ δ᾽ οὐκ ἴσαν ὡς ἐτέτυκτο.
τοῖσιν δ᾽ Ἀντίνοος ἀγορήσατο καὶ μετέειπε·
"δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
πάντας ὁμῶς, μή πού τις ἀπαγγείλῃσι καὶ εἴσω.
ἀλλ᾽ ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν
μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν."
ὣς εἰπὼν ἐκρίνατ᾽ ἐείκοσι φῶτας ἀρίστους,
βὰν δ᾽ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν οὖν πάμπρωτον ἁλὸς βένθοσδε ἔρυσσαν,
ἐν δ᾽ ἱστόν τ᾽ ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ,
ἠρτύναντο δ᾽ ἐρετμὰ τροποῖς ἐν δερματίνοισιν,
προσευκιέται·
"Ἄκου με, τοῦ αἰγιδόσκεπου τοῦ Δία τρανὴ κόρη·
ἂν ὁ πολύβουλος ποτὲ Ὀδυσσέας στ' ἀρχοντικά του
ξυγγάτα σοῦ 'ψησε μεριὰ βοδιῶνε καὶ προβάτων,
αὐτὰ τώρα θυμήσου τα, καὶ σῶσε τ' ἀκριβό μου,
καὶ φύλαξέ τον ἀπ' ἐχτροὺς ἀπόκοτους καὶ μαύρους."
Αὐτὰ εἶπε, καὶ ξεφώνισε· κι ἡ θεὰ τὴ συνακούγει.
Μὰ οἱ ἄλλοι στὰ βαθιόσκιωτα παλάτια ἀχλολοοῦσαν,
κι ἀπὸ τοὺς ξεπαρμένους νιοὺς ἕνας αὐτὰ λαλοῦσε·
"Τὸ γάμο ἡ πολυγύρευτη βασίλισσα σκαρώνει,
τὴ μοῖρα ὅμως τοῦ γιόκα της δὲν τὴ φαντάστη ἀκόμα."
Αὐτὰ εἶπε, καὶ τί γίνουνταν, κι αὐτοὶ δὲ φανταζόνταν.
Ὁ Ἀντίνος τότες μίλησε κι αὐτὰ στοὺς ἄλλους εἶπε·
"Γιὰ ἀφῆστε τα, καλότυχοι, τὰ λόγια τὰ μεγάλα,
μιὰ καὶ καλή, μὴ μέσαθε κανένας τὰ προφτάξη.
Μόνε ἂς σκωθοῦμε σιγανά, κι ἂς βάλουμε σὲ δρόμο
αὐτὸ ποὺ βουλευτήκαμε στὸ λογισμό μας μέσα."
Αὐτὰ εἶπε, καὶ διαλέξανε μιὰ εἰκοσαριὰ λεβέντες,
καὶ στ' ἀκρογιάλι κίνησαν, πρὸς τὸ γοργὸ καράβι.
Ἀπ' ὅλα πρῶτα τράβηξαν τὸ πλοῖο κατὰ τὰ βάθια,
καὶ τὸ κατάρτι στήσανε καὶ τὰ πανιά του ἀπάνω,
καὶ τὰ κουπιά τους στοὺς σκαρμοὺς μὲ τὰ λουριὰ τροπῶσαν,

πάντα κατὰ μοῖραν, ἀνά θ' ἱστία λευκὰ πέτασσαν·
τεύχεα δέ σφ' ἤνεικαν ὑπέρθυμοι θεράποντες.
ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί·
ἔνθα δὲ δόρπον ἕλοντο, μένον δ' ἐπὶ ἔσπερον ἐλθεῖν.
ἡ δ' ὑπερῴῳ αὖθι περίφρων Πηνελόπεια
κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ὁρμαίνουσ' ἤ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
ἦ ὅ γ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι,
τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος·
εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἄψεα πάντα.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη·
εἴδωλον ποίησε, δέμας δ' ἤικτο γυναικί,
Ἰφθίμῃ, κούρῃ μεγαλήτορος Ἰκαρίοιο,
τὴν Εὔμηλος ὄπυιε Φερῇς ἔνι οἰκία ναίων.
πέμπε δέ μιν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,

ἦος Πηνελόπειαν ὀδυρομένην γοόωσαν
παύσειε κλαυθμοῖο γόοιό τε δακρυόεντος.
ἐς θάλαμον δ' εἰσῆλθε παρὰ κληῖδος ἰμάντα,
στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·

"εὕδεις, Πηνελόπεια, φίλον τετιημένη

πάντα σωστά· τὰ ὁλόασπρα πανιὰ κατόπι ἀνοῖξαν,
καὶ τ' ἄρματα τοὺς φέρανε τὰ πρόθυμα κοπέλια.
Ἀράζουνε πρὸς τὸ γιαλὸ τὸ πλοῖο, κι ὄξω βγαίνουν
ἐκεῖ δειπνήσανε, νὰ ρθῆ προσμένοντας τὸ βράδυ.
Ὡς τόσο κοίτεται ἡ καλὴ στ' ἀνώγι ἡ Πηνελόπη
χωρὶς θροφή, χωρὶς πιοτό, καὶ μόνη συλλογιέται
ὁ γιὸς ὁ παινεμένος της τὸ χάρο ἂν θὰ ξεφύγη,
ἢ θὰ τοῦ φᾶν οἱ ἀπόκοτοι μνηστῆρες τὴ ζωή του.
Κι ὅσο λιοντάρι σκιάζεται σὲ πλῆθος μέσα ἀνθρώπων,
τριγύρω του σὰ μαζευτοῦν παγίδα νὰ τοῦ στήσουν,
τόσο κι ἐκείνη σάστιζε ὥσπου τὴν πῆρε ὁ ὕπνος·
καὶ πλαγιασμένη ἀπόμεινε καὶ λύθηκαν οἱ ἁρμοί της.
Τότες αὐτὸ σοφίστηκε ἡ θεὰ ἡ γαλανομάτα·
φάντασμα φτιάνει ποὺ ἔμοιαζε ἡ μορφή του μὲ γυναίκα,
τοῦ Ἰκάριου τοῦ τρανόψυχου τὴ θυγατέρα Ἰφτίμη,
ποὺ ὁ Εὔμηλος ἀπ' τὶς Φερὲς τὴν εἶχε σύγκλινή του.
Καὶ στέλνει το στοῦ θεϊκοῦ Ὀδυσσέα τὸ παλάτι,
τὴν Πηνελόπη ποὺ ἔκλαιγε καὶ μοιρολόγα νά 'βρη,
καὶ νὰ τῆς πάψη τοὺς κλαμούς, τὰ δάκρυα νὰ τῆς κόψη.
Δίπλα ἀπ' τοῦ σύρτη τὸ λουρὶ στὸ θάλαμό της μπαίνει,
καὶ στέκετ' ἀποπάνω της κι αὐτὰ τῆς συντυχαίνει.
"Κοιμᾶσαι, Πηνελόπη μου, μὲ τὴν

ἦτορ;
οὐ μέν σ᾽ οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
κλαίειν οὐδ᾽ ἀκάχησθαι, ἐπεί ῥ᾽ ἔτι νόστιμός ἐστι
σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστι."

τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια,
ἠδὺ μάλα κνώσσουσ᾽ ἐν ὀνειρείῃσι πύλῃσιν·
"τίπτε, κασιγνήτη, δεῦρ᾽ ἤλυθες; οὔ τι πάρος γε
πωλέ᾽, ἐπεὶ μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις·
καί με κέλεαι παύσασθαι ὀιζύος ἠδ᾽ ὀδυνάων
πολλέων, αἵ μ᾽ ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν,
ἦ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ᾽ Ἑλλάδα καὶ μέσον Ἄργος·
νῦν αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηός,
νήπιος, οὔτε πόνων ἐὺ εἰδὼς οὔτ᾽ ἀγοράων.
τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι ἢ περ ἐκείνου·
τοῦ δ᾽ ἀμφιτρομέω καὶ δείδια, μή τι πάθῃσιν,
ἢ ὅ γε τῶν ἐνὶ δήμῳ, ἵν᾽ οἴχεται, ἢ ἐνὶ πόντῳ·
δυσμενέες γὰρ πολλοὶ ἐπ᾽ αὐτῷ μηχανόωνται,
ἰέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι."
τὴν δ᾽ ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
"θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην·

καρδιὰ θλιμμένη;
Δὲ θὲν ἐσὺ νὰ δέρνεσαι οἱ θεοὶ ποὺ καλοζοῦνε,
καὶ νὰ καρδιοπονᾶς· θᾶ ρθῆ στὸ Θιάκι πάλε ὁ γιός σου,
τὶ φταίξιμο δὲν ἔκαμε στοὺς θεοὺς ποτὲς ἐκεῖνος."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γυρνάει κι ἀπολογιέται,
γλυκὰ λαφροκοιμάμενη στὶς θύρες τῶν ὀνείρων·
"Τ' ἦρθες ἐδῶ, ἀδερφούλα μου; δὲ σ' ἔβλεπα ἄλλοτές μου,
τὶ ἡ κατοικιά σου εἶναι πολὺ μακριὰ ἀπ' ἐδῶ, στὰ ξένα·
μοῦ λὲς νὰ πάψω τοὺς καημοὺς καὶ τοὺς πολλοὺς μου πόνους,
ποὺ μοῦ ταράζουν τὴν ψυχὴ καὶ τὴν καρδιά μου καΐνε·
λαμπρὸ καὶ λιονταρόκαρδο νὰ χάσω, λέει, πρῶτα ἄντρα
μὲ μύρια μὲς στοὺς Δαναοὺς καμάρια στολισμένο,
ποὺ στὴν Ἑλλάδα ἡ δόξα του καὶ στ' Ἄργος ὅλο βγῆκε,
καὶ τώρα ὁ γιόκας μου νὰ βγῆ μὲ κουφωτὸ καράβι,
πού 'ναι ἄμαθος ὁ καψερὸς ἀπὸ ἔργατα καὶ λόγια.
Γιὰ ἐτοῦτον κι ἐγὼ πιότερο θρηνῶ παρὰ γιὰ κεῖνον,
γιὰ ἐτούτονε καρδιοχτυπῶ καὶ τρέμω νὰ μὴν πάθη,
γιά μὲς στοὺς κόσμους ποὺ περνάει, γιά στὰ πελάγη μέσα·
γιατὶ πολλοὶ ἀπὸ ἔχτρητα γυρεύουνε μὲ τέχνες
πρὶ νὰ γυρίση σπίτι του νὰ πάρουν τὴ ζωή του".
Καὶ τὸ θαμπὸ τὸ φάντασμα τῆς ἀπαντάει καὶ λέει·
"Θάρρος, μὴν ἔχης φόβο ἐσὺ στὰ σωθικά σου μέσα·

τοίη γάρ οἱ πομπὸς ἅμ᾽ ἔρχεται, ἥν τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι, δύναται γάρ,
Παλλὰς Ἀθηναίη· σὲ δ᾽ ὀδυρομένην ἐλεαίρει·
ἦ νῦν με προέηκε τεὴν τάδε μυθήσασθαι."
τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"εἰ μὲν δὴ θεός ἐσσι θεοῖό τε ἔκλυες αὐδῆς,
εἰ δ᾽ ἄγε μοι καὶ κεῖνον ὀιζυρὸν κατάλεξον,
ἦ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀίδαο δόμοισι."
τὴν δ᾽ ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
"οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
ζώει ὅ γ᾽ ἦ τέθνηκε· κακὸν δ᾽ ἀνεμώλια βάζειν."
ὣς εἰπὸν σταθμοῖο παρὰ κληῖδα λιάσθη
ἐς πνοιὰς ἀνέμων. ἡ δ᾽ ἐξ ὕπνου ἀνόρουσε
κούρη Ἰκαρίοιο· φίλον δέ οἱ ἦτορ ἰάνθη,
ὥς οἱ ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.
μνηστῆρες δ᾽ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες.
ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα,
μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Ἀστερίς, οὐ μεγάλη· λιμένες δ᾽ ἔνι ναύλοχοι αὐτῇ
ἀμφίδυμοι· τῇ τόν γε μένον λοχόωντες

εἶναι μαζί του φύλακας, ποὺ κι ἄλλοι ἀποθυμοῦσαν
— γιατὶ ἔχει δύναμη πολλὴ — νὰ παραστέκεταί τους·
εἶν' ἡ Παλλάδα ἡ Ἀθηνᾶ, ποὺ νιώθει τὸν καημό σου,
κι ὡς ἐδῶ πέρα μ' ἔστειλε μ' αὐτὸ τὸ μήνυμα της."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γυρνάει κι ἀπολογιέται.
"Ἂν εἶσαι θεὸς κι ἀπὸ θεὸ τὰ ὅσα λὲς κατέχης,
λέγε μου καὶ γιὰ ἐκείνονε τὸ βαριορίζικό μου,
ἂν εἶναι ἀκόμα ζωντανός, τοῦ ἥλιου τὸ φῶς ἃ βλέπη,
ἢ ἀπέθανε, καὶ βρίσκεται μὲς στοῦ Ἅδη τὰ λημέρια."
Καὶ τὸ θαμπὸ τὸ φάντασμα τῆς ἀπαντάει καὶ λέει·
"Γιὰ ἐκείνονε δὲ γίνεται ν' ἀνοίξω λόγο τώρα,
ἃ ζῆ νὰ πῶ ἢ ἀπέθανε, γιατὶ τοῦ κάκου θά 'ναι."
Εἶπε, καὶ χάθη φεύγοντας ἀνάμεσ' ἀπ' τὸ σύρτη,
καὶ σκόρπισε στὸν ἄνεμο. Καὶ τοῦ Ἰκάριου ἡ κόρη
ξυπνάει μ' ἀνάλαφρη καρδιά, ποὺ καθαρὰ τῆς ἦρθε
στὸν ὕπνο της τέτοιο ὄνειρο στ' ἀρχίνημα τῆς νύχτας.
Στὸ πλοῖο ὡς τόσο ἀνέβηκαν, καὶ σῦραν οἱ μνηστῆρες
στὰ πέλαα, τοῦ Τηλέμαχου τὸ τέλος μελετώντας.
Κι εἶναι στῆς θάλασσας ἐκεῖ τὴ μέση πετρονήσι,
ποὺ πέφτει ἀνάμεσα Θιακιοῦ καὶ τῆς ξερῆς τῆς Σάμης,
ὄχι μεγάλο, ἡ Ἀστερή, μὲ βολικὰ λιμάνια,
καὶ δυὸ μπασιές, ποὺ οἱ Ἀχαιοὶ τοῦ

Ἀχαιοί.

στήσανε καρτέρι.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ε

Ὀδυσσέως σχεδία.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

Ἠὼς δ᾽ ἐκ λεχέων παρ᾽ ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ἐν δ᾽ ἄρα τοῖσι
Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.
τοῖσι δ᾽ Ἀθηναίη λέγε κήδεα πόλλ᾽ Ὀδυσῆος
μνησαμένη· μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης·
"Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
ἀλλ᾽ αἰεὶ χαλεπός τ᾽ εἴη καὶ αἴσυλα ῥέζοι·
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ᾽ ὡς ἤπιος ἦεν.
ἀλλ᾽ ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.

Ἀπ' τοῦ πανώριου Τιθωνοῦ τὴν ἀγκαλιὰ ἡ Αὐγούλα
σηκώθη, κι ἔφερε τὸ φῶς σὲ ἀθάνατους κι ἀνθρώπους.
Καὶ συγκαθίζαν οἱ θεοί, καὶ μὲς σ' αὐτοὺς κι ὁ Δίας
ὁ ἀψηλοβρόντης, ποὺ τρανὴ στὰ οὐράνια ἡ δύναμή του.
Κι ἡ Ἀθηνᾶ, θυμήθηκε τὰ πάθια τοῦ Ὀδυσσέα,
πονώντας τον ποὺ ἡ Καλυψὼ τὸν κράταε, καὶ τοὺς εἶπε·

“Πατέρα Δία, καὶ θεοὶ μακαριστοὶ κι αἰώνιοι,
κανένας βασιλιὰς γλυκός, καλόβουλος καὶ δίκιος
πιὰ ἂς μὴ φανῇ, παρὰ σκληρὸς καὶ κακοπράχτης νά 'ναι,
ἀφοῦ κανένας τὸ θεϊκὸ Ὀδυσσέα δὲ θυμᾶται
μὲς στὸ λαὸ ποὺ σὰ γονιὸς μὲ ἀγάπη κυβερνοῦσε.
Πὰς σὲ νησὶ αὐτὸς κοίτεται καὶ δέρνεται ἀπὸ πόνους,
στῆς θέαινας τῆς Καλυψῶς, ποὺ μὲ τὸ ζόρι ἐκεῖθε
κρατάει τον, καὶ δὲ δύνεται νὰ δῇ γλυκειὰ πατρίδα·
τὶ μήτε πλοῖα μὲ τὰ κουπιὰ μήτε συντρόφους ἔχει,
νὰ τόνε ταξιδέψουνε στῆς θάλασσας τὰ πλάτια.

νῦν αὖ παῖδ᾽ ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν
οἵκαδε νισόμενον· ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην ἠδ᾽ ἐς Λακεδαίμονα δῖαν."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
Τηλέμαχον δὲ σὺ πέμψον ἐπισταμένως, δύνασαι γάρ,
ὥς κε μάλ᾽ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται,
μνηστῆρες δ᾽ ἐν νηὶ· παλιμπετὲς ἀπονέωνται."
ἦ ῥα καὶ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
"Ἑρμεία, σὺ γὰρ αὖτε τά τ᾽ ἄλλα περ ἄγγελός ἐσσι,
νύμφῃ ἐυπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὡς κε νέηται
οὔτε θεῶν πομπῇ οὔτε θνητῶν ἀνθρώπων·
ἀλλ᾽ ὅ γ᾽ ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
ἤματί κ᾽ εἰκοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
οἵ κέν μιν περὶ κῆρι θεὸν ὡς τιμήσουσιν,
πέμψουσιν δ᾽ ἐν νηὶ φίλην ἐς πατρίδα γαῖαν,
χαλκόν τε χρυσόν τε ἄλις ἐσθῆτά τε δόντες,
πόλλ᾽, ὅσ᾽ ἂν οὐδέ ποτε Τροίης

Καὶ τώρα θὲν τὸ γιόκα του στὸ γυρισμὸ νὰ κόψουν,
ποὺ νὰ γυρέψη μίσεψε μαντάτα τοῦ γονιοῦ του,
στὴ θεία τὴ Λακεδαίμονα καὶ στὴν καλὴ τὴν Πύλο."
Κι ὁ Δίας γυρνάει καὶ κρένει της, ὁ συννεφομαζώχτης·
"Τί λόγο ἀπὸ τὰ χείλη σου ξεστόμισες, παιδί μου ;
δὲν εἶσαι ἐσὺ ποὺ τό' βαλες στὸ νοῦ σου νά 'ρθη πίσω
ὁ Ὀδυσσέας, καὶ γδικιωμὸ σ' ὁλους αὐτοὺς νὰ φέρη;
Μὲ τρόπο τὸν Τηλέμαχο, σὰν ποὺ ἐσὺ ξέρεις, στεῖλ' τον,
νὰ φτάση στὴν πατρίδα του χωρὶς κακὸ νὰ τοῦ 'ρθη,
καὶ νὰ γυρίσουν ἀδειανοὶ οἱ μνηστῆρες μὲ τὸ πλοῖο."
Κι αὐτὰ σὰν εἶπε, γύρισε πρὸς τὸν Ἑρμῆ τὸ γιό του,
καὶ λέει· "Ἑρμῆ, ποὺ σὲ ὅλα ἐσὺ μαντάτορας μᾶς εἶσαι,
πὲς τῆς ὡριόμαλλης θεᾶς τὴν ἄσφαλτη βουλή μας,
πὼς θέμε ὁ καρτερόψυχος Δυσσέας στὰ χώματά του,
χωρὶς ἀνθρώπου ἢ καὶ θεοῦ συνέργεια νὰ γυρίση·
σὲ σάλι αὐτὸς γερόδετο πολλὰ σὰν κακοπάθη,
σὲ εἴκοσι μέρες τῆς Σκεριᾶς τὴν πλούσια γῆς θὰ φτάση,
ποὺ κατοικοῦνε οἱ Φαίακες οἱ θεογεννημένοι·
αὐτοὶ μὲ πρόθυμη καρδιὰ σὰ θεὸ θὰ τὸν τιμήσουν,
καὶ στὴ γλυκειὰ πατρίδα του μὲ πλοῖο θὰ τόνε στείλουν,
χαλκό, χρυσάφι, φορεσὲς περίσσιες δίνοντάς του,
ποὺ μήτε ἀπ' τὴν Τρωάδα αὐτὸς δὲ θά

ἐξήρατ᾽ Ὀδυσσεύς,
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ
ληίδος αἶσαν.
ὣς γάρ οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν
καὶ ἱκέσθαι
οἶκον ἐς ὑψόροφον καὶ ἐὴν ἐς πατρίδα
γαῖαν."
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε διάκτορος
ἀργεϊφόντης.
αὐτίκ᾽ ἔπειθ᾽ ὑπὸ ποσσὶν ἐδήσατο
καλὰ πέδιλα,
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν
ἐφ᾽ ὑγρὴν
ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇς
ἀνέμοιο.
εἵλετο δὲ ῥάβδον, τῇ τ᾽ ἀνδρῶν
ὄμματα θέλγει,
ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ
ὑπνώοντας ἐγείρει.
τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς
ἀργεϊφόντης.
Πιερίην δ᾽ ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε
πόντῳ·
σεύατ᾽ ἔπειτ᾽ ἐπὶ κῦμα λάρῳ ὄρνιθι
ἐοικώς,
ὅς τε κατὰ δεινοὺς κόλπους ἁλὸς
ἀτρυγέτοιο
ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ
δεύεται ἅλμῃ·
τῷ ἴκελος πολέεσσιν ὀχήσατο
κύμασιν Ἑρμῆς.
ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ᾽
ἐοῦσαν,
ἔνθ᾽ ἐκ πόντου βὰς ἰοειδέος ἤπειρόνδε
ἤιεν, ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι
νύμφη
ναῖεν ἐυπλόκαμος· τὴν δ᾽ ἔνδοθι
τέτμεν ἐοῦσαν.
πῦρ μὲν ἐπ᾽ ἐσχαρόφιν μέγα καίετο,
τηλόσε δ᾽ ὀδμὴ
κέδρου τ᾽ εὐκεάτοιο θύου τ᾽ ἀνὰ νῆσον
ἐΐσκε

'φερνε μαζί του,
ἂν πίσω ἐρχόταν ἄβλαβος μὲ δίκιο
μερτικό του.

Τὶ εἶναι γραφτὸ νὰ ξαναδῆ δικοὺς κι
ἀγαπημένους,
καὶ ν' ἀξιωθῆ τὸν τόπο του καὶ τ' ἀψηλά
του σπίτια."

Αὐτὰ εἶπε, κι ὁ Ἀργοφονιὰς ἀκούει τήν
προσταγή του.
Κι ἀμέσως σάνταλα ἔδεσε στὰ πόδια του
πανώρια,
ἀχάλαστα κι ὁλόχρυσα, ποὺ πεταχτὰ τὸν
πᾶνε
ἀπὸ στεριὲς καὶ θάλασσες σὰ φύσημα τοῦ
ἀνέμου.
Πῆρε τὸ μαγικὸ ραβδί, ποὺ ὅποιο θνητὸ
θελήση
τὰ μάτια ἀποκοιμίζει του ἢ τὸν ξυπνᾶ ἂν
κοιμᾶται·
καὶ πέταξε κρατώντας το ὁ Ἀργοφονιὰς
ἀπάνω
στὴν Πιερία, κι ἀπ' ἐκεῖ περνάει ἀπ' τοὺς
αἰθέρες,
καὶ πέφτοντας στὴ θάλασσα κολύμπαγε
σὰ γλάρος,
ποὺ μέσα στοὺς ἀχνοὺς βυθούς τοῦ
ἀτρύγητου πελάγου
ψάρια ζητάει, καὶ τὰ φτερὰ συχνοβουτάει
στὴν ἅρμη·
ὅμοιος μ' αὐτὸν τ' ἀρίθμητα τὰ κύματα
περνοῦσε.

Καὶ στὸ νησὶ τ' ἀπόμακρο σὰν ἦρθε, ἀπ' τὴ
γαλάζια
προβάλλει θάλασσα στὴ γῆς, πρὸς τὴ
σπηλιὰ ποὺ ἡ νύφη
λημέριαζε ἡ ὡριόμαλλη, καὶ μέσα τήνε
βρίσκει.

κέδρος τ᾽ εὐκεάτοιο θύου τ᾽ ἀνὰ νῆσον Ξύλα περίσσια στὴ γωνιά, κέδροι καὶ θυὲς

ὀδώδει
 δαιομένων· ἡ δ᾽ ἔνδον ἀοιδιάουσ᾽ ὀπὶ καλῇ
 ἱστὸν ἐποιχομένη χρυσείῃ κερκίδ᾽ ὕφαινεν.
 ὕλη δὲ σπέος ἀμφὶ πεφύκει τηλεθόωσα,
 κλήθρη τ᾽ αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.

ἔνθα δέ τ᾽ ὄρνιθες τανυσίπτεροι εὐνάζοντο,
 σκῶπές τ᾽ ἴρηκές τε τανύγλωσσοί τε κορῶναι
 εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.
 ἡ δ᾽ αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο
 ἡμερὶς ἠβώωσα, τεθήλει δὲ σταφυλῇσι.
 κρῆναι δ᾽ ἐξείης πίσυρες ῥέον ὕδατι λευκῷ,
 πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη.
 ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου ἠδὲ σελίνου
 θήλεον. ἔνθα κ᾽ ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
 θηήσαιτο ἰδὼν καὶ τερφθείη φρεσὶν ᾗσιν.
ἔνθα στὰς θηεῖτο διάκτορος ἀργεϊφόντης.
 αὐτὰρ ἐπεὶ δὴ πάντα ἐῷ θηήσατο θυμῷ,
 αὐτίκ᾽ ἄρ᾽ εἰς εὐρὺ σπέος ἤλυθεν. οὐδέ μιν ἄντην
 ἠγνοίησεν ἰδοῦσα Καλυψώ, δῖα θεάων·
 οὐ γάρ τ᾽ ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται
 ἀθάνατοι, οὐδ᾽ εἴ τις ἀπόπροθι δώματα ναίει.

σκισμένες,
 ποὺ μοσκοβόλαε τὸ νησι παντοῦ ἀπ' τὴ μυρουδιά τους.
 Στὸν ἀργαλειό της ὀμπροστὰ γλυκοτραγούδαε ἐκείνη,
 καὶ τὸ πανί της ἔφαινε μὲ τὴ χρυσὴ σαγίτα,
 Τριγύρω δάσια φουντωτὰ μὲ σκλῆθρες καὶ μὲ λεῦκες,
καὶ μυρωδάτα ἀνάμεσα στεκόνταν κυπαρίσσια.
 Λογῆς πυκνόφτερα πουλιὰ κουρνιάζανε στὰ δέντρα,
 γκιώνηδες, καὶ γεράκια, καὶ φωναχτερὲς κουροῦνες
 τῆς θάλασσας, ποὺ χαίρουνται νὰ ζοῦνε στὰ νερά της.
 Καὶ γύρω στὶς βαθειὲς σπηλιὲς τῆς νύφης ἁπλωνόταν
 ἥμερο κλῆμα θαλερὸ σταφύλια φορτωμένο·
 ἀράδα βρύσες τέσσερες ἄσπρο νεράκι χύναν,
 κοντὰ κοντά, μὰ καθεμιὰ κι ἀλλοῦ κατρακυλοῦσε.
 Πλάγι λιβάδια μαλακὰ μὲ σέλινα καὶ βιόλες,
 ποὺ ἀθάνατος κι ἂν ἤρχουνταν σὲ τέτοιες πρασινάδες,
 μὲ θαμασμὸ θὰ κοίταζε καὶ θ' ἄνοιγε ἡ καρδιά του.
Στάθηκ' ἐκεῖ καὶ θάμαζε ὁ Ἀργοφονιὰς ὁ μέγας.
 Κι ἀφοῦ ὅλα τὰ καμάρωσε μὲ τὴν καρδιά του, μπῆκε
 μὲς στὴν ἁπλόχωρη σπηλιά· τὸν κοίταξε ἀντικρύ της
 ἡ νύφη, καὶ δὲν ἄργησε νὰ τόνε δῆ ποιός ἦταν·
 τὶ ἀγνώριστοι δὲ μνήσκουνε οἱ θεοὶ ἀναμεταξύ τους,
κι ἂς κατοικάη κανένας τους ἀλάργα ἀπὸ τοὺς ἄλλους.

οὐδ᾽ ἄρ᾽ Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμεν,
ἀλλ᾽ ὅ γ᾽ ἐπ᾽ ἀκτῆς κλαῖε καθήμενος, ἔνθα πάρος περ,
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων.
πόντον ἐπ᾽ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.

Ἑρμείαν δ᾽ ἐρέεινε Καλυψώ, δῖα θεάων,
ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·

"τίπτε μοι, Ἑρμεία χρυσόρραπι, εἰλήλουθας
αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.
ἀλλ᾽ ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω."
ὡς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν
ἀμβροσίης πλήσασα, κέρασσε δὲ νέκταρ ἐρυθρόν.
αὐτὰρ ὁ πῖνε καὶ ἦσθε διάκτορος ἀργεϊφόντης.
αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ,
καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
"εἰρωτᾷς μ᾽ ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
Ζεὺς ἐμέ γ᾽ ἠνώγει δεῦρ᾽ ἐλθέμεν οὐκ ἐθέλοντα·
τίς δ᾽ ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσιν
ἱερά τε ῥέζουσι καὶ ἐξαίτους

Μέσα τὸ μεγαλόψυχο δὲ βρῆκεν Ὀδυσσέα,
τὶ αὐτὸς καθόταν κι ἔκλαιγε στῆς θάλασσας τὴν ἄκρη,
ψυχοπονώντας σὰν προτοῦ μὲ στεναγμοὺς καὶ θρήνους,
καὶ βλέποντας τὴ θάλασσα μὲ μάτια δακρυσμένα.

Καὶ τὸν Ἑρμῆ τότες ρωτάει ἡ Καλυψὼ ἡ θεούλα,
καθίζοντάς τον σὲ θρονὶ λαμπρὸ καὶ γυαλισμένο·
“Τί ἦρθες ἐδῶ, χρυσόραβδε, καλὲ κι ἀγαπημένε
Ἑρμῆ μου ; Δὲν τὸ συνηθᾶς νὰ μοῦ 'ρχεσαι δὰ τόσο.
Λέγε τὸ τί ἔχεις στὴν καρδιά, κι ἐγὼ θὰ σοῦ τὸ κάμω,
ἂν πρᾶμα εἶναι ποὺ γίνεται, κι ἃ μοῦ περνᾶ ἀπ' τὸ χέρι.
Μὰ τώρα νά 'ρθης παραμπρὸς νὰ σὲ φιλέψω πρῶτα.”
Αὐτὰ τοῦ μίλησε ἡ θεά, καὶ τοῦ 'στρωσε τραπέζι·
θέτει ἀμβροσία καὶ σμίγει του κοκκινωπὸ νεχτάρι.
Ἔτρωγε τότες κι ἔπινε ὁ Ἀργοφονιας ὁ μέγας,
κι ἀφοῦ καλὰ ψυχόπιασε μὲ τὴ θροφὴ τοῦ δείπνου,
κουβέντα τότες ἄνοιξε, καὶ μίλησέ της κι εἶπε·
“Ἐμένα τὸ θεὸ ρωτᾶς ἐσὺ ἡ θεὰ γιατὶ ἦρθα·
ἀλάθευτα θὰ σοῦ τὸ πῶ καθὼς κι ἀποθυμεῖς το.
Ὁ Δίας ἐδῶ μὲ πρόσταξε νὰ ρθῶ χωρὶς νὰ θέλω·
καὶ ποιός θὰ πέρναε θέλοντας τέτοια ἁρμυρὰ πελάγη
ἀπέραντα ; πού μήτε μιὰ χώρα θνητῶ δὲ βρίσκεις
θυσίες κι ἑκατοβοδιὲς λαμπρὲς τῶν θεῶν

ἑκατόμβας.
ἀλλὰ μάλ᾽ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ᾽ ἁλιῶσαι.
φησί τοι ἄνδρα παρεῖναι ὀιζυρώτατον ἄλλων,
τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
οἴκαδ᾽· ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
ἥ σφιν ἐπῶρσ᾽ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
τὸν νῦν σ᾽ ἠνώγειν ἀποπεμπέμεν ὅττι τάχιστα·
οὐ γάρ οἱ τῇδ᾽ αἶσα φίλων ἀπονόσφιν ὀλέσθαι,
ἀλλ᾽ ἔτι οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐς ὑψόροφον καὶ ἐὴν ἐς πατρίδα γαῖαν."
ὣς φάτο, ῥίγησεν δὲ Καλυψώ, δῖα θεάων,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων,
οἵ τε θεαῖς ἀγάασθε παρ᾽ ἀνδράσιν εὐνάζεσθαι
ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ᾽ ἀκοίτην.
ὡς μὲν ὅτ᾽ Ὠρίων᾽ ἕλετο ῥοδοδάκτυλος Ἠώς,
τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες, ἧος ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη

νὰ κάνουν.
Μὰ θεὸς δὲν μπόρεσε ποτὲς τὴ γνώμη νὰ ξεφύγη
τοῦ Δία τοῦ αἰγιδόσκεπου, καὶ μάταιη νὰ τὴ βγάλη.
Λέει πὼς κοντά σου βρίσκεται ὁ πιὸ ἄμοιρος ἀπ' ὅλους·
τοὺς ἄντρες ποὺ πολέμησαν τὰ κάστρα τοῦ Πριάμου·
χρόνους ἐννιὰ πολέμησαν, στοὺς δέκα τοὺς τὰ πῆραν·
καὶ πίσω καθὼς γύριζαν τὴν Ἀθηνᾶ θυμῶσαν,
κι αὐτὴ τοὺς σήκωσε κακοὺς ἀνέμους καὶ φουρτοῦνες.
Ὅλ' οἱ λαμπροὶ συντρόφοι του ξολοθρευτῆκαν τότες,
κι ἐκειὸν ἐδὼ τὸν ἔρριξαν τὰ κύματα κι οἱ ἀνέμοι.
Αὐτόνε τώρα σοῦ μηνάει νὰ στείλης πίσω ἀμέσως,
τὶ δὲν εἶναι τῆς μοίρας του ν' ἀφανιστῆ στὰ ξένα,
τοῦ 'ναι γραφτὸ νὰ ξαναδῆ δικοὺς κι ἀγαπημένους
καὶ ν' ἀξιωθῆ τὸν τόπο του καὶ τ' ἀψηλά του σπίτια."
Τ' ἄκουσ' αὐτὰ καὶ πάγωσε ἡ τρισόμορφη ἡ θεούλα,
καὶ φώναξε τον κι εἶπε του μὲ λόγια φτερωμένα·
"Σκληροί, ζουλιάρηδες θεοί, ποὺ δὲ σᾶς ἔφτασε ἄλλος·
ποὺ μὲ θνητὸ δὲ στέργετε θεὰ νὰ συγκοιμᾶται
στὸ φανερό, κι ἂς εἶναι της ἀγαπημένο ταίρι.
Ἔτσι τὴ ροδοδάχτυλη ζουλέψτε ἐσεῖς Αὐγούλα,
σὰν πῆρε τὸν Ὠρίωνα, γλυκόζωοι θεοί
ὥσπου ἡ χρυσόθρονη Ἄρτεμη, ἡ ἁγνή, στὴν Ὀρτυγία

	κατέπεφνεν.	μὲ τὶς ψιλές της σαϊτιὲς τοῦ πῆρε τὴ ζωή του.
	ὣς δ᾽ ὁπότ᾽ Ἰασίωνι ἐυπλόκαμος Δημήτηρ,	Ἔτσι κι ἡ ὥρια ἡ Δήμητρα, σὰν ἔτρεξε ἡ καρδιά της
	ᾧ θυμῷ εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ	στὸν Ἰάσιο, καὶ πῆρε την αὐτὸς στὴν ἀγκαλιά του
	νειῷ ἔνι τριπόλῳ· οὐδὲ δὴν ἦεν ἄπυστος	μὲς στὸ χωράφι τ' ὀργωτό, μόλις τ' ἀκούει ὁ Δίας,
	Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.	κι ἀστράφτει, καὶ θανατερὸ τοῦ ρίχτει ἀστροπελέκι.
	ὣς δ᾽ αὖ νῦν μοι ἄγασθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.	Μ' ἐμένα τώρα τά 'χετε ποὺ ζῆ θνητὸς μαζί μου,
	τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα	ποὺ ἀτὴ μου τόνε γλύτωσα σὰν ἦρθε καθισμένος
	οἷον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ	πὰς στὴν καρίνα μοναχός, τότες ποὺ ὁ Δίας τὸ πλοῖο
	Ζεὺς ἔλσας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.	μ' ἀστροπελέκι τοῦ 'σκισε στὰ μελανὰ πελάγη.
	ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,	Ὅλ' οἱ λαμπροὶ συντρόφοι του ξολοθρευτῆκαν τότες,
	τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.	κι αὐτὸν τὸν ἔρριξαν ἐδῶ τὰ κύματα κι οἱ ἀνέμοι.
	τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον	Μὲ ἀγάπη τόνε φίλευα καὶ γλυκομελετοῦσα
	θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.	ἀθάνατο κι ἀγέραστο γιὰ πάντα νὰ τὸν κάνω.
	ἀλλ᾽ ἐπεὶ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο	Μὰ ἀφοῦ θεὸς δὲν μπόρεσε τὴ γνώμη νὰ ξεφύγη
	οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ᾽ ἁλιῶσαι,	τοῦ Δία τοῦ αἰγιδόσκεπου καὶ μάταιη νὰ τὴ βγάλη,
	ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,	ἂς σύρη, μιᾶς τὸ πρόσταξε καὶ τὸ γυρεύει ἐκεῖνος,
	πόντον ἐπ᾽ ἀτρύγετον· πέμψω δέ μιν οὔ πῃ ἐγώ γε·	στ' ἀτρύγητα τὰ πέλαγα. Δὲ θὰ σταλθῆ ἀπὸ μένα,
	οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,	τὶ μήτε πλοῖα μὲ τὰ κουπιά, μήτε συντρόφους ἔχω,
	οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.	ποὺ νὰ τὸν ταξιδέψουνε στῆς θάλασσας τὰ πλάτια,
	αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ᾽ ἐπικεύσω,	Ὅμως μὲ γνώμη πρόθυμη θὰ τὸν καθοδηγέψω,
	ὥς κε μάλ᾽ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται."	πῶς νὰ κατέβη ἀπείραγος στὴν πατρική του χώρα.”
	τὴν δ᾽ αὖτε προσέειπε διάκτορος	Κι ὁ μηνυτὴς ὁ Ἀργοφονιὰς γυρίζει καὶ

ἀργεϊφόντης·
"οὕτω νῦν ἀπόπεμπε, Διὸς δ' ἐποπίζεο μῆνιν,
μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ."
ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς ἀργεϊφόντης·
ἡ δ' ἐπ' Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη

ἤι', ἐπεὶ δὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
τὸν δ' ἄρ' ἐπ' ἀκτῆς εὗρε καθήμενον· οὐδέ ποτ' ὄσσε
δακρυόφιν τέρσοντο, κατείβετο δὲ γλυκὺς αἰὼν
νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι ἤνδανε νύμφη.
ἀλλ' ἦ τοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
ἐν σπέσσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ·
ἤματα δ' ἂμ πέτρῃσι καὶ ἠιόνεσσι καθίζων
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων
πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
ἀγχοῦ δ' ἱσταμένη προσεφώνεε δῖα θεάων·
"κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
ἀλλ' ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῷ
εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς
ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ' ἠεροειδέα πόντον.
αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν

τῆς κρένει·
"Στεῖλ' τονε τώρα, σὰν ποὺ λές, καὶ πρόσεχε τοῦ Δία
τὴ μάνητα, κανὲ κακὸ νὰ μὴ σοῦ ἐρθῆ κατόπι."
Αὐτὰ της εἶπε, κι ἔφυγε ὁ Ἀργοφονιὰς ὁ μέγας·
καὶ πρὸς τὸ μεγαλόκαρδο Ὀδυσσέα κινάει ἡ νύφη,
σὰν ἄκουσε τὶς προσταγὲς τοῦ Δία τοῦ Ὀλυμπήσου.
Τὸν εἶδε καὶ καθότανε μονάχος στ' ἀκρογιάλι·
δὲ στέγνωναν τὰ μάτια του ποτὲς ἀπὸ τὰ δάκρυα,
μόν' ἔλυωναν οἱ μέρες του οἱ χρυσὲς ἀπὸ τὸν πόνο
τῆς ξενιτειᾶς, κι ἡ θέαινα δὲν τοῦ 'δινε πιὰ γλύκα.
Μόνε τὶς νύχτες στὴ σπηλιὰ μὲ τὸ στανιὸ κοιμόταν
δίχως λαχτάρα στὴν καρδιά, κι ἂς λαχταροῦσε ἐκείνη.
Καὶ στ' ἀκροβράχια τοῦ γιαλοῦ καθόταν καθεμέρα,
ψυχοπονώντας ἄπαυα μὲ στεναγμοὺς καὶ θρήνους,
καὶ βλέποντας τὶς θάλασσες μὲ μάτια δακρυσμένα.
Σιμά του στάθηκε ἡ θεὰ ἡ χαριτωμένη κι εἶπε·
"Καημένε, μὴ μοῦ κλαίγεσαι πιὰ ἐδῶ, καὶ τὴ ζωή σου
τοῦ κάκου λυώνεις· πρόθυμα ἐγὼ τώρα θὰ σὲ στείλω.
Μόν' ἔλα, καὶ μακρόξυλα μὲ τὸ πελέκι κόψε,
καὶ σάλι ἁπλόχωρο μ' αὐτὰ καλὰ σὰ συνεδέσης,
κάσαρα σκάρωσε ἁψηλὰ ἀποπάνωθε, καὶ τότες
σέρνεις καὶ φεύγεις μέσα του πρὸς τ' ἀχνερὰ πελάγη.

ἐνθήσω μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι,
εἵματά τ' ἀμφιέσω· πέμψω δέ τοι οὖρον ὄπισθεν,
ὡς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
αἴ κε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε."
ὣς φάτο, ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἄλλο τι δὴ σύ, θεά, τόδε μήδεαι, οὐδέ τι πομπήν,
ἥ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
δεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἐΐσαι
ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὔρῳ.
οὐδ' ἂν ἐγὼν ἀέκητι σέθεν σχεδίης ἐπιβαίην,
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο."
ὣς φάτο, μείδησεν δὲ Καλυψὼ δῖα θεάων,
χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς

Ψωμί, νερὸ καὶ κόκκινο κρασί ἐγὼ θὰ σοῦ βάλω,
νὰ μὴν πεινᾶς καὶ φορεσὲς θὰ δώσω νὰ φορέσης,
καὶ πρύμο ἀγέρα νὰ φυσάη κατόπι σου θὰ στείλω,
ποὺ νὰ γυρίσης ἄβλαβος στὴν πατρική σου χώρα,
ἂν θέλημα εἶναι τῶν θεῶν ποὺ ὁρίζουνε τὰ οὐράνια,
πού 'ναι ἀπὸ μένα ἀξιώτεροι νὰ κρίνουν καὶ νὰ πράξουν."
Αὐτὰ εἶπε, κι ὁ πολύπαθος Δυσσέας ἀνετριχιάζει,
καὶ φώναξέ την, κι εἶπε της μὲ λόγια φτερωμένα·
"Ἄλλα στὸ νοῦ σου ἔχεις, θεά, κι ὄχι τὸ μισεμό μου,
ποὺ λὲς μὲ σάλι νὰ διαβῶ τῆς θάλασσας τὰ πλάτια
τὰ φοβερά, ποὺ οὔτε γοργὰ καράβια δὲν περνᾶνε,
χαρούμενα ἀρμενίζοντας στὸ φύσημα τοῦ Δία.
Μὰ ἐγὼ χωρὶς τὴ γνώμη σου δὲ θά 'μπαινα στὸ σάλι,
ἂν ὅρκο δὲ δεχόσουνα μεγάλο νὰ μοῦ κάνης,
πὼς ἄλλο ἐσὺ δὲ μελετᾶς κακὸ στὸ νοῦ σου μέσα."
Αὐτὰ εἶπε, κι ἡ μυριόχαρη θεὰ χαμογελώντας
μὲ νάζι τόνε χάδεψε, κι ὀνόμασε τον κι εἶπε·
"Μαριόλος εἶσαι μὰ τὸ ναί, καὶ κούφιο νοῦ δὲν ἔχεις,
ποὺ τέτοιο συλλογίστηκες νὰ ξεστομίσης λόγο.
Μαρτύροι ἡ γῆς κι ὁ οὐρανὸς ὁ ἀμέτρητος ἀπάνω,
καὶ τὰ νερὰ ποὺ χύνουνται στὸν Ἅδη ἀπὸ

τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ᾽ ἂν ἐμοί περ
αὐτῇ μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ᾽ ἐλεήμων."
ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο δῖα θεάων
καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
ἷξον δὲ σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ,
καί ῥ᾽ ὁ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη
Ἑρμείας, νύμφη δ᾽ ἐτίθει πάρα πᾶσαν ἐδωδήν,
ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
αὐτὴ δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
τῇ δὲ παρ᾽ ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
τοῖς ἄρα μύθων ἦρχε Καλυψώ, δῖα θεάων·
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
εἴ γε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα

τὴ Στύγα,
— τῶν θεῶν βαρὺς καὶ φοβερὸς αὐτὸς εἶν' ὅρκος πάντα, —
πὼς ἄλλο ἐγὼ δὲ μελετῶ κακὸ στὸ νοῦ μου μέσα.
Μόνε γιὰ σένα νοιάζουμαι, καὶ σοῦ μιλάω τὸ ἴδιο
ὅπως γιὰ μένα θά 'κανα σὰν τύχαινέ μου ἀνάγκη·
γιατ' ἔχω καλοθελησιά, καὶ μὲς στὰ σωθικά μου
εἶν' ἡ καρδιά μου μαλακιά, δὲν εἶναι σιδερένια."
Αὐτὰ εἶπε, καὶ ξεκίνησε ἡ μυριόχαρη ἡ θεούλα
μὲ βιάση, καὶ στὰ ἀχνάρια της ἀκολουθοῦσε ἐκεῖνος.
Καὶ φτάσανε στὸ θολωτὸ τὸ σπήλιο ἀντάμα οἱ δυό τους·
κάθισ' ἐκεῖνος στὸ θρονὶ ποὺ ὁ Ἑρμῆς προτοῦ καθόταν,
κι ἡ νύφη τοῦ παράθεσε λογῆς θροφὲς ἀπ' ὅσες
νὰ τρῶνε καὶ νὰ πίνουνε οἱ ἀνθρῶποι συνηθᾶνε·
ἀτή της κάθισε ἀντικρὺ τοῦ θεϊκοῦ Ὀδυσσέα,
κι οἱ παρακόρες φέρανε ἀμβροσία καὶ νεχτάρι.
Καὶ τότες στὰ ἔτοιμα φαγιὰ τὰ χέρια τους ἁπλῶσαν.
Κι ἀπὸ φαγὶ κι ἀπὸ πιοτὸ καλὰ σάνε φρανθῆκαν,
ἡ Καλυψώ, ἡ μυριόχαρη θεά, νὰ λέη ἀρχίζει·
"Γιὲ τοῦ Λαέρτη διόθρεφτε, πολύσοφε Ὀδυσσέα,
λοιπὸν ἐσὺ στὸ σπίτι σου καὶ στὴ γλυκειὰ πατρίδα
νὰ σύρης τώρα λαχταρεῖς; Ἐτσι ἂς γενῆ, καὶ χαίρου.
Ὅμως ὁ νοῦς σου ἂν τό 'βαζε τὸ πόσα κακοπάθια

κήδε᾽ ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ᾽ αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ᾽ εἴης, ἱμειρόμενός περ ἰδέσθαι
σὴν ἄλοχον, τῆς τ᾽ αἰὲν ἐέλδεαι ἤματα πάντα.
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ἔοικεν
θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"πότνα θεά, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
πάντα μάλ᾽, οὕνεκα σεῖο περίφρων Πηνελόπεια
εἶδος ἀκιδνοτέρη μέγεθός τ᾽ εἰσάντα ἰδέσθαι·
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ᾽ ἀθάνατος καὶ ἀγήρως.
ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
εἰ δ᾽ αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
ἤδη γὰρ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω."
ὣς ἔφατ᾽, ἠέλιος δ᾽ ἄρ᾽ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθεν·
ἐλθόντες δ᾽ ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο
τερπέσθην φιλότητι, παρ᾽ ἀλλήλοισι μένοντες.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος

σένα φυλάει ἡ μοῖρα σου, στὸν τόπο σου ὡς νὰ φτάσης,
σ' αὐτὸ τὸ σπήλιο θά 'μνησκες ἀθάνατος νὰ γίνης,
κι ἂς εἶχες τὸ βαρὺ καημὸ τῆς ὥριας σου γυναίκας,
ποὺ μέρα νύχτα νὰ τὴ δῆς τό 'χεις πολλὴ λαχτάρα.
Παινιέμαι δὰ πὼς ἀπ' αὐτὴ χειρότερη δὲν εἶμαι
στὴν ὄψη μήτε στὸ κορμί, καὶ δὲν ταιριάζει κιόλας
θνητὲς μ' ἀθάνατες ποτὲς στὰ κάλλη νὰ μετριοῦνται."
Τότ' ὁ πολύβουλος Δυσσέας ἀπολογήθη κι εἶπε·
"Χαριτωμένη μου θεά, μὴ μοῦ ὀργιστῆς γιὰ δαῦτο·
νιώθω κι ἐγὼ πὼς ταπεινὴ στ' ἀνάστημα ἢ στὰ κάλλη
ἡ Πηνελόπη ἡ γνωστικιὰ θὰ φαίνουνταν ὀμπρός σου·
αὐτὴ θνητή, καὶ πάντα ἐσὺ καὶ ἀπέθαντη καὶ νέα.
Ὅμως περίσσια λαχταρῶ, καὶ τὸ ζητῶ ὁλοένα,
νὰ πάω στὸν τόπο, νὰ χαρῶ τοῦ γυρισμοῦ τὴ μέρα.
Κι ἂ μὲ χτυπήση ὀργὴ θεοῦ στὰ μελανὰ πελάγη,
ἔχω καρδιὰ βασταχτερὴ, κι ἀπομονὴ θὰ κάνω·
ἔπαθα ποὺ ἔπαθα πολλὰ καὶ 'πόφερα ἄλλα τόσα
στὶς μάχες καὶ στὶς θάλασσες· ἂς μοῦ γενῆ καὶ τοῦτο."
Αὐτὰ εἶπε· κι ὁ ἥλιος βούτηξε, κι ἁπλώθηκε σκοτάδι·
καὶ μπήκανε στ' ἀπόβαθα τοῦ θολωτοῦ τοῦ σπήλιου·
κι ἐκεῖ πλαγιάσανε μαζὶ καὶ κρυφαγκαλιαστῆκαν.
Σὰ φάνη ἡ ροδοδάχτυλη τῆς νύχτας

ἨΩς,
αὐτίχ᾽ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ᾽ Ὀδυσσεύς,
αὐτὴ δ᾽ ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ᾽ ἰξυῖ
καλὴν χρυσείην, κεφαλῇ δ᾽ ἐφύπερθε καλύπτρην.
καὶ τότ᾽ Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν·
δῶκέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
στειλειὸν περικαλλὲς ἐλάινον, εὖ ἐναρηρός·
δῶκε δ᾽ ἔπειτα σκέπαρνον ἐύξοον· ἦρχε δ᾽ ὁδοῖο
νήσου ἐπ᾽ ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
κλήθρη τ᾽ αἴγειρός τ᾽, ἐλάτη τ᾽ ἦν οὐρανομήκης,
αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς.
αὐτὰρ ἐπεὶ δὴ δεῖξ᾽, ὅθι δένδρεα μακρὰ πεφύκει,
ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεάων,
αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
εἴκοσι δ᾽ ἔκβαλε πάντα, πελέκκησεν δ᾽ ἄρα χαλκῷ,
ξέσσε δ᾽ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
τόφρα δ᾽ ἔνεικε τέρετρα Καλυψώ, δῖα θεάων·
τέτρηνεν δ᾽ ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισιν,
γόμφοισιν δ᾽ ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρασσεν.
ὅσσον τίς τ᾽ ἔδαφος νηὸς τορνώσεται ἀνὴρ

κόρη Αὐγούλα,
πῆρε ὁ Δυσσέας καὶ φόρεσε χιτώνα καὶ χλαμύδα,
κι ἔβαλε φόρεμα ἡ θεὰ περίλαμπρο, μεγάλο,
ψιλόφαντο καὶ λιμπιστό· κατόπι ὡριὸ ζωνάρι
ὁλόχρυσο στὴ μέση της, καὶ σκέπη στὸ κεφάλι·
καὶ τότες τοῦ τρανοῦ Ὀδυσσέα νοιαζόταν τὸ ταξίδι.
Πρῶτα πελέκι τοῦ 'δωσε, καλὸ στὶς ἀπαλάμες,
τρανό, χαλκένιο, δίκοπο, ποὺ μέσα του στειλιάρι
ὥριο, ἐλατένιο τοῦ 'χανε βασταγερὰ μπηγμένο·
κατόπι τοῦ προμήθεψε σκεπάρνι ἀκονισμένο,
καὶ πρὸς τὴν ἄκρη πῆρε τον πού 'χε ἀψηλὰ τὰ δέντρα,
κλῆθρες καὶ λεῦκες· κι ἔλατα ποὺ ἀγγίζανε τὰ οὐράνια,
ἀπὸ καιρὸ κατάξερα, νά 'ναι ἀλαφρὰ στὸ κῦμα.
Κι ἀφοῦ τὸν τόπο τοῦ 'δειξε ποὺ βρίσκουνταν τὰ δέντρα,
γύρισε πίσω ἡ Καλυψὼ ἡ μυριόχαρη στὸ σπήλιο,
καὶ ξύλα ἐκεῖνος ἔκοβε, καὶ πρόκοβε ἡ δουλειά του.
Ὡς εἴκοσι ἔρριξε δεντρά, τὰ πελεκάει μ' ἀξίνα,
τὰ ροκανίζει τεχνικά, τὰ σιάζει με τὴ στάφνη·
καὶ μὲ τρυπάνια ποὺ ἡ θεὰ ἀπὸ τὴ σπηλιὰ τοῦ φέρνει,
τὰ τρυπανίζει, καὶ μαζὶ τ' ἁρμολογάει ἀράδα,
χτυπώντας μέσα τους γεροὺς ἁρμοὺς καὶ ξυλοκάρφια.
Κι ὅσο φαρδιὰ τὴν πατωσιὰ σὲ φορτηγὸ καράβι

φορτίδος εὐρείης, ἐὺ εἰδὼς τεκτοσυνάων,
τόσσον ἔπ᾽ εὐρεῖαν σχεδίην ποιήσατ᾽ Ὀδυσσεύς.
ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι,
ποίει· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
ἐν δ᾽ ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ·
πρὸς δ᾽ ἄρα πηδάλιον ποιήσατο, ὄφρ᾽ ἰθύνοι.
φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι
κύματος εἶλαρ ἔμεν· πολλὴν δ᾽ ἐπεχεύατο ὕλην.
τόφρα δὲ φάρε᾽ ἔνεικε Καλυψώ, δῖα θεάων,
ἱστία ποιήσασθαι· ὁ δ᾽ εὖ τεχνήσατο καὶ τά.
ἐν δ᾽ ὑπέρας τε κάλους τε πόδας τ᾽ ἐνέδησεν ἐν αὐτῇ,
μοχλοῖσιν δ᾽ ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.
τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·
τῷ δ᾽ ἄρα πέμπτῳ πέμπ᾽ ἀπὸ νήσου δῖα Καλυψώ,
εἵματά τ᾽ ἀμφιέσασα θυώδεα καὶ λούσασα.
ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
τὸν ἕτερον, ἕτερον δ᾽ ὕδατος μέγαν, ἐν δὲ καὶ ᾖα
κωρύκῳ· ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά·
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
γηθόσυνος δ᾽ οὔρῳ πέτασ᾽ ἱστία δῖος Ὀδυσσεύς.
αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
ἥμενος, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν
Πληιάδας τ᾽ ἐσορῶντι καὶ ὀψὲ δύοντα τὴν Πούλια, τὸ Βοδοζευγὰ ποὺ ἀργεῖ νὰ

πιδέξιος κάνει μαραγκός, τόσο φαρδὺ τὸ σάλι
κι ὁ Ὀδυσσέας τὸ σκάρωσε. Ὀρθόστησε πουντέλια
ἀπάνω σὲ πυκνόβαλτα μαντάλια ταιριασμένα·
καὶ τέλος τὰ συνέδεσε μὲ μακρουλὰ μαδέρια,
Κατάρτι μέσα στύλωσε, τὸ ἀρμάτωσε μὲ ἀντένα,
καὶ τὸ τιμόνι ταίριαξε, νὰ κυβερνάη τὸ σάλι,
ποὺ μὲ πλεμάτια ἀπὸ ἰτιὲς τό 'φραξε πέρα ὡς πέρα,
νὰ μὴν περνοῦν τὰ κύματα· καὶ σώριασε ἀπὸ μέσα
κλαριὰ πολλά. Καὶ τοῦ ἔφερε σκουτιὰ ἡ θεὰ φασμένα
γιὰ τὰ πανιά, καὶ τά 'φτιαξε κι αὐτὰ ὁ Δυσσέας μὲ τέχνη.
Κατόπι σκότες ἔδεσε, καὶ ξάρτια καὶ μαντάρια,
καὶ μὲ λοστοὺς στὴ θάλασσα κατέβασε τὸ σάλι.
Ὅλα σὲ μέρες τέσσερις τά 'χε ἀποτελειωμένα.
Τὴν πέμπτη μέρα ἀπ' τὸ νησὶ ἡ θεὰ τὸν προβοδοῦσε·
τὸν ἔλουσε, τὸν ἔντυσε μὲ ροῦχα μυρισμένα,
τοῦ 'βαλε ἀσκὶ μαῦρο κρασί, νερὸ σὲ ἀσκὶ μεγάλο,
τοῦ γέμισε σακκὶ θροφὲς καὶ διαλεχτὰ προσφάγια,
καὶ πρύμο τοῦ 'στειλε ἁπαλὸ κι ἀπείραγο, ποὺ ὁ μέγας
Δυσσέας ἀναγαλλιάζοντας ἁπλώνει τὰ πανιά του.
Μὲ τὸ τιμόνι τεχνικὰ κυβέρναε καθισμένος,
κι ὁ ὕπνος δὲν κατέβαινε στὰ μάτια του ὅσο 'κοίτα
Πληιάδες καὶ ὀψὲ βασιλεύει ἡ Βοδοζεύγα καὶ

Βοώτην
 Ἄρκτον θ᾽, ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν,
 ἥ τ᾽ αὐτοῦ στρέφεται καί τ᾽ Ὠρίωνα δοκεύει,
οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο·
 τὴν γὰρ δή μιν ἄνωγε Καλυψώ, δῖα θεάων,
 ποντοπορευέμεναι ἐπ᾽ ἀριστερὰ χειρὸς ἔχοντα.
 ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων,
 ὀκτωκαιδεκάτῃ δ᾽ ἐφάνη ὄρεα σκιόεντα
γαίης Φαιήκων, ὅθι τ᾽ ἄγχιστον πέλεν αὐτῷ·
 εἴσατο δ᾽ ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέι πόντῳ.
τὸν δ᾽ ἐξ Αἰθιόπων ἀνιὼν κρείων ἐνοσίχθων
 τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
 πόντον ἐπιπλώων. ὁ δ᾽ ἐχώσατο κηρόθι μᾶλλον,
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·

"ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
 ἀμφ᾽ Ὀδυσῆι ἐμεῖο μετ᾽ Αἰθιόπεσσιν ἐόντος,
 καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
 ἐκφυγέειν μέγα πεῖραρ ὀιζύος, ἥ μιν ἱκάνει.

ἀλλ᾽ ἔτι μέν μίν φημι ἄδην ἐλάαν κακότητος."
ὣς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον
 χερσὶ τρίαιναν ἑλών· πάσας δ᾽ ὀρόθυνεν ἀέλλας

βασιλέψη,
 καῖ τὴν Ἀρκοὐδα, -- κι Ἅμαξα τὴ λέν, --
 ποὺ αὐτοῦ γυρίζει
 καὶ τὸν Ὠρίωνα τηράει, καὶ μόνη αὐτὴ
 ποτές της
στὰ πέλαγα δὲ λούζεται ἐκείνη τοῦ 'πε ἡ νύφη,
 νὰ τὴ φυλάη ἀπ' τὴ ζερβὴ μεριὰ σὰν ἀρμενίζη.
 Ἀρμένιζε ἔτσι δεκαφτὰ μερόνυχτα ὁ Δυσσέας,
 στὰ δεκοχτὼ φανήκανε τὰ ὄρη τὰ ἰσκιωμένα,
τῶ Φαιάκων, πού κοντύτερα στὸ δρόμο του βρισκόνταν,
 καὶ σὰν ἀσπίδα μὲς στ' ἀχνὰ φαντάζανε πελάγη.
 Ὡς τόσο ἀπ' τοὺς Αἰθίοπες κινάει ὁ Κοσμοσείστης.
 καὶ μακρινὰ ξανοίγει τον ἀπ' τῶ Σολύμων τὰ ὄρη,
 καὶ στ' ἀνοιχτὰ κοιτώντας τον, θυμὸς πολὺς τὸν πιάνει·
βαριοκουνάει τὴν κεφαλὴ καὶ λέει στὸ νοῦ του μέσα·
 "Γιὰ δὲς ποὺ οἱ θεοὶ βουλεύτηκαν ν' ἀποφασίσουν ἄλλα
 γιὰ τὸ Δυσσέα, σὰν ἔλειπα στῆς Αἰθιοπίας τὰ μέρη,
 καὶ νά τος ἄξαφνα τὴ γῆς ζυγώνει τῶ Φαιάκων,
 καῖ νᾶ ξεφύγη εἶναι γραφτὸ τὸ μαῦρο τέλος τώρα
 τῆς συφορᾶς ποὺ τοῦ 'πεσε. Μὰ κι ἄλλα ἀκόμα πάθια
θαρρῶ θὰ τοῦ κατέβουνε, γιὰ νὰ καλοχορτάση."
 Λέει, καὶ μαζώνει σύγνεφα καὶ θάλασσες ταράζει,
 κρατώντας τὸ τρικράνι του, καὶ κάθε ἀνέμου φούρια

παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.

σὺν δ᾽ Εὖρός τε Νότος τ᾽ ἔπεσον Ζέφυρός τε δυσαὴς
καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ ἄγρια φέρνει,
φίλον ἦτορ,
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται;

δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
ἥ μ᾽ ἔφατ᾽ ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἄλγε᾽ ἀναπλήσειν· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
οἵοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεύς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ᾽ ἄελλαι
παντοίων ἀνέμων. νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ᾽ ὄλοντο
Τροίῃ ἐν εὐρείῃ χάριν Ἀτρεΐδῃσι φέροντες.
ὡς δὴ ἐγώ γ᾽ ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
ἤματι τῷ ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέρριψαν περὶ Πηλεΐωνι θανόντι.
τῷ κ᾽ ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·
νῦν δέ λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
ὣς ἄρα μιν εἰπόντ᾽ ἔλασεν μέγα κῦμα

σηκώνει· γῆς καὶ πέλαγα μὲ σύγνεφα σκεπάζει,

καὶ νύχτα περιχύνεται ἀποπάνω ἀπ' τὰ οὐράνια.
Πέφτει ὁ Σορόκος κι ὁ Νοτιὰς κι ὁ δυνατὸς Πονέντης
κι ὁ αἰθερογέννητος Βοριὰς ποὺ κύματα φέρνει,
Κοπήκανε τὰ γόνατα κι ἡ ἀνάσα τοῦ Ὀδυσσέα,
καὶ πικραμένος ἔλεγε μὲς στὴν τρανὴ ψυχή του·
"Ἄλλοίς μου, τὸ φτωχό· καὶ τί θὰ μοῦ συβοῦνε ἀκόμα ;
Φοβᾶμαι πὼς ἀλάθευτα ἡ θεὰ μοῦ τά 'λεγε ὅλα,
σὰ μοῦ 'πε πὼς στὰ πέλαγα, πρὶ φτάσω στήν πατρίδα,
βάσανα θά 'χω περισσά, καὶ νά, ποὺ βγαίνουν ὅλα·
ὁ Δίας μὲ τὰ σύγνεφα τὰ οὐράνια στεφανώνει,
καὶ τάραξε τὶς θάλασσες, κι οἱ ἀνέμοι ἀποπαντοῦθε
φυσομανοῦνε· τώρα πιὰ σωστὴ ἡ καταστροφή μου.
Μακαρισμένοι οἱ Δαναοί, καὶ τρὶς μακαρισμένοι,
ποὺ τότες σκοτωθήκανε στὴν διάπλατη Τρωάδα,
γιὰ χάρη τῶν Ἀτρεόπουλων. Μακάρι τέτοιο τέλος
νὰ ἐρχότανέ μου τὸν καιρὸ ποὺ χάλκινα κοντάρια
οἱ Τρῶες μοῦ 'ριχταν κοντὰ στοῦ Ἀχιλλέα τὸ σῶμα,
Θὰ μ' ἔθαφταν οἱ Ἀχαιοὶ καὶ δόξα θὰ μοῦ βγάζαν·
μὰ τώρα θάνατο φριχτὸ νὰ πάθω εἶναι γραμμένο."
Εἶπε, κι ἀπάνω του ξεσπάει θεόρατο

κατ᾽ ἄκρης
δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξε.
τῆλε δ᾽ ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξεν
δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα,
τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
τὸν δ᾽ ἄρ᾽ ὑπόβρυχα θῆκε πολὺν χρόνον, οὐδ᾽ ἐδυνάσθη
αἶψα μάλ᾽ ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς·
εἵματα γάρ ῥ᾽ ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
ὀψὲ δὲ δή ῥ᾽ ἀνέδυ, στόματος δ᾽ ἐξέπτυσεν ἅλμην
πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
ἀλλ᾽ οὐδ᾽ ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
ἀλλὰ μεθορμηθεὶς ἐνὶ κύμασιν ἐλλάβετ᾽ αὐτῆς,
ἐν μέσσῃ δὲ καθῖζε τέλος θανάτοιο ἀλεείνων.
τὴν δ᾽ ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
ὡς δ᾽ ὅτ᾽ ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
ἅμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται,
ὣς τὴν ἅμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα·
ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
ἄλλοτε δ᾽ αὖτ᾽ Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,

ἕνα κῦμα,
μὲ τέτοια φόρα, ποὺ γυρνάει τὸ σάλι καὶ τραντάζει.
Πέφτει ὁ Δυσσέας ἄξαφνα κι αὐτὸς πέρ' ἀπ' τὸ σάλι,
καὶ τὸ τιμόνι ξεγλιστράει ἀπὸ τὰ δυό του χέρια·
ἀπὸ τὴ μέση τσάκισε κι ἔπεσε τὸ κατάρτι,
κι ὁ σίφουνας ὁ φοβερὸς ποὺ φύσα ἀποπαντοῦθε
τοῦ 'ριξε ἀντένα καὶ πανὶ μακριὰ μὲς στὰ πελάγη.
Πολληώρα τόνε κράταγε τὸ μέγα κῦμα κάτου,
τὶ τοῦ βαραίναν τὰ σκουτιά, τῆς Καλυψῶς τὰ δῶρα.
Καὶ σὰν ἀνέβηκε, πικρὴ τὸ στόμα του ἔφτυνε ἅρμη,
ποὺ γύρω του περέχυνε τὴν κεφαλὴ σὰ βρύση.
Ὅμως τὸ σάλι δὲν ξεχνάει κι ἂν τόσο τυραννιόταν,
μόνε ἀπ' τὸ κῦμα χούμιξε καὶ πιάστηκε ἀπὸ δαῦτο,
καὶ κάθισε στὴ μέση του, τὸ χάρο νὰ ξεφύγη.
Κι αὐτὸ κυλιόταν ἀπ' ἐδῶ κι ἐκεῖ στὸ κῦμα ἀπάνω.
Πῶς τὸ χινόπωρο ὁ Βοριᾶς τ' ἀγκάθια μὲς στοὺς κάμπους
μαζώνει, κι ὅλα δένουνται σωρὸς τό 'να μὲ τ' ἄλλο,
ὅμοια τὸ συνεπαίρνανε στὰ πέλαγα οἱ ἀνέμοι·
πότε ὁ Νοτιᾶς τὸ πέταγε ὁ Βοριὰς γιὰ νὰ τ' ἁρπάξη,
πότε ὁ Σορόκος τὸ πετάει παιχνίδι τοῦ Πονέντη.
Κι ἡ κόρη ἡ λευκαστράγαλη τοῦ Κάδμου Ἰνὼ τὸν εἶδε,
ἡ Λευκοθέα, ποὺ θνητῆς λαλιᾶ μιλοῦσε πρῶτα,

νῦν δ᾽ ἁλὸς ἐν πελάγεσσι θεῶν ἓξ ἔμμορε τιμῆς.
ἦ ῥ᾽ Ὀδυσῆ᾽ ἐλέησεν ἀλώμενον, ἄλγε᾽ ἔχοντα,
αἰθυίῃ δ᾽ ἐικυῖα ποτῇ ἀνεδύσετο λίμνης,
ἷζε δ᾽ ἐπὶ σχεδίης πολυδέσμου εἶπέ τε μῦθον·
"κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
ὠδύσατ᾽ ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
οὐ μὲν δή σε καταφθίσει μάλα περ μενεαίνων.
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
εἵματα ταῦτ᾽ ἀποδὺς σχεδίην ἀνέμοισι φέρεσθαι
κάλλιπ᾽, ἀτὰρ χείρεσσι νέων ἐπιμαίεο νόστου
γαίης Φαιήκων, ὅθι τοι μοῖρ᾽ ἐστὶν ἀλύξαι.
τῇ δέ, τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι
ἄμβροτον· οὐδέ τί τοι παθέειν δέος οὐδ᾽ ἀπολέσθαι.
αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
ἆψ ἀπολυσάμενος βαλέειν εἰς οἶνοπα πόντον
πολλὸν ἀπ᾽ ἠπείρου, αὐτὸς δ᾽ ἀπονόσφι τραπέσθαι."
ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
αὐτὴ δ᾽ ἆψ ἐς πόντον ἐδύσετο κυμαίνοντα
αἰθυίῃ ἐικυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤ μοι ἐγώ, μή τίς μοι ὑφαίνῃσιν

μὰ τώρα θεᾶς στὰ πέλαγα τιμὲς ἀπολαβαίνει·
καὶ τὸ Δυσσέα σπλαχνίστηκε ποὺ τυραννοπλανιόταν,
καὶ μ' ὄφιας πεταχτῆς μορφὴ κινάει ἀπὸ τὰ βάθια·
στὸ σάλι τὸ καλόδετο καθίζει καὶ τοῦ κρένει·
“Τί τόσο μῖσος σοῦ κρατάει μεγάλο ὁ Κοσμοσείστης,
κακόμοιρε, καὶ βάσανα περίσσια ὅλο σοῦ σπέρνει ;
Μὰ ὅσο κι ἂ χολιάζη αὐτός, δὲ σ' ἀφανίζει ἐσένα.
Μόν' ἔλα, κάμε ὅ,τι σοῦ πῶ, γιατὶ χαζὸς δὲ δείχνεις·
βγάλ' τὰ σκουτιά σου, κι ἄφησε τὸ σάλι στοὺς ἀνέμους,
καὶ μὲ τὰ χέρια πλέοντας, πολέμησε νὰ φτάσης
στοὺς Φαίακες, ποὺ 'ναι γραφτὸ νὰ βρῆς τὸ γλυτωμό σου.
Ζῶσε τὰ στήθια σου μ' αὐτὸ τ' ἀθάνατο μαγνάδι,
καὶ τότες φόβο ἀπὸ κακὸ κι ἀπὸ χαμὸ δὲν ἔχεις.
Ὅμως ἀπάνω στὴ στεριὰ τὰ χέρια σου ἄμ' ἀγγίξης,
ξεζώσου το καὶ πέτα το στὰ μελανὰ πελάγη,
ἀλάργα ἀπὸ τὴ γῆς πολύ, τὴν ὄψη ἀλλοῦ γυρνώντας.”
Αὐτὰ τοῦ μίλησε ἡ θεά, καὶ τοῦ 'δωσε μαγνάδι,
καὶ πάλε ξαναβούτηξε στὰ κύματα σὰν ὄφια,
καὶ τ' ἀφρισμένα τὰ νερὰ τὴ σκέπασαν ἀμέσως.
Ὡς τόσο ὁ πολυβάσανος Δυσσέας συλλογιέται,
καὶ λέει μὲ στεναγμὸ βαθὺ μὲς στὸν τρανὸ τὸ νοῦ του·
“Ἀλλοῖς, κι ἀνίσως πάλε θεὸς παγίδα

δόλον αὖτε
 ἀθανάτων, ὅ τέ με σχεδίης ἀποβῆναι ἀνώγει.
 ἀλλὰ μάλ᾽ οὔ πω πείσομ᾽, ἐπεὶ ἑκὰς ὀφθαλμοῖσιν
 γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι.
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
 ὄφρ᾽ ἂν μέν κεν δούρατ᾽ ἐν ἁρμονίῃσιν ἀρήρῃ,
 τόφρ᾽ αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
 αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
 νήξομ᾽, ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον."
ἦος ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
 ὦρσε δ᾽ ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
 δεινόν τ᾽ ἀργαλέον τε, κατηρεφές, ἤλασε δ᾽ αὐτόν.
 ὡς δ᾽ ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ
 καρφαλέων· τὰ μὲν ἄρ τε διεσκέδασ᾽ ἄλλυδις ἄλλῃ·
ὣς τῆς δούρατα μακρὰ διεσκέδασ᾽. αὐτὰρ Ὀδυσσεὺς
 ἀμφ᾽ ἑνὶ δούρατι βαῖνε, κέληθ᾽ ὡς ἵππον ἐλαύνων,
 εἵματα δ᾽ ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
 αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν,
 αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε, χεῖρε πετάσσας,
νηχέμεναι μεμαώς. ἴδε δὲ κρείων ἐνοσίχθων,
 κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
"οὕτω νῦν κακὰ πολλὰ παθὼν ἁλόω κατὰ πόντον,

μοῦ σκαρώνει,
 καὶ νὰ μὲ πείση πολεμάει τὸ σάλι μου ν' ἀφήσω·
 μὰ δὲ θὰ τὸν ἀκούσω ἐγώ· τὶ μὲ τὰ μάτια μου εἶδα
 μακριὰ τὴ γῆς ποὺ μοῦ 'λεγε πὼς θά 'βρω καταφύγιο.
Αὐτὸ θὰ κάμω, ποὺ θαρρῶ καλύτερό 'ναι ἀπ' ὅλα.
 Ὅσο τὰ ξύλα αὐτὰ μαζὶ δεμένα συγκρατιοῦνται,
 θὰ μείνω ἐδῶ καὶ θὰ βαστῶ μ' ἀπομονὴ στὰ πάθια·
 μὰ τ' ἄγρια ἂν πέσουν κύματα καὶ τὸ σκαρὶ μοῦ σπάσουν,
 τότες κολύμπι, κι ἄλλο πιὰ καλύτερο δὲ βρίσκω."
 Αὐτὰ καθὼς ἀνάδευε στὸ νοῦ καὶ στὴν ψυχή του,
 μεγάλο κῦμα σήκωσεν ὁ σείστης ὁ Ποσειδώνας,
 φριχτὸ κι ἀψηλοθόλωτο, ποὺ ἀπάνω του ξεσπάνει.
 Καὶ καθὼς σίφουνας σωρὸ ξεράχερα τινάζει
 καὶ τὰ σκορπάει ἐδῶ κι ἐκεῖ, παρόμοια σκορπιστῆκαν
καὶ τὰ δοκάρια τοῦ σκαριοῦ· καὶ τότες ὁ Ὀδυσσέας
 σὲ ξύλο καβαλλίκεψε σὰν ποὺ ἄλογο ἀνεβαίνουν,
 καὶ τὰ σκουτιὰ ξεγδύθηκε, τῆς Καλυψῶς τὰ δῶρα.
 Εὐτὺς γύρω στὰ στήθη του ζώνεται τὸ μαγνάδι,
 καὶ μπρουμυτώντας στὰ νερὰ τὰ χέρια του τεντώνει
νὰ κολυμπήση· κι ὁ τρανὸς τὸν εἶδε ὁ Κοσμοσείστης,
 καὶ σείνοντας τὴν κεφαλὴ στὸ νοῦ του μέσα κρένει·
 "Τώρα ποὺ τόσα τράβηξες, ἄμε στὰ πέλαα γύρνα,

εἰς ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγήῃς.
ἀλλ᾽ οὐδ᾽ ὡς σε ἔολπα ὀνόσσεσθαι κακότητος."
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους,
ἴκετο δ᾽ εἰς Αἰγάς, ὅθι οἱ κλυτὰ δώματ᾽ ἔασιν.
αὐτὰρ Ἀθηναίη κούρη Διὸς ἄλλ᾽ ἐνόησεν.
ἦ τοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους,
παύσασθαι δ᾽ ἐκέλευσε καὶ εὐνηθῆναι ἅπαντας·
ὦρσε δ᾽ ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ᾽ ἔαξεν,
ἦος ὃ Φαιήκεσσι φιληρέτμοισι μιγείη
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα κύματι πηγῷ
πλάζετο, πολλὰ δέ οἱ κραδίη προτιόσσετ᾽ ὄλεθρον.
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ᾽ Ἠώς,
καὶ τότ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
ἔπλετο νηνεμίη· ὁ δ᾽ ἄρα σχεδὸν εἴσιδε γαῖαν
ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
ὡς δ᾽ ὅτ᾽ ἂν ἀσπάσιος βίοτος παίδεσσι φανήῃ
πατρός, ὃς ἐν νούσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων,
δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
ἀσπάσιον δ᾽ ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν,
ὣς Ὀδυσεῖ ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη,
νῆχε δ᾽ ἐπειγόμενος ποσὶν ἠπείρου

ὥσπου μ' ἀνθρώπους διόθρεφτους νὰ σμίξῃς. Μὰ δὲ θά 'χῃς
θαρρῶ παράπονο πιὰ ἐσὺ πὼς συφορὲς δὲ σοῦ 'ρθαν."
Καὶ τὰ λαμπρότριχ' ἄλογα μαστίγωσε, καὶ φτάνει
ὡς τὶς Αἰγές, ποὺ τ' ὥριο του βρισκότανε παλάτι.
Καὶ τότες ἄλλο ἡ Ἀθηνᾶ, τοῦ Δία ἡ κόρη, βρῆκε.
Φράζει ἄξαφνα καὶ σταματάει κάθε ἄλλου ἀνέμου δρόμο,
καὶ τοὺς προστάζει νὰ σταθοῦν καὶ νὰ συχάσουν ὅλοι.
Καὶ σήκωσε γοργὸ Βοριὰ νὰ σπάση ὀμπρὸς τὸ κῦμα,
ὥσπου νὰ ρθῆ στοὺς Φαίακες, ποὺ τὸ κουπὶ ἀγαπᾶνε,
ξεφεύγοντας τὸ θάνατο ὁ θεόμορφος Δυσσέας.
Ἐκεῖ θαλασσοπάλευε δυὸ νύχτες καὶ δυὸ μέρες,
κι ἀνέπαυα καταστροφὴ προμάντευε ἡ ψυχή του.
Μὰ ἡ ὥρια Αὐγὴ σὰν ἔφερε τὸ φῶς τῆς τρίτης μέρας,
ἔπεσε τότες ὁ Βοριᾶς κι ἀπλώθηκε γαλήνη·
καὶ ρίχνοντας καλὴ ματιὰ βλέπει τὴ γῆς κοντά του,
καθὼς τὸν ἀνασήκωνε θεόρατο ἕνα κῦμα.
Κι ὅπως στὰ τέκνα φαίνεται γλυκειὰ ἡ ζωὴ γονιοῦ τους,
ποὺ ἀρρώστια μακρινὴ τὸν τρώει πολὺν καιρὸ στὴν κλίνη,
καὶ ποὺ σκληρὰ τὸν τυραννεῖ μὲ πόνους κακὴ μοῖρα,
μὰ οἱ θεοὶ ἀπ' τὰ βάσανα τὸν ἀκριβό τους σώνουν,
ἔτσι γλυκειὰ φαινότανε τῆς γῆς ἡ πρασινάδα
στὸν Ὀδυσσέα· καὶ πάσκιζε ὁλοένα

ἐπιβῆναι.
ἀλλ᾽ ὅτε τόσσον ἀπῆν ὅσσον τε γέγωνε βοήσας,
καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης·
ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
δεινὸν ἐρευγόμενον, εἴλυτο δὲ πάνθ᾽ ἁλὸς ἄχνῃ·
οὐ γὰρ ἔσαν λιμένες νηῶν ὄχοι, οὐδ᾽ ἐπιωγαί.

ἀλλ᾽ ἀκταὶ προβλῆτες ἔσαν σπιλάδες τε πάγοι τε·
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·

"ὤ μοι, ἐπεὶ δὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα,
ἔκβασις οὔ πῃ φαίνεθ᾽ ἁλὸς πολιοῖο θύραζε·
ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
βέβρυχεν ῥόθιον, λισσὴ δ᾽ ἀναδέδρομε πέτρη,
ἀγχιβαθὴς δὲ θάλασσα, καὶ οὔ πως ἔστι πόδεσσι
στήμεναι ἀμφοτέροισι καὶ ἐκφυγέειν κακότητα·
μή πώς μ᾽ ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ
κῦμα μέγ᾽ ἁρπάξαν· μελέη δέ μοι ἔσσεται ὁρμή.
εἰ δέ κ᾽ ἔτι προτέρω παρανήξομαι, ἤν που ἐφεύρω
ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης,
δείδω μή μ᾽ ἐξαῦτις ἀναρπάξασα θύελλα

κολυμπώντας
νὰ στήση πόδι ἀπὰς στὴ γῆς. Καὶ πιὸ κοντὰ σὰν ἦταν,
ὅσο νὰ φτάση φωνητό, τότε ἄκουγε τὸ χτύπο
τῆς θάλασσας ποὺ δέρνουνταν στὰ βράχια καταπάνω·
γιατὶ βογκοῦσε στὶς στεριὲς τὸ γιγαντένιο κῦμα,
ξεσπάνοντας τρομαχτικὰ κι ἀφροὺς παντοῦ σκορπώντας
τὶ μήτε ἀράγματα εἶχε ἐκεῖ, μήτε λιμιῶνες εἶχε,
μόνε ἀκρωτήρια δοντωτά, καὶ βράχους καὶ λιθάρια.
Καῖ τοῦ Ὀδυσσέα κόπηκαν τὰ γόνατα κι ἡ ἀνάσα,
καὶ πικραμένος ἔλεγε μὲς στὸν ἀντρίκιο νοῦ του·

“Ἀλλοίς μου, τώρα ποὺ τὴ γῆς νὰ δῶ βουλήθη ὁ Δίας
ἀνόλπιστα, καὶ ποὺ ἔφτασα νὰ σκίσω τόσα βάθια,
νὰ μὴν τυχαίνη πέρασμα ἀπ' τὴ θάλασσα γιὰ νά 'βγω,
μόνε ὅλο βράχια κοφτερά, καὶ γύρω τους τὸ κῦμα
βροντάει, καὶ πέτρα γλιστερὴ ἀποπάνωθε ὀρθοστέκει·
βαθιὰ καὶ τὰ νερὰ κοντά, καὶ πάτημα δὲ βρίσκω,
γιᾶ νᾶ σταθῶ κι ἀπὸ κακὴ νὰ ξεγλυτώσω μοῖρα.
Κι ἂν κάνω νά 'βγω, φοβερὸ μπορεῖ νὰ μοῦ 'ρθη κῦμα,
καὶ νὰ μὲ ρίξη σύγκορμο στὰ κοφτερὰ λιθάρια,
καὶ πάει τοῦ κάκου ὁ ἀγώνας μου. Μὰ ἂν πάλε κολυμπήσω
παρέκει τὸ γιαλὸ γιαλό, τάχα νὰ βρῶ κρυμμένες
ἀπόμερες ἀκρογιαλιὲς καὶ θαλασσένιους κόρφους,

πόντον ἐπ᾽ ἰχθυόεντα φέρῃ βαρέα στενάχοντα,
ἠέ τί μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων
ἐξ ἁλός, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
οἶδα γάρ, ὥς μοι ὀδώδυσται κλυτὸς ἐννοσίγαιος."
ἦος ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δέ μιν μέγα κῦμα φέρε τρηχεῖαν ἐπ᾽ ἀκτήν.
ἔνθα κ᾽ ἀπὸ ῥινοὺς δρύφθη, σὺν δ᾽ ὀστέ᾽ ἀράχθη,
εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεά, γλαυκῶπις Ἀθήνη·
ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
τῆς ἔχετο στενάχων, ἦος μέγα κῦμα παρῆλθε.
καὶ τὸ μὲν ὣς ὑπάλυξε, παλιρρόθιον δέ μιν αὖτις
πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
ὡς δ᾽ ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο
πρὸς κοτυληδονόφιν πυκιναὶ λάιγγες ἔχονται,
ὡς τοῦ πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν
ῥινοὶ ἀπέδρυφθεν· τὸν δὲ μέγα κῦμα κάλυψεν.
ἔνθα κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετ᾽ Ὀδυσσεύς,
εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη.
κύματος ἐξαναδύς, τά τ᾽ ἐρεύγεται ἤπειρόνδε,
νῆχε παρέξ, ἐς γαῖαν ὁρώμενος, εἴ που ἐφεύροι

ποιός ξέρει ἂ δὲ μ' ἅρπάξουνε καὶ πάλε ἀνεμοζάλες,
καὶ στὰ ψαράτα πέλαγα μὲ σύρουν, κι ἂς στενάζω.
Ἤ ἂ δὲ μοῦ στείλη φοβερὴ θεριὸ θεὸς κανένας,
ἀπ' ὅσα θρέφει στὰ βαθιὰ ἡ ξακουστὴ Ἀμφιτρίτη·
τὶ ξέρω πὼς μ' ἀντιπαθάει τῆς γῆς ὁ μέγας σείστης."
Αὐτὰ καθὼς ἀνάδευε στὸ νοῦ καὶ στὴν ψυχή του,
κῦμα τρανὸ τὸν πέταξε στὸ πετρωτὸ ἀκρογιάλι,
καὶ θὰ γδερνόταν, κι ὅλα του τὰ κόκκαλα θὰ σπάναν,
ἂ δὲν τοῦ φώτιζε τὸ νοῦ ἡ θεὰ ἡ γαλανομάτα.
Μὲ τὰ δυὸ χέρια ἀδράχνοντας τὴν πέτρα, ἐκεῖ κρατιόταν,
καὶ βόγκαε ὥσπου πέρασε τὸ φοβερὸ τὸ κῦμα,
Ἔτσι τὸ ξέφυγε, μὰ αὐτὸ κυλώντας ξαναπίσω,
τόνε χτυπάει, καὶ πιὸ μακριὰ στὰ πέλαα τὸν τινάζει,
Πῶς μέσ' ἀπ' τὸ θαλάμι του χταπόδι σὰν τραβιέται,
πολλὰ πετράδια στὰ βυζιὰ τῶν πλοκαμιῶν κολνᾶνε,
ἔτσι ἔμειναν τὰ γδάρματα στὶς πέτρες κολλημένα
ἀπὸ τ' ἀντρίκια χέρια του· καὶ τόνε σκέπασε ὅλο
τὸ μέγα κῦμα. Κι ἐκειδά, πρὶ νά 'ρθη τὸ γραφτό του,
θ' ἀφανιζότανε μεμιὰς ὁ δόλιος Ὀδυσσέας,
ἂ δὲν τὸν καθοδήγευε ἡ θεὰ ἡ γαλανομάτα.
Μέσ' ἀπὸ κῦμα ποὺ μὲ βουὴ πρὸς τὴ στεριὰ κυλιοῦνταν
προβάλλοντας, κολύμπαε μπρός, τὴ γῆς κοιτώντας, ἴσως

ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης.
ἀλλ᾽ ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
ἶξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος,
λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο,
ἔγνω δὲ προρέοντα καὶ εὔξατο ὃν κατὰ θυμόν·

καὶ βρῆ ἀκρογιάλι ἀπόμερο καὶ κόρφο θαλασσένιο.
Μὰ σὲ ὥριου στόμα ποταμοῦ σὰν ἦρθε κολυμπώντας,
λαμπρὸς ἐκεῖ τοῦ φάνηκε κι ἀπάνεμος ὁ τόπος,
μὲ δίχως πέτρες. Τό ' νιωσε τὸ ρέμα ποὺ κυλοῦσε,
κι ἀμέσως προσευκήθηκε μὲς στὴν ψυχὴ του κι εἶπε·

"κλῦθι, ἄναξ, ὅτις ἐσσί· πολύλλιστον δέ σ᾽ ἱκάνω,
φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἐνιπάς.
αἰδοῖος μέν τ᾽ ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν
ἀνδρῶν ὅς τις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
σόν τε ῥόον σά τε γούναθ᾽ ἱκάνω πολλὰ μογήσας.

ἀλλ᾽ ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι."
ὣς φάθ᾽, ὁ δ᾽ αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα,
πρόσθε δέ οἱ ποίησε γαλήνην, τὸν δ᾽ ἐσάωσεν
ἐς ποταμοῦ προχοάς. ὁ δ᾽ ἄρ᾽ ἄμφω γούνατ᾽ ἔκαμψε
χεῖράς τε στιβαράς. ἁλὶ γὰρ δέδμητο φίλον κῆρ.
ᾠδεε δὲ χρόα πάντα, θάλασσα δὲ κήκιε πολλὴ
ἂν στόμα τε ῥῖνάς θ᾽· ὁ δ᾽ ἄρ᾽ ἄπνευστος καὶ ἄναυδος
κεῖτ᾽ ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἴκανεν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο.
καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα

Σπλαχνίσου με, καὶ ἱκέτης σου παινιέμαι, βασιλιά μου."
Κι αὐτὸς τὸ ρέμα κόβει εὐτὺς, καὶ σταματάει τὸ κῦμα,
κι ἁπλώνει ὀμπρός του σιγαλιά, καὶ τόνε σώζει στὸ ἔβγα
τοῦ ποταμοῦ· καὶ λύγισε ὁ Δυσσέας τὰ γόνατά του,
καὶ τ' ἀντρειωμένα χέρια του, κομμένος ἀπ' τὸ κῦμα.
Εἶχε πρησμένο τὸ κορμί, κι ἀνάβρυζαν οἱ ἄρμες
στὸ στόμα, στὰ ρουθούνια του· χωρὶς μιλιὰ κι ἀνάσα
καὶ ναρκωμένος κοίτουνταν ἀπ' τὸν πολὺ τὸν κόπο.
Μὰ πάλε σὰν ξανάσανε καὶ συμμαζώχτη ὁ νοῦς του,
ξέλυσε ἀμέσως τῆς θεᾶς τὸ μαγικὸ μαγνάδι,
καὶ μέσα στ' ἁρμυρὰ νερὰ τοῦ ποταμοῦ τ'

μεθῆκεν,
ἂψ δ᾽ ἔφερεν μέγα κῦμα κατὰ ῥόον, αἶψα δ᾽ ἄρ᾽ Ἰνὼ
δέξατο χερσὶ φίλῃσιν· ὁ δ᾽ ἐκ ποταμοῖο λιασθεὶς
σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν.
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·

"ὤ μοι ἐγώ, τί πάθω; τί νύ μοι μήκιστα γένηται;
εἰ μέν κ᾽ ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάσσω,
μή μ᾽ ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση
ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυμόν·
αὔρη δ᾽ ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.
εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην
θάμνοις ἐν πυκινοῖσι καταδράθω, εἴ με μεθείη
ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
δείδω, μὴ θήρεσσιν ἔλωρ καὶ κύρμα γένωμαι."
ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
βῆ ῥ᾽ ἴμεν εἰς ὕλην· τὴν δὲ σχεδὸν ὕδατος εὗρεν
ἐν περιφαινομένῳ· δοιοὺς δ᾽ ἄρ᾽ ὑπήλυθε θάμνους,
ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ᾽ ἐλαίης.
τοὺς μὲν ἄρ᾽ οὔτ᾽ ἀνέμων διάη μένος ὑγρὸν ἀέντων,
οὔτε ποτ᾽ ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
οὔτ᾽ ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνοὶ

ἀφῆκε.
Κῦμα μεγάλο τό 'συρε στῆς θάλασσας τὸ ρέμα,
κι ἡ θεὰ ᾽Ινὼ τὸ δέχτηκε γοργὰ στὰ δυό της χέρια·
τότες αὐτὸς ἀφήνει πιὰ τὸν ποταμό, καὶ πέφτει
πάνω στὰ βοῦρλα, καὶ ,φιλάει τὴ γῆς τὴν καρποδότρα,
καὶ μὲ βαρειά 'λεγε ψυχὴ μὲς στὸν ἀντρίκιο νοῦ του·
"Ἀλλοίς μου, τί θὰ πάθω ἐδῶ, καὶ ποῦ θὰ καταντήσω ;
Τὴ νύχτα τὴν ἀνήσυχη στὸν ποταμὸ ἂν περάσω,
ἡ κακὴ πάχνη κι ἡ ψιλὴ δροσιὰ μπορεῖ νὰ σβήσουν
ὁλότελα τὸ πνέμα μου τ' ἀχνὸ καὶ θολωμένο,
τὶ ἀγέρι τὴν αὐγὴ ψυχρὸ φυσάει ἀπ' τὸ ποτάμι.
Στὴ ράχη πάλε ἂν ἀνεβῶ, καὶ στοῦ δασιοῦ τοὺς ἴσκιους,
καῖ μέσα στὰ πυκνὰ δεντριὰ ἂν πλαγιάσω, νὰ ξεκάμω
τὸ σύγκρυο καὶ τὴν κούραση, κι ὕπνος γλυκὸς μὲ πάρη,
θεριὰ φοβᾶμαι μὴ μὲ βροῦν καὶ θῦμα τους μὲ κάμουν."
Καὶ αὐτὸ νὰ κάνη φάνηκε στὸ νοῦ του πιὸ συφέρο·
σὲ δάσο γυροθώρητο ποὺ ηὗρε σιμὰ στὸ ρέμα,
μπῆκε καὶ χώθηκε σὲ δυὸ χαμόδεντρ' ἀποκάτω,
ποὺ ἀπὸ μιὰ ρίζα βγαίνανε· ἐλιά 'τανε κι ἀγρίλι.
Μήτ' οἱ ἀνέμοι οἱ σύνυγροι ἐκεῖ πέρα ἀγριοφυσοῦσαν,
μήτε τοῦ ἥλιου οἱ φωτερὲς ἀχτίδες κατεβαῖναν,
μήτε βροχὴ τὰ πέρναγε· τόσο πυκνὰ πλεγμένα

ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· οὔς ὑπ᾽ Ὀδυσσεὺς
δύσετ᾽. ἄφαρ δ᾽ εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
ὅσσον τ᾽ ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι
ὥρῃ χειμερίῃ, εἰ καὶ μάλα περ χαλεπαίνοι.
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς,
ἐν δ᾽ ἄρα μέσσῃ λέκτο, χύσιν δ᾽ ἐπεχεύατο φύλλων.
ὡς δ᾽ ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
ἀγροῦ ἐπ᾽ ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,
σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι,
ὡς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ᾽ ἄρ᾽ Ἀθήνη
ὕπνον ἐπ᾽ ὄμμασι χεῦ᾽, ἵνα μιν παύσειε τάχιστα
δυσπονέος καμάτοιο φίλα βλέφαρ᾽ ἀμφικαλύψας.

τό 'να μὲ τ' ἄλλο βρίσκουνταν· ἐκεῖ ὁ Δυσσέας τραβήχτη,
καὶ μὲ τὰ χέρια στοίβαξε μεμιὰς μεγάλη στρώση·
γιατ' εἶχε φύλλα περισσὰ τριγύρω σκορπισμένα,
ποὺ σώνανε καὶ δυὸ καὶ τρεῖς νομάτους νὰ σκεπάσουν,
μὰ καὶ χειμώνας νά 'τανε μὲ κρύο σὰ φαρμάκι.
Τὰ εἶδε ὁ ἄντρας ὁ πολύπαθος, καὶ χάρηκε ἡ ψυχή του,
καὶ πλάγιασε στὴ μέση τους, κι ἔρριξε φύλλα πλῆθος
ἀπάνω του. Σὰν ποὺ δαυλὸ στὴ μαύρη στάχτη κρύβεις,
μὲς σ' ἐξοχὴ παράμερη, ποὺ λείπουνε γειτόνοι,
καὶ σώζεις σπόρο τῆς φωτιᾶς, μὴν ἀπ' ἀλλοῦθε ἀνάψης,
ἔτσι ὁ Δυσσέας σκεπάστηκε μὲ φύλλα· κι ἡ Παλλάδα
ὕπνο στὰ μάτια τοῦ 'σταξε γιὰ νὰ τὸν ἀλαφρώση
ἀπ' τὴ βαρειὰ τὴν κούραση, τὰ βλέφαρα του κλειώντας.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ζ

Ὀδυσσέως ἄφιξις εἰς Φαιάκας.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς
ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη
βῆ ῥ᾽ ἐς Φαιήκων ἀνδρῶν δῆμόν τε πόλιν τε,
οἳ πρὶν μέν ποτ᾽ ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
ἀγχοῦ Κυκλώπων ἀνδρῶν

Ἐκεῖ ὁ πολυβασάνιστος, ὁ μέγας Ὀδυσσέας
κοιμόταν ἀπὸ κούραση κι ἀγρύπνια ἀφανισμένος.
Κι ἡ Ἀθηνᾶ ξεκίνησε στὴ χώρα τῶ Φαιάκων,
ποὺ πρῶτα στὴν ἁπλόχωρη Ὑπέρεια κατοικοῦσαν,
παράδιπλα στοὺς Κύκλωπες, ἀνθρώπους

ὑπερηνορεόντων,
οἵ σφεας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδής,
εἶσεν δὲ Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων,
ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει, καὶ ἐδείματο οἴκους,
καὶ νηοὺς ποίησε θεῶν, καὶ ἐδάσσατ᾽ ἀρούρας.
ἀλλ᾽ ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἀϊδόσδε βεβήκει,
Ἀλκίνοος δὲ τότ᾽ ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
τοῦ μὲν ἔβη πρὸς δῶμα θεά, γλαυκῶπις Ἀθήνη,
νόστον Ὀδυσσῆι μεγαλήτορι μητιόωσα.
βῆ δ᾽ ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη
κοιμᾶτ᾽ ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
πὰρ δὲ δύ᾽ ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
σταθμοῖιν ἑκάτερθε· θύραι δ᾽ ἐπέκειντο φαειναί.
ἡ δ᾽ ἀνέμου ὡς πνοιὴ ἐπέσσυτο δέμνια κούρης,
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
ἥ οἱ ὁμηλικίη μὲν ἔην, κεχάριστο δὲ θυμῷ.
τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη·
"Ναυσικάα, τί νύ σ᾽ ὧδε μεθήμονα γείνατο μήτηρ;
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,

ἀλαζόνες,
ποὺ ὄντας περίσσια δυνατοὶ πολλὰ κακὰ τοὺς φτιάναν.
Κι ὁ θεόμορφος Ναυσίθοος τοὺς πῆρε στὴ Σκερία,
κι ἀπὸ ἄντρες σιταρόθρεφτους μακριὰ συμμάζωξέ τους,
σὲ πόλη τοὺς τοιχόκλεισε, τοὺς ἔχτισ' ἐκεῖ σπίτια,
τοὺς ἔστησε ναοὺς θεῶν, καὶ μοίρασε τὴ γῆς τους.
Καὶ σὰν τὸν πῆρε ὁ θάνατος στὸν Ἅδη, τότ' ὁ Ἀλκίνος
βασίλεψε, ποὺ ἡ γνώμη του θεοκατέβαστη ἦταν.
Σ' ἐκείνου ἦρθε τὰ μέγαρα ἡ θεὰ ἡ γαλανομάτα,
τὸ γυρισμὸ τοῦ ἀντρόψυχου Ὀδυσσέα μελετώντας.
Καὶ μπῆκε μὲς στὸ θάλαμο τὸ λαμπροδουλεμένο,
ποὺ κόρη μὲ ὄψη κι ὁμορφιὰ θεόμοιαστη κοιμόταν,
ἡ Ναυσικᾶ, τοῦ ἀντρόψυχου τοῦ Ἀλκίνου ἡ θυγατέρα.
Σιμά 'τανε δυὸ κοπελιὲς χαριτοστολισμένες,
στὰ πλάγια θύρας σφανταχτῆς μὲ τὰ κλεισμένα φύλλα.
Σὰν ἀγεράκι χύθηκε στὴν κλίνη τῆς παρθένας,
καὶ στάθηκε ἀποπάνω της καὶ μίλησέ της κι εἶπε,
τῆς θυγατέρας μοιάζοντας τοῦ θαλασσακουσμένου
τοῦ Δύμαντα, ποὺ ὁμήλικη τὴν εἶχε κι ἀκριβή της.
Μ' αὐτῆς τήν ὄψη μίλησε ἡ θεὰ ἡ γαλανομάτα·
"Ὀκνὴ μαθές, ὦ Ναυσικᾶ, σὲ γέννησε ἡ μανούλα,
καὶ κάθουνται ἀσυγύριστα τὰ λαμπερά σου ροῦχα.

σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἔννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κέ σ᾽ ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ᾽ ἴομεν πλυνέουσαι ἅμ᾽ ἠοῖ φαινομένηφι·
καί τοι ἐγὼ συνέριθος ἅμ᾽ ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῇ.
ἀλλ᾽ ἄγ᾽ ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ
ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσι
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα.
καὶ δὲ σοὶ ὧδ᾽ αὐτῇ πολὺ κάλλιον ἠὲ πόδεσσιν
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος."
ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ᾽, ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
ἔμμεναι. οὔτ᾽ ἀνέμοισι τινάσσεται οὔτε ποτ᾽ ὄμβρῳ
δεύεται οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ᾽ αἴθρη
πέπταται ἀνέφελος, λευκὴ δ᾽ ἐπιδέδρομεν αἴγλη·
τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα.
ἔνθ᾽ ἀπέβη γλαυκῶπις, ἐπεὶ διεπέφραδε κούρῃ.
αὐτίκα δ᾽ Ἠὼς ἦλθεν ἐύθρονος, ἥ μιν

Μὰ ἀγγίζει ὁ γάμος, ποὺ ὄμορφα κι ἐσὺ νὰ βάλης πρέπει,
νὰ δώσης γιὰ νὰ βάλουνε κι ἐκεῖνοι ποὺ σὲ πάρουν.
Αὐτὰ δὰ φέρνουν ὄνομα καλὸ στὸν κόσμο μέσα,
ποὺ κι ὁ γονιὸς τὰ χαίρεται κι ἡ βλογημένη ἡ μάνα.
Μόν' πᾶμε πιὰ νὰ πλύνουμε ἡ αὐγὴ καθὼς χαράξη.
Θά 'ρθω κι ἐγὼ νὰ δώσω σου βοήθεια, νὰ προφτάξης
νὰ τοιμαστῆς, γιατὶ πολὺ δὲ μνήσκεις πιὰ παρθένα,
παρ' ἀπὸ τώρα οἱ διαλεχτοὶ τῆς χώρας τῶ Φαιάκων
γυρεύουνέ σε, ποὺ κι ἐσὺ μ' αὐτοὺς μαζὶ μετριέσαι.
Μόνε ἔλα, βάλ' τὸ δοξαστὸ γονιό σου τὴν αὐγούλα,
τὰ ζὰ νὰ παραγγείλη αὐτός, κι ἀμάξι ποὺ νὰ πάρη
τὶς ζῶνες, τὰ φορέματα καὶ τὰ λαμπρὰ τὰ χράμια.
Κάλλιο κι ἐσὺ μ' αὐτὰ νὰ πᾶς, παρὰ νὰ περπατήξης,
τὶ βρίσκουνται τὰ πλυσταριὰ πολὺ μακριὰ ἀπ' τὴ χώρα."
Αὐτὰ σὰν εἶπε, μίσεψε ἡ θεὰ ἡ γαλανομάτα
στὸν Ὄλυμπο, ποὺ τῶν θεῶν εἶναι καθέδρα στέρια,
τὶ μήτε ἄνεμοι τὴ φυσοῦν, μήτε βροχὴ τὴ δέρνει,
καὶ μήτε χιόνι ἀγγίζει την, παρὰ καθάριο ἀγέρι
ἁπλώνεται ἀσυννέφιαστο, καὶ φῶς λευκὸ τὴ λούζει·
κεῖ μέσα αἰώνια χαίρουνται οἱ ἀθάνατοι.
Ἐκεῖ πῆγε
τῆς κόρης σάνε μίλησε ἡ θεὰ ἡ γαλανομάτα.
Κι ἦρθε ἡ Αὐγὴ ἡ καλόθρονη καὶ σήκωσ'

ἔγειρε
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ᾽ ἀπεθαύμασ᾽ ὄνειρον,

βῆ δ᾽ ἰέναι διὰ δώμαθ᾽, ἵν᾽ ἀγγείλειε τοκεῦσιν,
πατρὶ φίλῳ καὶ μητρί· κιχήσατο δ᾽ ἔνδον ἐόντας·
ἡ μὲν ἐπ᾽ ἐσχάρῃ ἧστο σὺν ἀμφιπόλοισι γυναιξὶν
ἠλάκατα στρωφῶσ᾽ ἁλιπόρφυρα· τῷ δὲ θύραζε
ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας
ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.
ἡ δὲ μάλ᾽ ἄγχι στᾶσα φίλον πατέρα προσέειπε·
"πάππα φίλ᾽, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν ἐύκυκλον, ἵνα κλυτὰ εἵματ᾽ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντα.
βουλὰς βουλεύειν καθαρὰ χροΐ εἵματ᾽ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ᾽ ὀπυίοντες, τρεῖς δ᾽ ἠίθεοι θαλέθοντες·
οἱ δ᾽ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ᾽ ἔχοντες
ἐς χορὸν ἔρχεσθαι· τὰ δ᾽ ἐμῇ φρενὶ πάντα μέμηλεν."
ὣς ἔφατ᾽· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
πατρὶ φίλῳ. ὁ δὲ πάντα νόει καὶ ἀμείβετο μύθῳ·
"οὔτε τοι ἡμιόνων φθονέω, τέκος, οὔτε τευ ἄλλου.

ἀπ' τὴν κλίνη
τὴ λαμπροφόρα Ναυσικᾶ, ποὺ τ' ὄνειρο θυμόταν,
καὶ θάμαζε. Καὶ κίνησε μὲς στὰ παλάτια ἀμέσως
νὰ τὸ μηνύση τοῦ ἀκριβοῦ γονιοῦ της καὶ τῆς μάνας,
Βρῆκε τὴ μάνα στὴ γωνιὰ σιμὰ στὶς παρακόρες,
κι ἔκλωθε νῆμα πορφυρί· τὸν κύρη εἶδε παρόξω,
στοὺς βασιλέους σὰν πήγαινε τοὺς δοξαστούς, ποὺ κάναν
βουλή, καὶ τὸν καλούσανε οἱ Φαίακες οἱ λεβέντες.

Καὶ στάθηκε στὸν ἀκριβὸ γονιὸ κοντὰ καὶ τοῦ 'πε·

"Καλέ μου κύρη, ἔν' ἁψηλὸ δὲ θὰ μοῦ βρῆς ἁμάξι
μ' ὄμορφες ρόδες, τὰ λαμπρὰ φορέματα νὰ πάρω,
ποὺ λερωμένα κοίτουνται, στὸ ρέμα νὰ τὰ πλύνω;
Ἐσένα τοῦ ἴδιου πρέπει σου, σὰν πρῶτος τῶν μεγάλων,
μὲς στὶς βουλὲς νὰ κάθεσαι μὲ ροῦχα ὁλοκαθάρια.
Ἔχεις καὶ πέντε καλογιοὺς μαζί σου στὸ παλάτι,
δυὸ παντρεμένους, κι ἄλλους τρεῖς, τῆς ὥρας παλληκάρια,
ποὺ πάντα θένε νιόπλυτα γιὰ τοὺς χοροὺς ποὺ πᾶνε·
ἐγὼ ὅλα αὐτὰ τὰ νοιάζουμαι καὶ τὰ γυρνῶ στὸ νοῦ μου."
Εἶπε τοῦ κύρη· ντράπηκε νὰ ξεστομίση λόγο
γιὰ γλυκὸ γάμο· ὅμως αὐτὸς τὴ νιώθει καὶ τῆς κρένει·
"Καὶ τὰ μουλάρια μου ἔπαρε, κι ὅ,τι ἄλλο θές, παιδί μου,

ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
ὑψηλὴν ἐύκυκλον, ὑπερτερίη ἀραρυῖαν."
ὣς εἰπὼν δμώεσσιν ἐκέκλετο, τοὶ δ' ἐπίθοντο.
οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν ἐύτροχον ἡμιονείην
ὥπλεον, ἡμιόνους θ' ὕπαγον ζεῦξάν θ' ὑπ' ἀπήνῃ·
κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν.
καὶ τὴν μὲν κατέθηκεν ἐυξέστῳ ἐπ' ἀπήνῃ,
μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδὴν
παντοίην, ἐν δ' ὄψα τίθει, ἐν δ' οἶνον ἔχευεν
ἀσκῷ ἐν αἰγείῳ· κούρη δ' ἐπεβήσετ' ἀπήνης.
δῶκεν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
ἦος χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
ἡ δ' ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
μάστιξεν δ' ἐλάαν· καναχὴ δ' ἦν ἡμιόνοιιν.
αἱ δ' ἄμοτον τανύοντο, φέρον δ' ἐσθῆτα καὶ αὐτήν,
οὐκ οἶην, ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
αἱ δ' ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ' ἵκοντο,
ἔνθ' ἦ τοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ' ὕδωρ
καλὸν ὑπεκπρόρεεν μάλα περ ῥυπόωντα καθῆραι,
ἔνθ' αἵ γ' ἡμιόνους μὲν ὑπεκπροέλυσαν ἀπήνης.
καὶ τὰς μὲν σεῦαν ποταμὸν πάρα δινήεντα
τρώγειν ἄγρωστιν μελιηδέα· ταὶ δ' ἀπ' τὴν ἀγριάδα τὴ γλυκειά. Σηκῶσαν ἀπ' τ'

καὶ σύρε· ἀμάξι οἱ παραγιοὶ θὰ σοῦ ἀρματώσουν τώρα,
μ' ὄμορφες ρόδες, ἀψηλό, καὶ μὲ κασόνι ἀπάνω."
Αὐτὰ σὰν εἶπε, πρόσταξε τοὺς παραγιούς, ποὺ ἀκοῦσαν,
κι ἀμάξι τοῦ ἀρματώσανε μὲ τὶς καλὲς τὶς ρόδες,
καὶ τὰ μουλάρια στὸ ζυγὸ τὰ βάλανε καὶ ζέψαν.
Φέρνει ἀπομέσα ἡ κορασιὰ τ' ἀστραφτερὰ τὰ ροῦχα,
κι ἀπὰς στὸ καλοτόρνευτο τ' ἀμάξι τὰ φορτώνει·
τῆς βάζει ἡ μάνα λιμπιστὸ φαγὶ μὲς σὲ κανίστρι,
λογῆς λιγούδια, καὶ κρασὶ μέσα σ' ἀσκὶ τραγῆσο,
Τότες ἡ κόρη ἀνέβηκε στ' ἀμάξι, κι ἡ μανούλα
ὡς καὶ ροῖ τῆς ἔδωσε χρυσό, γεμάτο λάδι,
μὲ τὶς κοπέλες της μαζὶ ν' ἀλείψη τὸ κορμί της,
Καὶ παίρνει τὸ μαστίγι αὐτὴ καὶ τὰ λουριὰ τὰ ὡραῖα,
δίνει βιτσιὰ τῶν μουλαριῶν καὶ ξεκινοῦν μὲ κρότο,
κι ὅλο τραβᾶνε φέρνοντας τὰ ροῦχα καὶ τὴν κόρη,
οἱ κοπελιὲς περπάταγαν κατόπι.
Καὶ φτάσανε στοῦ ποταμιοῦ τὸ ρέμα τὸ πανώριο,
βρῆκαν ἀστείρευτα νερὰ γιὰ πλύση, ποὺ ἀναβρύζαν
λαμπρὰ, καὶ ποὺ τὰ πιὸ λερὰ σκουτιὰ θὰ καθαρίζαν·
καὶ τὰ μουλάρια ξέζεψαν καὶ ξέλυσαν ἐκεῖνες
σιμὰ στὸ χόχλιο ποταμό, νὰ βόσκουν καὶ νὰ τρῶνε

ἀπήνης
 εἵματα χερσὶν ἕλοντο καὶ ἐσφόρεον μέλαν ὕδωρ,
 στεῖβον δ᾽ ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
 αὐτὰρ ἐπεὶ πλῦνάν τε κάθηράν τε ῥύπα πάντα,
 ἑξείης πέτασαν παρὰ θῖν᾽ ἁλός, ἦχι μάλιστα
λάιγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
 αἱ δὲ λοεσσάμεναι καὶ χρισάμεναι λίπ᾽ ἐλαίῳ
 δεῖπνον ἔπειθ᾽ εἵλοντο παρ᾽ ὄχθῃσιν ποταμοῖο,
 εἵματα δ᾽ ἠελίοιο μένον τερσήμεναι αὐγῇ.
 αὐτὰρ ἐπεὶ σίτου τάρφθεν δμῳαί τε καὶ αὐτή,
σφαίρῃ ταὶ δ᾽ ἄρ᾽ ἔπαιζον, ἀπὸ κρήδεμνα βαλοῦσαι·
 τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς.
 οἵη δ᾽ Ἄρτεμις εἶσι κατ᾽ οὔρεα ἰοχέαιρα,
 ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον,
 τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι·
τῇ δέ θ᾽ ἅμα νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο,
 ἀγρονόμοι παίζουσι, γέγηθε δέ τε φρένα Λητώ·
 πασάων δ᾽ ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,
 ῥεῖά τ᾽ ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι·
 ὣς ἥ γ᾽ ἀμφιπόλοισι μετέπρεπε παρθένος ἁδμής.
ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλε πάλιν οἶκόνδε νέεσθαι
 ζεύξασ᾽ ἡμιόνους πτύξασά τε εἵματα καλά,

ἁμάξι
 τὰ ροῦχα, καὶ βουτώντας τα μὲς στὰ νερὰ τὰ σκοῦρα,
 γοργὰ καὶ μὲ συνερισιὰ στοὺς λάκκους τὰ πατοῦσαν,
 Καὶ σὰν τὰ πλῦναν κι ἔβγαλαν κάθε λερὸ σημάδι,
 πῆγαν ἀράδα τ᾽ ἄπλωσαν ἀπάνω στ᾽ ἀκρογιάλι,
κεῖ ποὺ τὶς πέτρες λεύκαινε πὰς στὴ στεριὰ τὸ κῦμα,
 Καὶ σάνε λούστηκαν κι αὐτὲς κι ἀλείφτηκαν μὲ λάδι,
 καθίσανε καὶ γεύτηκαν στοῦ ποταμοῦ τοὺς ὄχτους,
 μὲς στὴ λιακάδα ἀφήνοντας τὰ ροῦχα νὰ στεγνώσουν.
 Καὶ σὰ χαρήκανε θροφή, κι αὐτὴ κι οἱ παρακόρες,
βγάλαν τὶς μπόλιες κι ἔπαιξαν τὴ σφαῖρα ἀνάμεσό τους.
 Κι ἡ ἀσπροχέρα ἡ Ναυσικᾶ τοὺς γλυκοτραγουδοῦσε.
 Πῶς ἡ σαϊτεύτρα ἡ Ἄρτεμη, στὶς ράχες ροβολώντας
 τοῦ θεόρατου Ταΰγετου, ἢ στοῦ Ἐρύμανθου τὰ ὄρη,
 βρίσκει χαρὰ σ᾽ ἀγριόχοιρους καὶ στὰ γοργὰ τὰ λάφια,
κι οἱ νύφες τῶν δεντρότοπων, τοῦ Δία οἱ θυγατέρες,
 μαζί της παίζουν, κι ἡ Λητὼ τηράει κι ἀναγαλλιάζει,
 ὡς τόσο ἐκείνη πιὸ ἀψηλὰ κρατάει τὴν ὄψη ἀπ᾽ ὅλες,
 ποὺ γλήγορα ξανοίγεις την, ἂν κι ὅλες ὥριες εἶναι·
 ἔτσι καὶ τώρα σφάνταζε ἡ παρθένα μὲς στὶς ἄλλες.
 Τὴν ὥρα ὅμως ποὺ θέλοντας στὸ σπίτι νὰ γυρίση,
 ξανάζεψε, καὶ δίπλωσε τὰ λαμπερὰ σκουτιά της,

ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη,
ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ᾽ ἐυώπιδα κούρην,
ἥ οἱ Φαιήκων ἀνδρῶν πόλιν ἡγήσαιτο.
σφαῖραν ἔπειτ᾽ ἔρριψε μετ᾽ ἀμφίπολον βασίλεια·
ἀμφιπόλου μὲν ἄμαρτε, βαθείῃ δ᾽ ἔμβαλε δίνῃ·
αἱ δ᾽ ἐπὶ μακρὸν ἄυσαν· ὁ δ᾽ ἔγρετο δῖος Ὀδυσσεύς,
ἑζόμενος δ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
"ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
ἦ ῥ᾽ οἵ γ᾽ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής;
ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀυτή·
νυμφάων, αἵ ἔχουσ᾽ ὀρέων αἰπεινὰ κάρηνα
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
ἀλλ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ ἴδωμαι."
ὣς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς,
ἐκ πυκινῆς δ᾽ ὕλης πτόρθον κλάσε χειρὶ παχείῃ
φύλλων, ὡς ῥύσαιτο περὶ χροΐ μήδεα φωτός.
βῆ δ᾽ ἴμεν ὡς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς,
ὅς τ᾽ εἶσ᾽ ὑόμενος καὶ ἀήμενος, ἐν δέ οἱ ὄσσε
δαίεται· αὐτὰρ ὁ βουσὶ μετέρχεται ἢ ὀίεσσιν
ἠὲ μετ᾽ ἀγροτέρας ἐλάφους· κέλεται δέ

ἄλλο στὸ νοῦ της ἔβαλε ἡ θεὰ ἡ γαλανομάτα,
πῶς ὁ Ὀδυσσέας νὰ σηκωθῆ, νὰ δῆ τὴν ὥρια κόρη,
καὶ νὰ τὸν προβοδώση αὐτὴ στὴ χώρα τῶ Φαιάκων.
Σφαῖρα σὲ μιά της κοπελιὰ πετάει ἡ βασιλοπούλα,
μὰ ἀστόχησε, καὶ στὸ βαθὺ τὴν ἔρριξε ποτάμι.
Φωνὴ τότε ὅλες σέρνουνε, ξυπνάει ὁ Ὀδυσσέας,
μισοσηκώνεται, κι αὐτὰ στὸ νοῦ του διαλογιέται·
"Ἀλλοίς μου, καὶ σὲ τί λογῆς ἀνθρώπων νὰ ἤρθα χώρα;
νά 'ναι ἄραγες ἀσύστατοι κι ἀδικοπράχτες κι ἄγριοι,
ἢ νά 'χουνε φιλοξενιὰ καὶ θεοφοβιὰ στὸ νοῦ τους;
Σὰν κοριτσιῶν ψιλὴ φωνὴ στ' αὐτιά μου νὰ βουΐζη,
σὰ νύφες, ποὺ ἔχουν κατοικιὰ ψηλὰ στὰ κορφοβούνια,
καὶ στὶς πηγὲς τῶν ποταμῶν καὶ στὰ χλωρὰ λιβάδια.
Ἤ νά 'μαι μέσα σὲ θνητούς ποὺ ἀνθρώπινα λαλοῦνε;
Ἄς πάω μονάχος μου νὰ δῶ καὶ νὰ καλοξετάσω."
Καὶ βγῆκε ἀπ' τὰ χαμόδεντρα ὁ μέγας ὁ Ὀδυσσέας,
κι ἀπὸ τὸ δάσο τὸ πηχτὸ μὲ τὴ βαρειά του χέρα
κόβει πολύφυλλο κλωνὶ τὴ γύμνια του νὰ κρύψη.
Καὶ σὰ λιοντάρι χούμιξε βουνόθρεφτο, ποὺ ξέρει
τὴ δύναμη του, ποὺ βροχὴ κι ἀνέμους δὲ φοβᾶται,
μόνο μὲ μάτια φλογερὰ βόδια κι ἀρνιὰ ζυγώνει,
ἢ τ' ἀγριολάφια κυνηγάει· γιά καὶ σὲ

ἑ γαστὴρ
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
ὣς Ὀδυσεὺς κούρῃσιν ἐυπλοκάμοισιν ἔμελλε
μίξεσθαι, γυμνός περ ἐών· χρειὼ γὰρ ἵκανε.
σμερδαλέος δ᾽ αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ,
τρέσσαν δ᾽ ἄλλυδις ἄλλη ἐπ᾽ ἠιόνας προὐχούσας·
οἴη δ᾽ Ἀλκινόου θυγάτηρ μένε· τῇ γὰρ Ἀθήνη
θάρσος ἐνὶ φρεσὶ θῆκε καὶ ἐκ δέος εἵλετο γυίων.
στῆ δ᾽ ἄντα σχομένη· ὁ δὲ μερμήριξεν Ὀδυσσεύς,
ἢ γούνων λίσσοιτο λαβὼν ἐυώπιδα κούρην,
ἦ αὖτως ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι
λίσσοιτ᾽, εἰ δείξειε πόλιν καὶ εἵματα δοίη.
ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
λίσσεσθαι ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι,
μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.
αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον.
"γουνοῦμαί σε, ἄνασσα· θεός νύ τις, ἦ βροτός ἐσσι;
εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἀρτέμιδί σε ἐγώ γε, Διὸς κούρῃ μεγάλοιο,
εἶδός τε μέγεθός τε φυήν τ᾽ ἄγχιστα εἰσκω·
εἰ δέ τίς ἐσσι βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσιν,
τρὶς μάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ,

στέρια μάντρα
ἡ πεῖνα του θὰ τό 'σπρωχνε τὰ πρόβατα ν' ἁρπάξη·
ἔτσι στὶς ὡριοπλέξουδες κοπέλες ὁ Ὀδυσσέας
ἐρχόταν, ἂν κι ὁλόγυμνος, τὶ ἀνάγκη τὸν τραβοῦσε.
Σκιάζονται αὐτὲς στὴν ὄψη του τὴ θαλασσοδαρμένη,
καὶ λαφιασμένες στοῦ γιαλοῦ σκορπιένται τὶς ἀκροῦλες·
μονάχα ἡ κόρη ἀπόμεινε τοῦ Ἀλκίνου, τὶ στὰ στήθια
θάρρος τῆς ἔβαλ' ἡ θεά, καὶ πῆρε της τὸ φόβο.
Ἀγνάντια στάθη ἀσάλευτη· κι ἐκεῖνος διαλογιόταν,
ν' ἀγγίξη της τὰ γόνατα τῆς νέας καὶ νὰ προσπέση,
γιά ἀπὸ μακρόθε μὲ γλυκὰ νὰ τὴ ρωτήξη λόγια
ποῦ πέφτει ἡ χώρα, καὶ σκουτιὰ συνάμα νὰ γυρέψη.
Καὶ συφερώτερο ἔκρινε νὰ τὴν παρακαλέση
ἀπομακρόθε στέκοντας μὲ τὰ γλυκὰ τὰ λόγια,
μὴν πειραχτῆ ἂν τῆς ἄγγιζε τὰ γόνατα ὁ Δυσσέας,
Κι ἀμέσως στοχαζούμενα γλυκομιλώντας κρένει·
“Προσπέφτω σου, ὦ βασίλισσα, θνητὴ γιά ἀθάνατη εἶσαι·
ἂν εἶσαι ἀπ' τὶς ἀθάνατες ποὺ κατοικοῦν τὰ οὐράνια,
παρόμοια μὲ τὴν Ἄρτεμη, τοῦ μέγα Δία τὴν κόρη,
στὴν ὄψη καὶ στ' ἀνάστημα καὶ στὴ μορφὴ σὲ κρίνω·
ἂν εἶσαι πάλε ἁπλὴ θνητή, τοῦ κόσμου κατοικήτρα,
καλότυχοι, κι ὁ κύρης σου κι ἡ βλογημένη ἡ μάνα,

τρὶς μάκαρες δὲ κασίγνητοι· μάλα πού σφισι θυμὸς
αἰὲν ἐυφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,
λευσσόντων τοιόνδε θάλος χορὸν
155 εἰσοιχνεῦσαν.
κεῖνος δ᾽ αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
ὅς κέ σ᾽ ἐέδνοισι βρίσας οἶκόνδ᾽ ἀγάγηται.

οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν,
οὔτ᾽ ἄνδρ᾽ οὔτε γυναῖκα· σέβας μ᾽ ἔχει εἰσορόωντα.
160 Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα·
ἦλθον γὰρ καὶ κεῖσε, πολὺς δέ μοι ἔσπετο λαός,
τὴν ὁδὸν ᾗ δὴ μέλλεν ἐμοὶ κακὰ κήδε᾽ ἔσεσθαι.
ὣς δ᾽ αὔτως καὶ κεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ
165 δήν, ἐπεὶ οὔ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης,
ὡς σέ, γύναι, ἄγαμαί τε τέθηπά τε, δείδια δ᾽ αἰνῶς
γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει.
χθιζὸς ἐεικοστῷ φύγον ἤματι οἴνοπα πόντον·
τόφρα δέ μ᾽ αἰεὶ κῦμ᾽ ἐφόρει κραιπναί τε θύελλαι
170 νήσου ἀπ᾽ Ὠγυγίης. νῦν δ᾽ ἐνθάδε κάββαλε δαίμων,
ὄφρ᾽ ἔτι που καὶ τῇδε πάθω κακόν· οὐ γὰρ οἴω
παύσεσθ᾽, ἀλλ᾽ ἔτι πολλὰ θεοὶ τελέουσι πάροιθεν.
ἀλλά, ἄνασσ᾽, ἐλέαιρε· σὲ γὰρ κακὰ πολλὰ μογήσας
175 ἐς πρώτην ἱκόμην, τῶν δ᾽ ἄλλων οὔ

καλότυχα τ' ἀδέρφια σου, ποὺ πάντα στὴν ψυχή τους
περίσσιας γίνεσαι ἀφορμὴ χαρᾶς,καὶ καμαρώνουν
τέτοιο βλαστάρι σὰ θωροῦν μὲς στοὺς χοροὺς νὰ μπαίνη.
Μὰ ἀκόμα πιὸ καλότυχος ἀπ' ὅλους εἶν' ἐκεῖνος,
ποὺ βγῆ στὰ δῶρα νικητής, καὶ ταίρι του σὲ πάρη.
Τὶ σὰν κι ἐσένα ἄλλο θνητὸ τὰ μάτια μου δὲν εἶδαν,
ἄντρα ἢ γυναίκα· θαμασμὸς μὲ πιάνει σὰν θωρῶ σε.
Τέτοια στὴ Δῆλο, στὸ βωμὸ τοῦ Ἀπόλλωνα τὸ πλάγι,
νιοβλάσταρη εἶδα φοινικιὰ κάποτε νὰ φουντώνη·
τὶ κι ἀποκεῖθε πέρασα μὲ λαὸ πολὺ μαζί μου,
παίρνοντας δρόμο ποὺ ἤτανε γραφτὸ νὰ μὲ παθιάση.
Καὶ καθὼς τότες σάστισα τὴ φοινικιὰ σὰν εἶδα,
τὶ τέτοιο ἀπὸ τὴ γῆς δεντρὶ ποτὲς δὲ βλάστησε ἄλλο,
τώρα μ' ἐσένα, ὦ κορασιά, θαμάζω καὶ σαστίζω,
κι ὅσο ἂν πονῶ, τὰ γόνατα φοβᾶμαι νὰ σοῦ ἀγγίξω.
Εἴκοσι μέρες ὡς τὰ χτὲς στὰ μαῦρα ἤμουν πελάγη,
ποὺ ἀνέμοι καὶ ἄγρια κύματα μὲ σέρναν ὁλοένα
ἀπ' τὸ νησὶ τῆς Ὠγυγίας· κι ἐδῶ μὲ ρίχνει ἡ μοῖρα
νὰ πάθω κι ἄλλα· τὶ θαρρῶ δὲν ἔπαψαν ἀκόμα,
μόνε οἱ θεοὶ κι ἄλλες πολλὲς φουρτοῦνες μοῦ τοιμάζουν.
Σπλαχνίσου με, ὦ βασίλισσα, ποὺ ἐσένα πρώτη βλέπω,
κατόπι μύρια βάσανα, κι ἄλλο ἄνθρωπο

τινα οἶδα
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν.
ἄστυ δέ μοι δεῖξον, δὸς δὲ ῥάκος ἀμφιβαλέσθαι,
εἴ τί που εἴλυμα σπείρων ἔχες ἐνθάδ' ἰοῦσα.
σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς,
ἄνδρα τε καὶ οἶκον, καὶ ὁμοφροσύνην ὀπάσειαν
ἐσθλήν· οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυσμενέεσσι,
χάρματα δ' εὐμενέτῃσι, μάλιστα δέ τ' ἔκλυον αὐτοί."
τὸν δ' αὖ Ναυσικάα λευκώλενος ἀντίον ηὔδα·
"ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας·
Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ·
καί που σοὶ τάδ' ἔδωκε, σὲ δὲ χρὴ τετλάμεν ἔμπης.
νῦν δ', ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ' οὖν ἐσθῆτος δευήσεαι οὔτε τευ ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε."

κανένα
ἀπ' ὅσους κατοικοῦν αὐτὸν τὸν τόπο δὲ γνωρίζω.
Τὴ χώρα δεῖξε μου, καὶ δὸς κουρέλι νὰ φορέσω,
ἂν ἔχης ρουχοτύλιγμα μαζί σου ἐδῶ φερμένο.
Κι ἐσένα οἱ θεοὶ νὰ δώσουνε ὅ,τι ζητάει ἡ ψυχή σου,
ἄντρα καὶ σπίτι καὶ καλὴ καρδιὰ ἀναμεταξύ σας,
ποὺ ἄλλο στὴ γῆς καλύτερο καὶ πιὸ λαμπρὸ δὲν εἶναι,
παρὰ μιὰ γνώμη νά 'χουνε γυναίκα κι ἄντρας πάντα
στὸ σπίτι, νὰ λυποῦνται ὀχτροί, νὰ καμαρώνουν φίλοι,
καὶ τὸ καλό τους τ' ὄνομα νὰ συχνακοῦνε ἐκεῖνοι."
Κι ἡ ἀσπροχέρα ἡ Ναυσικᾶ τοῦ ἀπολογήθη κι εἶπε·
"Ξένε, ποὺ μήτε ἀσύστατος μήτε κακὸς δὲ δείχνεις, —
στὸν κόσμο τὴν καλοτυχιὰ μοιράζει την ὁ Δίας
καὶ σὲ καλοὺς καὶ σὲ κακούς, τοῦ καθενοῦ ὅπως θέλει·
κι ἐσένα αὐτὰ ποὺ σοῦ 'δωσε χρωστᾶς νᾶ τᾶ ποφέρνης.
Ὡς τόσο μιὰ καὶ πάτησες σ' ἐτούτη μας τὴ χώρα,
δὲ θὰ σοῦ λείψη φορεσὰ μήτ' ἄλλο ποὺ ταιριάζει
σὲ παθιασμένον ποὺ ἔρχεται μὲ θερμοπαρακάλα.
Τὴν πόλη θὰ σοῦ δείξω ἐγώ, καὶ ποιοὶ ἐδῶ ζοῦν θὰ μάθης.
Αὐτὴ τὴν πολιτεία καὶ γῆς οἱ Φαίακες τὴν ἔχουν,
κι ἐγὼ εἶμαι τοῦ τρανόψυχου τοῦ Ἀλκίνου θυγατέρα,
ποὺ ἀπ' αὐτόνε ἡ δύναμη κρεμιέται τῶ Φαιάκων."

ἦ ῥα καὶ ἀμφιπόλοισιν ἐυπλοκάμοισι κέλευσε·
"στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηιοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἵκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε.
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε,
λούσατέ τ' ἐν ποταμῷ, ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο."
ὣς ἔφαθ', αἱ δ' ἔσταν τε καὶ ἀλλήλῃσι κέλευσαν,
κὰδ δ' ἄρ' Ὀδυσσῆ' εἶσαν ἐπὶ σκέπας, ὡς ἐκέλευσεν
Ναυσικάα θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
πὰρ δ' ἄρα οἱ φᾶρός τε χιτῶνά τε εἵματ' ἔθηκαν,
δῶκαν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
ἤνωγον δ' ἄρα μιν λοῦσθαι ποταμοῖο ῥοῇσιν.
δὴ ῥα τότ' ἀμφιπόλοισι μετηύδα δῖος Ὀδυσσεύς·
"ἀμφίπολοι, στῆθ' οὕτω ἀπόπροθεν, ὄφρ' ἐγὼ αὐτὸς
ἅλμην ὤμοιιν ἀπολούσομαι, ἀμφὶ δ'

Εἶπε, καὶ τὶς ὡριόμαλλες φωνάζει παρακόρες·
"Σταθῆτε, ὦ κοπελιές· γιατὶ σὲ ὄψη ἀντροῦ σκορπιέστε;
ἢ τάχα φοβηθήκατε πὼς εἶναι ὀχτρὸς ἐτοῦτος;
Δὲ ζῆ στὸν κόσμο ὁ ἄνθρωπος, κι οὔτε ποτὲς θὰ ὑπάρξη
ποὺ θά 'ρθη ἐδῶ τὸν πόλεμο στοὺς Φαίακες νὰ φέρη·
γιατὶ ἐμᾶς οἱ ἀθάνατοι πολὺ μᾶς ἀγαπᾶνε,
Ἀπόμακρα στοῦ πέλαγου τὴν ἄκρη κατοικᾶμε,
καὶ μὲ τὰ μᾶς ἄλλοι θνητοὶ δὲ σμίγουν ἐδῶ πέρα.
Κι ὁ μέγας Ὀδυσσέας ἐκεῖ στὶς παρακόρες κρένει·
"Μακριὰ σταθῆτε, ὦ κοπελιές, μονάχος μου νὰ πλύνω
τὴν ἅρμη ἀπὸ τοὺς ὤμους μου, καὶ ν'

ἐλαίῳ
χρίσομαι· ἦ γὰρ δηρὸν ἀπὸ χροός ἐστιν ἀλοιφή.
ἄντην δ᾽ οὐκ ἂν ἐγώ γε λοέσσομαι· αἰδέομαι γὰρ
γυμνοῦσθαι κούρῃσιν ἐυπλοκάμοισι μετελθών."
ὣς ἔφαθ᾽, αἱ δ᾽ ἀπάνευθεν ἴσαν, εἶπον δ᾽ ἄρα κούρῃ.
αὐτὰρ ὁ ἐκ ποταμοῦ χρόα νίζετο δῖος Ὀδυσσεὺς
ἅλμην, ἥ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους,
ἐκ κεφαλῆς δ᾽ ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.
αὐτὰρ ἐπεὶ δὴ πάντα λοέσσατο καὶ λίπ᾽ ἄλειψεν,
ἀμφὶ δὲ εἵματα ἕσσαθ᾽ ἃ οἱ πόρε παρθένος ἀδμής,
τὸν μὲν Ἀθηναίη θῆκεν Διὸς ἐκγεγαυῖα
μείζονά τ᾽ εἰσιδέειν καὶ πάσσονα, κὰδ δὲ κάρητος
οὔλας ἦκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ᾽ ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει,
ὡς ἄρα τῷ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη.
δή ῥα τότ᾽ ἀμφιπόλοισιν ἐυπλοκάμοισι μετηύδα·
"κλῦτέ μευ, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,

ἀλειφτῶ μὲ λάδι,
ποὺ λάδωμα πολὺν καιρὸ δὲν εἶδε τὸ κορμί μου.
Μπρός σας ἐγὼ δὲ λούζουμαι, γιατὶ ντροπῆς μου θά 'ναι
σιμὰ σὲ ὁμορφοπλέξουδες νὰ γυμνωθῶ κοπέλες."
Κι αὐτὲς ἀποτραβήχτηκαν, καὶ τὸ εἶπαν τῆς παρθένας.
Καὶ στὸ ποτάμι πλένονταν ὁ μέγας Ὀδυσσέας,
ξαρμίζοντας τὴ ράχη του καὶ τοὺς πλατιοὺς τοὺς ὤμους,
κι ἀπ' τὸ κεφάλι τρίβοντας τῆς θάλασσας τὴν ἄχνη.
Καὶ σάνε λούστηκε καλὰ κι ἀλείφτηκε μὲ λάδι,
καὶ τὰ σκουτιὰ ποὺ τοῦ 'δωσε ἡ παρθένα σάνε 'ντύθη,
τοῦ Δία ἡ γέννα, ἡ Ἀθηνᾶ τὸν ἔκαμε νὰ δείχνη
πιὸ μεγάλος καὶ παχύς, κι ἀπὸ τὴν κεφαλή του
ὥρια κρεμιόντανε σγουρά, ποὺ μοιάζανε ζουμπούλια,
Καὶ σὰν ποὺ χύνει μάλαμα στὸ ἀσήμι ἄντρας τεχνίτης,
ποὺ ὁ Ἥφαιστος τὸν ἔμαθε κι ἡ Ἀθηνᾶ ἀπὸ τέχνη,
καὶ δίνει χάρη στὰ ἔργα του, παρόμοια τοῦ περέχα
τοὺς ὤμους καὶ τὴν κεφαλὴ μὲ περισσὴ μιὰ χάρη.
Πῆγε ἔπειτα καὶ κάθισε στῆς θάλασσας τὴν ἄκρη,
στράφτοντας χάρες κι ὁμορφιές· τὸν θάμασε ἡ παρθένα,
καὶ πρὸς τὶς ὡριοπλέξουδες κόρες γυρνάει καὶ κρένει·
"Ἀκοῦστε με, ὦ ἀσπρόχερες κοπέλες, τί σᾶς κρένω·
στοὺς Φαίακες τοὺς θεόμοιαστους δὲν ἦρθε αὐτὸς ὁ ἄντρας

Φαιήκεσσ᾽ ὅδ᾽ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ᾽ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἴ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καὶ οἱ ἄδοι αὐτόθι μίμνειν.
ἀλλὰ δότ᾽, ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε."
ὣς ἔφαθ᾽, αἱ δ᾽ ἄρα τῆς μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο,
πὰρ δ᾽ ἄρ᾽ Ὀδυσσῆι ἔθεσαν βρῶσίν τε πόσιν τε.
ἦ τοι ὁ πῖνε καὶ ἤσθε πολύτλας δῖος Ὀδυσσεὺς
ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἦεν ἄπαστος.
αὐτὰρ Ναυσικάα λευκώλενος ἄλλ᾽ ἐνόησεν·
εἵματ᾽ ἄρα πτύξασα τίθει καλῆς ἐπ᾽ ἀπήνης,
ζεῦξεν δ᾽ ἡμιόνους κρατερώνυχας, ἂν δ᾽ ἔβη αὐτή,
ὤτρυνεν δ᾽ Ὀδυσῆα, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ᾽ ἴμεν ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθα σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρδειν, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ᾽ ἂν μέν κ᾽ ἀγροὺς ἴομεν καὶ ἔργ᾽ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ᾽ ἡμιόνους καὶ ἄμαξαν
καρπαλίμως ἔρχεσθαι· ἐγὼ δ᾽ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν, ἣν πέρι

χωρὶς νὰ τὸ θελήσουνε οἱ ἀθάνατοι τοῦ Ὀλύμπου·
σὰν τὸν πρωτόειδα φάνηκε φτωχὸς καὶ τιποτένιος,
μὰ τώρα μοιάζει τῶν θεῶν ποὺ κατοικοῦν τὰ οὐράνια.
Μακάρι τέτοιος νά 'βγαινε κι ὁ ἄντρας ὁ δικός μου,
καὶ νά 'στεργε στὸν τόπο αὐτὸ μ' ἐμᾶς νὰ λημεριάζη.
Μὰ δῶστε του, κοπέλες μου, φαΐ πιοτὸ τοῦ ξένου."
Κι αὐτες ἀκοῦν τὰ λόγια της καὶ κάνουν καθὼς εἶπε,
κι ἀμέσως παραθέτουνε φαΐ πιοτὸ σιμά του.
Κι ἔτρωγε κι ἔπινε ἁρπαχτὰ ὁ πολύπαθος Δυσσέας,
τὶ εἶχε πολὺν καιρὸ θροφὴ στὸ στόμα του νὰ βάλη.
Καὶ τότες ἄλλο ἡ Ναυσικᾶ ἡ ἀσπρόχερη σοφίστη·
διπλώνει, βάζει μὲς στ' ὡριὸ τ' ἁμάξι τὰ σκουτιά της,
ζεύει τὰ δυνατόνυχα μουλάρια, κι ἀνεβαίνει,
παρακινώντας τὸν τρανὸ Ὀδυσσέα μ' αὐτὰ τὰ λόγια·
"Σήκω, νὰ πᾶμε τώρα ἐμεῖς στὴ χώρα, νὰ σὲ φέρω
στοῦ κύρη μου τοῦ φρόνιμου τ' ἀρχοντικό, τοὺς πρώτους
ἀπὸ τοὺς Φαίακες ἐκεῖ νὰ δῆς καὶ νὰ γνωρίσης.
Μὰ κάμε ὅ,τι σοῦ λέω ἐγώ· θαρρῶ πὼς κόφτει ὁ νοῦς σου·
ὅσο χωράφια ἢ χτήματα περνοῦμε τῶν ἀνθρώπων,
ἐσὺ νὰ γοργοπερπατᾶς πίσω ἀπὸ ζὰ κι ἁμάξι,
μὲ τὶς κοπέλες· τότε ἐγὼ τὸ δρόμο θὰ σᾶς δείχνω,
στὴ χώρα ὡς νὰ ζυγώσουμε, ποὺ ἔχει

πύργος τειχιὰ πυργάτα
ὑψηλός, καλὸς δὲ λιμὴν ἑκάτερθε τριγύρω της, καὶ δυὸ καλὰ λιμάνια ἀπὸ
πόληος, τὰ πλάγια,
λεπτὴ δ᾽ εἰσίθμη· νῆες δ᾽ ὁδὸν καὶ ποὺ ἔχει τὴ μπασιὰ στενή, κι ἀπὸ τὶς
ἀμφιέλισσαι δυὸ προβάλλουν
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν τὰ πλοῖα, ποὺ καθένα τους ἔχει σκεπὴ δική
ἑκάστῳ. του.
ἔνθα δέ τέ σφ᾽ ἀγορὴ καλὸν Ποσιδήιον Κεῖ πέρα, γύρω τοῦ λαμπροῦ τοῦ
ἀμφίς, Ποσειδειοῦ, θὰ δοῦμε
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ᾽ τὴν ἀγορὰ, μὲ γωνιακὲς βαθιὰ χωσμένες
ἀραρυῖα. πέτρες
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων στρωμένη· τ' ἄρμενα αὐτουδὰ τῶν
ἀλέγουσι, καραβιῶνε φτιάνουν,
πείσματα καὶ σπεῖρα, καὶ ἀποξύνουσιν τὶς γούμενες καὶ τὰ πανιά, καὶ ξύνουν τὰ
ἐρετμά. κουπιά τους·
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ τὶ οἱ Φαίακες δὲν ἀγαποῦν σαγίτες καὶ
φαρέτρη, δοξάρια,
ἀλλ᾽ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες μόνε κατάρτια καὶ κουπιὰ καὶ πλοῖα
ἐῖσαι, καλοφτιασμένα,
ᾗσιν ἀγαλλόμενοι πολιὴν περόωσι ποὺ χαίρουνταί τα, τοὺς ἀφροὺς τῆς
θάλασσαν. θάλασσας περνώντας.
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις Τρέμω τὴ γλῶσσα τους, κανεὶς ἂν τύχη
ὀπίσσω καὶ μὲ κρίνη,
μωμεύῃ· μάλα δ᾽ εἰσὶν ὑπερφίαλοι τὶ ἔχουν περίσσια ἀδιαντροπιὰ πολλοί
κατὰ δῆμον· τους μὲς στὴ χώρα,
καί νύ τις ὧδ᾽ εἴπῃσι κακώτερος κι ἕνας τους πρόστυχος μπορεῖ νὰ πὴ
ἀντιβολήσας· ἀγναντεύοντάς μας·
᾽τίς δ᾽ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε "Ποιός εἶν' αὐτὸς ποὺ ἀκολουθάει τὴ
μέγας τε Ναυσικᾶ ὁ ξένος,
ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ οἱ ὁ ὥριος κι ὁ τρανός; καὶ ποῦ τὸν βρῆκε;
ἔσσεται αὐτῇ. δίχως ἄλλο
ἦ τινά που πλαγχθέντα κομίσσατο ἦς τὸν παίρνει· ἢ πρέπει νά 'πεσε μὲ πλοῖο, ἢ
ἀπὸ νηὸς ξωμερίτης
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες καὶ τόνε δέχτηκε, τὶ αὐτὸς τῆς γειτονιᾶς
ἐγγύθεν εἰσίν· δὲν εἶναι·
ἦ τίς οἱ εὐξαμένῃ πολυάρητος θεὸς ἴσως καὶ παρακάλεσε θεό, καὶ τῆς κατέβη
ἦλθεν ἀπ' τὰ οὐράνια, σύγκλινη γιὰ πάντα νὰ
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα τὴν ἔχη.
πάντα. Κάλλιο ποὺ πῆγε κάπου ἀλλοῦ γαμπρό
βέλτερον, εἰ καὐτή περ ἐποιχομένη της νὰ διαλέξη,
πόσιν εὗρεν γιατὶ ἀψηφάει τοὺς Φαίακες ἐδῶ τοὺς
ἄλλοθεν· ἦ γὰρ τούσδε γ᾽ ἀτιμάζει συντοπῖτες,
κατὰ δῆμον ποὺ μύριοι τήνε γύρεψαν κι ἀπὸ τοὺς πιὸ

Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
μεγάλους.”

ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
Αὐτὰ θὰ ποῦνε, καὶ ντροπῆς ἐγὼ θὰ τά 'χω ἀλήθεια.

καὶ δ’ ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
Μὰ κι ἄλλη τέτοια νά 'κανε, θὰ τὴν κατηγοροῦσα,

ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων,
ποὺ ἔρχεται δίχως φιλικὴ καὶ τῶ γονιῶν της γνώμη,

ἀνδράσι μίσγηται, πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.
κι ἄντρες ζητάει πρὶ νὰ γενῆ φανερωμένος γάμος.

ξεῖνε, σὺ δ’ ὦκ’ ἐμέθεν ξυνίει ἔπος, ὅφρα τάχιστα
Ἄκου με, ὦ ξένε, κι ἔρχου ἐσὺ, ἂν θὲς ἀπὸ τὸν κύρη

πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
στὸν τόπο σου προβόδημα, καὶ γλήγορο ταξίδι.

δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
Στὸ δρόμο θά 'βρης τὸ λαμπρὸ τῆς Ἀθηνᾶς τὸ δάσο,

αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
λεῦκες μ' ἀνάβρυσμα νεροῦ, κι ὁλόγυρα λιβάδι·

ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ’ ἀλωή,
ἐκεῖ 'ναι τοῦ γονιοῦ μου ἡ γῆς καὶ τ' ἀνθοπεριβόλια·

τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας.
ἀπὸ τὴ χώρα ὡς ἐκειδὰ μπορεῖς βουητὸ ν' ἀκούσῃς,

ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
Κάθισ' ἐκεῖ καὶ πρόσμενε νὰ φτάσουμε στὴ χώρα,

ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
καὶ μέσα νὰ κατέβουμε στὰ γονικά μου σπίτια.

αὐτὰρ ἐπὴν ἡμέας ἔλπῃ ποτὶ δώματ’ ἀφῖχθαι,
Καὶ πιὰ σὰν πῆς πὼς εἴμαστε φτασμένοι ἐμεῖς στὰ σπίτια,

καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ’ ἐρέεσθαι
τότες ξεκίνα κατακεῖ καὶ ρώτα τοὺς διαβάτες,

δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.
ποῦ 'ναι τοῦ μεγαλόκαρδου τοῦ Ἀλκίνου τὰ παλάτια,

ῥεῖα δ’ ἀρίγνωτ’ ἐστί, καὶ ἂν πάϊς ἡγήσαιτο
Εὔκολα βρίσκουνται· παιδὶ μπορεῖ νὰ σοῦ τὰ δείξη·

νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
τὶ τ' ἄλλα δὲ χτιστήκανε τὰ σπίτια τῶν Φαιάκων,

δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
σὰν ποὺ χτιστῆκαν τοῦ ἥρωα τοῦ Ἀλκίνου τὰ παλάτια.

ἥρωος. ἀλλ’ ὁπότ’ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή,
Καὶ σὰ βρεθῆς στὸ πρόσπιτο καὶ στὴν αὐλή, προχώρα

ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ’ ἂν ἵκηαι
μὲς στὰ παλάτια γλήγορα, τὴ μάνα ν' ἀντικρύσῃς

μητέρ’ ἐμήν· ἡ δ’ ἧσται ἐπ’ ἐσχάρῃ ἐν
ποὺ κάθεται πρὸς τὴ γωνιά, μὲς στῆς

πυρὸς αὐγῇ,
ἠλάκατα στρωφῶσ᾽ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ᾽ ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῇ,
τῷ ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ᾽ ἐνὶ θυμῷ,
ἐλπωρή τοι ἔπειτα φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐυκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
ὣς ἄρα φωνήσασ᾽ ἵμασεν μάστιγι φαεινῇ
ἡμιόνους· αἱ δ᾽ ὦκα λίπον ποταμοῖο ῥέεθρα.
αἱ δ᾽ ἐὺ μὲν τρώχων, ἐὺ δὲ πλίσσοντο πόδεσσιν·
ἡ δὲ μάλ᾽ ἡνιόχευεν, ὅπως ἅμ᾽ ἕποιατο πεζοὶ
ἀμφίπολοί τ᾽ Ὀδυσεύς τε, νόῳ δ᾽ ἐπέβαλλεν ἱμάσθλην.
δύσετό τ᾽ ἠέλιος καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
ἱρὸν Ἀθηναίης, ἵν᾽ ἄρ᾽ ἕζετο δῖος Ὀδυσσεύς.
αὐτίκ᾽ ἔπειτ᾽ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
"κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη·
νῦν δή πέρ μευ ἄκουσον, ἐπεὶ πάρος οὔ ποτ᾽ ἄκουσας
ῥαιομένου, ὅτε μ᾽ ἔρραιε κλυτὸς

φωτιᾶς τὸ φέγγος,
καὶ κλώθει πορφυρὶ μαλλί, ποὺ νὰ τὸ δῆς θαμάζεις,
στὸ στῦλο ἀκουμπισμένη αὐτή, κι οἱ δοῦλες πίσωθέ της.
Ἐκεῖ στημένος βρίσκεται καὶ τοῦ γονιοῦ μου ὁ θρόνος,
ποὺ πίνοντας θὰ κάθεται μὲ ἀθάνατο παρόμοιος.
Πέρασ' τον, καὶ στὰ γόνατα τῆς μάνας βάλε χέρια,
ἂν θὲς νὰ σοῦ 'ρθη γλήγορα τοῦ γυρισμοῦ σου ἡ μέρα,
καὶ νὰ σοῦ ἀνοίξη τὴν καρδιά, κι ἂς εἶναι ἡ γῆς σου ἀλάργα,
Τὶ μιὰς κι ἡ μάνα μέσα της σὲ συμπονέση, ξέρε
πὼς τοὺς δικούς σου θένα δῆς, καὶ γλήγορα θὰ φτάσης
στὸ σπίτι τὸ καλόχτιστο καὶ στὴ γλυκειὰ πατρίδα."
Εἶπε, καὶ χτύπησε τὰ ζὰ μὲ τὸ λαμπρὸ μαστίγι·
κι αὐτὰ μεμιὰς ἀφήσανε τοῦ ποταμοῦ τὸ ρέμα,
καὶ πῆραν δρόμο ταχτικά, καὶ τρέχανε μὲ τάξη.
Κι αὐτὴ κυβέρνα ταχτικά, σαλεύοντας ἀγάλια
τοῦ μαστιγιοῦ της τὸ λουρὶ, γιὰ νὰ προφταίνουν πίσω
οἱ δοῦλες κι ὁ Ὀδυσσέας πεζοί· καὶ βασιλεύει ὁ ἥλιος,
καὶ φτάνουνε στῆς Ἀθηνᾶς τὸ δοξασμένο δάσος.
Ὁ θεϊκὸς Δυσσέας ἐκεῖ κάθισε. Καὶ σὲ λίγο
στὴν κόρη προσευκήθηκε τοῦ τρισμεγάλου Δία·
"Τοῦ Δία τοῦ αἰγιδόσκεπου ἀδάμαστη ἐσὺ κόρη,
συνάκουσε με τώρα, ἐσὺ ποὺ ἄλλοτες ἀρνιόσουν
ν' ἀκούσης με, σὰ δέρνομουν ἀπὸ τὸν

ἐννοσίγαιος.
δός μ᾽ ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ᾽ ἐλεεινόν."
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη.
αὐτῷ δ᾽ οὔ πω φαίνετ᾽ ἐναντίη· αἴδετο μὰ δὲν γάρ ῥα
πατροκασίγνητον· ὁ δ᾽ ἐπιζαφελῶς μενέαινεν
ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.

Κοσμοσείστη·
καὶ κάνε οἱ Φαίακες σπλαχνιὰ κι ἀγάπη νὰ μοῦ δείξουν,"
Τὴν προσευκὴ συνάκουσε ἡ Ἀθηνᾶ ἡ Παλλάδα,
τὶ φοβόταν τὸ γονικό της ἀδερφό· βαριὰ ἦταν χολωμένος
μὲ τὸ θεϊκὸ Ὀδυσσέα αὐτός, στὸν τόπο του ὡς νὰ φτάση.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία η

Ὀδυσσέως εἴσοδος πρὸς Ἀλκίνουν.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ὣς ὁ μὲν ἔνθ᾽ ἠρᾶτο πολύτλας δῖος Ὀδυσσεύς,
κούρην δὲ προτὶ ἄστυ φέρεν μένος ἡμιόνοιιν.
ἡ δ᾽ ὅτε δὴ οὗ πατρὸς ἀγακλυτὰ δώμαθ᾽ ἵκανε,
στῆσεν ἄρ᾽ ἐν προθύροισι, κασίγνητοι δέ μιν ἀμφὶς
ἵσταντ᾽ ἀθανάτοις ἐναλίγκιοι, οἵ ῥ᾽ ὑπ᾽ ἀπήνης
ἡμιόνους ἔλυον ἐσθῆτά τε ἔσφερον εἴσω.
αὐτὴ δ᾽ ἐς θάλαμον ἐὸν ἤιε· δαῖε δέ οἱ πῦρ
γρῆυς Ἀπειραίη, θαλαμηπόλος Εὐρυμέδουσα,
τήν ποτ᾽ Ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
Ἀλκινόῳ δ᾽ αὐτὴν γέρας ἔξελον, οὕνεκα πᾶσιν
Φαιήκεσσιν ἄνασσε, θεοῦ δ᾽ ὣς δῆμος ἄκουεν·
ἣ τρέφε Ναυσικάαν λευκώλενον ἐν μεγάροισιν.

Ἔτσι ὁ τρανός, πολύπαθος Δυσσέας προσευκόταν,
καθὼς τὴν κόρη φέρνανε στὴ χώρα τὰ μουλάρια.
Καὶ ὡς ἔφτασε στὰ ξακουστὰ παλάτια τοῦ γονιοῦ της,
στὰ ξώθυρα σταμάτησε, κι οἱ θεόμοιαστοι ἀδερφοί της,
ζυγώσανε καὶ στάθηκαν καὶ ξέζεψαν τὰ ζῶα,
καὶ τὰ καθάρια φέρανε φορέματα στὸν πύργο.
Πέρασε τότε ἡ Ναυσικᾶ στὸ θάλαμο της ἴσια,
ὅπου ἡ γριὰ Εὐρυμέδουσα καλὴ φωτιὰ ἄναβέ της,
ἡ συγυρίστρα ποὺ ἄλλοτε ἀπ' τὴν Ἀπείρη πλοῖα,
τὴ φέρανε γοργόλαμνα καὶ δῶρο τήνε δῶσαν
τοῦ Ἀλκίνου, πρῶτος βασιλιᾶς σὰν ποὺ ἦταν τῶ Φαιάκων,
καὶ σὰ θεὸ τὸν ἄκουγαν· τὴν κόρη εἶχε ἀναθρέψει,

ἥ οἱ πῦρ ἀνέκαιε καὶ εἴσω δόρπον ἐκόσμει.
καὶ τότ᾽ Ὀδυσσεὺς ὦρτο πόλινδ᾽ ἴμεν· ἀμφὶ δ᾽ Ἀθήνη
πολλὴν ἠέρα χεῦε φίλα φρονέουσ᾽ Ὀδυσῆι,
μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας
κερτομέοι τ᾽ ἐπέεσσι καὶ ἐξερέοιθ᾽ ὅτις εἴη.
ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλε πόλιν δύσεσθαι ἐραννήν,
ἔνθα οἱ ἀντεβόλησε θεά, γλαυκῶπις Ἀθήνη,
παρθενικῇ ἐικυῖα νεήνιδι, κάλπιν ἐχούσῃ.
στῆ δὲ πρόσθ᾽ αὐτοῦ, ὁ δ᾽ ἀνείρετο δῖος Ὀδυσσεύς·
"ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἠγήσαιο
Ἀλκινόου, ὃς τοῖσδε μετ᾽ ἀνθρώποισι ἀνάσσει;
καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ᾽ ἱκάνω
τηλόθεν ἐξ ἀπίης γαίης· τῷ οὔ τινα οἶδα
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν."
τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον, ὅν με κελεύεις,
δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
ἀλλ᾽ ἴθι σιγῇ τοῖον, ἐγὼ δ᾽ ὁδὸν ἡγεμονεύσω,
μηδέ τιν᾽ ἀνθρώπων προτιόσσεο μηδ᾽ ἐρέεινε.
οὐ γὰρ ξείνους οἵδε μάλ᾽ ἀνθρώπους ἀνέχονται,
οὐδ᾽ ἀγαπαζόμενοι φιλέουσ᾽ ὅς κ᾽ ἄλλοθεν ἔλθῃ.
νηυσὶ θοῇσιν τοί γε πεποιθότες

αὐτὴ, καὶ τὴ φωτιὰ ἄναβε καὶ τοίμαζε τὸ δεῖπνο.
Τότε ὁ Δυσσέας σηκώθηκε στὴ χώρα νὰ κινήση,
κι ἡ Ἀθηνᾶ καλόθελα τοῦ σκόρπισε κατάχνια,
μὴν τὸν ξανοίξη Φαίακας τρανόψυχος, κι ἀρχίση
λόγια νὰ βγάζη ἀγγιχτικά, καὶ νὰ ρωτάη ποιός εἶναι.
Κι ὅ,τι ἔκανε στὴν πρόσχαρη τὴ χώρα νὰ πατήση
τὸν ἀνταμώνει ἡ Ἀθηνᾶ, ἡ θεὰ ἡ γαλανομάτα,
ἀθῶο κορίτσι μοιάζοντας ποὺ στάμνα κουβαλοῦσε.
Ὀμπρός του στάθη, κι ὁ τρανὸς τήνε ρωτᾶ Ὀδυσσέας·
“Παιδί μου, μπορεῖς νὰ μὲ πᾶς στοῦ Ἀλκίνου τὰ παλάτια,
τοῦ ἄντρα, ποὺ εἶναι ὁ βασιλιᾶς ἐτούτων τῶν ἀνθρώπων;
Τυραννισμένος ἔρχουμαι καὶ ξένος ἐδῶ πέρα,
ἀπὸ λημέρια ἀπόμακρα, κι ἀπ' ,ὅσους κατοικᾶνε
τὴ χώρα καὶ τὴ γῆς αὐτὴ κανένα δὲ γνωρίζω.”
Κι ἡ γαλανόματη ἡ θεὰ γυρίζει καὶ τοῦ κρένει·
“Θὰ σοῦ τὰ δείξω, ξένε μου πατέρα, ἐγὼ τὰ σπίτια
ποὺ μοῦ ζητᾶς, τ' εἶναι σιμὰ στοῦ ἄξιου τοῦ γονιοῦ μου.
Ἔρχου σωπαίνοντας ἐσύ, κι ἐγὼ μπροστὰ πηγαίνω·
κανέναν ἄλλον μὴν κοιτᾶς, καὶ μὴ ρωτᾶς κανέναν,
γιατὶ τοὺς ξένους τοῦτοι ἐδῶ δὲν τοὺς πολυχωνεύουν,
κι ἂν κάποιος ἀπ' ἀλλοῦθε ἐρθῆ, φιλίες δὲν τοῦ ἀνοίγουν,
ἔχοντας θάρρος στὰ γοργὰ καράβια τους,

ὠκείῃσι
λαῖτμα μέγ᾽ ἐκπερόωσιν, ἐπεί σφισι δῶκ᾽ ἐνοσίχθων·
τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα."
ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο Παλλὰς Ἀθήνη
καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
τὸν δ᾽ ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν
ἐρχόμενον κατὰ ἄστυ διὰ σφέας· οὐ γὰρ Ἀθήνη
εἴα ἐυπλόκαμος, δεινὴ θεός, ἥ ῥά οἱ ἀχλὺν
θεσπεσίην κατέχευε φίλα φρονέουσ᾽ ἐνὶ θυμῷ.
θαύμαζεν δ᾽ Ὀδυσεὺς λιμένας καὶ νῆας ἐίσας
αὐτῶν θ᾽ ἡρώων ἀγορὰς καὶ τείχεα μακρὰ
ὑψηλά, σκολόπεσσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.
ἀλλ᾽ ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώματθ᾽ ἵκοντο,
τοῖσι δὲ μύθων ἦρχε θεά, γλαυκῶπις Ἀθήνη·
"οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὅν με κελεύεις
πεφραδέμεν· δήεις δὲ διοτρεφέας βασιλῆας
δαίτην δαινυμένους· σὺ δ᾽ ἔσω κίε, μηδέ τι θυμῷ
τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
ἔργοισιν τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν·
Ἀρήτη δ᾽ ὄνομ᾽ ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
τῶν αὐτῶν οἵ περ τέκον Ἀλκίνοον βασιλῆα.

ποὺ σκίζουν
τὰ πέλαα μὲ τὴ συνεργιὰ τοῦ θεοῦ τοῦ κοσμοσείστη,
ποὺ σὰν πουλιὰ γοργοπετοῦν ἢ σὰν τοῦ νοῦ τὴ σκέψη.″
Εἶπε, κι ὀμπρὸς ἡ Ἀθηνᾶ ξεκίνησε μὲ βιάση,
καὶ πίσωθε στ' ἀχνάρια της ἀκολουθοῦσε ἐκεῖνος.
Κι οἱ Φαίακες δὲν τὸν ἔνιωσαν οἱ θαλασσακουσμένοι,
ὀμπρός τους καθὼς διάβαινε περνώντας ἀπ' τὴ χώρα,
τὶ ἡ ὄμορφη καὶ φοβερὴ θεὰ Ἀθηνᾶ τὸν εἶχε
ὁλόσκεπο ἀπὸ καταχνιά, ποθώντας τὸ καλό του.
Καὶ τὸ λιμάνι θάμαζε μὲ τὰ καράβια ἐκεῖνος,
τὶς ἀγορὲς ποὺ κάθουνταν οἱ ἡρῶοι, καὶ τὰ μεγάλα
τὰ ξυλοσκέπαστα τειχιά, ποὺ θάμα ἦταν μονάχο.
Καὶ στὰ παλάτια τὰ λαμπρὰ τοῦ βασιλιᾶ σὰ φτάσαν,
τότες τοῦ κρένει ἡ Ἀθηνᾶ, ἡ θεὰ ἡ γαλανομάτα·
“Νά τα τὰ σπίτια ποὺ ζητᾶς, ὦ ξένε μου πατέρα·
θὰ βρῆς ἐκεῖ τοὺς διόθρεφτους ἀφέντες στὸ τραπέζι·
μηδέὡς τόσο κίνα μέσα ἐσὺ, κι ἂς μὴ σὲ πιάνη φόβος·
ἄντρας μὲ θαρρετὴ καρδιὰ σὲ κάθε καμωμά του
πιὸ ἄξιος πάντα θὰ φανῆ, κι ἂς ἔρχεται ἀπ' ἀλλοῦθε.
Καὶ πρῶτα τὴ βασίλισσα θὰ βρῆς μὲς στὰ παλάτια·
τὴ λὲν Ἀρήτη, κι ἔρχεται κι ἐκείνη ἀπὸ τοὺς ἴδιους
προγόνους ποὺ γεννήθηκε ὁ βασιλέας Ἀλκίνος.

Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
γείνατο καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν.
ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός·
τῇ δὲ Ποσειδάων ἐμίγη καὶ ἐγείνατο παῖδα
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσε·
Ναυσίθοος δ' ἔτεκεν Ῥηξήνορά τ' Ἀλκίνοόν τε.
τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων
νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
καί μιν ἔτισ', ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη,
ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν.
ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἔστιν
ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῦ Ἀλκινόοιο
καὶ λαῶν, οἵ μίν ῥα θεὸν ὣς εἰσορόωντες
δειδέχαται μύθοισιν, ὅτε στείχῃσ' ἀνὰ ἄστυ.
οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ·
ᾗσι τ' ἐὺ φρονέῃσι καὶ ἀνδράσι νείκεα λύει.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.

Πρῶτα ὁ Ναυσίθος ἤρθε, ὁ γιὸς τοῦ σείστη Ποσειδώνα
καὶ τῆς Περίβοιας, ποὺ ἤτανε περίσσια ἡ ὀμορφιά της.
Κόρη τοῦ μεγαλόκαρδου Εὐρυμέδοντα στερνή 'ταν
ἐκείνη, τῶν περήφανων Γιγάντων βασιλέα.
Τοὺς ἔχασε τοὺς ἄμυαλους, καὶ χάθηκε κι ἐκεῖνος.
Μὲ τὴν Περίβοια πλάγιασε τότες ὁ κοσμοσείστης,
καὶ τὸ Ναυσίθο γέννησε, τὸ ρήγα τῶν Φαιάκων.
Δυὸ γιοὺς ἐτοῦτος γέννησε, Ρηξήνορα καὶ Ἀλκίνο.
Καὶ νιόπαντρος καὶ δίχως γιὸ ὁ Ρηξήνορας σὰν ἦταν,
τὸν ἔκρουσε ὁ Ἀπόλλωνας ὁ ἀργυροδοξαράτος,
καὶ μόνη σπίτι του ἄφησε μιὰ κόρη, τὴν Ἀρήτη·
αὐτὴν ὁ Ἀλκίνος ἔκαμε κατόπι σύγκλινή του,
καὶ τὴν τιμοῦσε ὅσο καμιὰ στὸν κόσμο δὲν τιμιέται,
ἀπ' ὅσες ζοῦν σὲ χέρια ἀντρὸς στὰ σπιτικά τους τώρα.
Θερμὰ τήνε λατρεύουνε, καὶ τ' ἀκριβὰ παιδιά της,
κι ἴδιος ὁ Ἀλκίνος, κι ὁ λαός, ποὺ σὰ θεὰ τὴ βλέπει
καὶ γκαρδιακὰ τὴ δέχεται στὴ χώρα σὰ διαβαίνη.
Καὶ μήτε λείπει στοχασιὰ ποτὲς ἀπὸ τὸ νοῦ της,
μόν' τῶν ἀντρῶν ποὺ συμπονεῖ τὶς διαφορὲς τελειώνει.
Καὶ σένα ἂ συμπονέση αὐτή, πάλε θὰ δῆς μιὰ μέρα
τοὺς φίλους σου καὶ τοὺς δικούς, καὶ θὰ ξανάρθης πάλε
στὸ σπίτι τ' ἀψηλόσκεπο τῆς γονικῆς σου

γαῖαν."
ὣς ἄρα φωνήσασ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη
πόντον ἐπ᾽ ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρατεινήν,
ἵκετο δ᾽ ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην,
δῦνε δ᾽ Ἐρεχθῆος πυκινὸν δόμον.
αὐτὰρ Ὀδυσσεὺς
Ἀλκινόου πρὸς δώματ᾽ ἴε κλυτά·
πολλὰ δέ οἱ κῆρ
ὥρμαιν᾽ ἱσταμένῳ, πρὶν χάλκεον οὐδὸν ἱκέσθαι.
ὡς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
δῶμα καθ᾽ ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατ᾽ ἔνθα καὶ ἔνθα,
ἐς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο·
χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
σταθμοὶ δ᾽ ἀργύρεοι ἐν χαλκέῳ ἕστασαν οὐδῷ,
ἀργύρεον δ᾽ ἐφ᾽ ὑπερθύριον, χρυσέη δὲ κορώνη.
χρύσειοι δ᾽ ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν,
οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσι
δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα.
ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ᾽ ἔνθα καὶ ἔνθα,
ἐς μυχὸν ἐξ οὐδοῖο διαμπερές, ἔνθ᾽ ἐνὶ πέπλοι
λεπτοὶ ἐύννητοι βεβλήατο, ἔργα γυναικῶν.
ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο

χώρας."
Αὐτὰ εἶπε, καὶ τραβᾶ ἡ θεὰ στ' ἀτρύγητα πελάγη,
κι ἀπ' τὴ Σκερία τὴν ὄμορφη φτάνει στὸ Μαραθώνα,
κατόπι στὴν πλατύδρομη τὴ χώρα της Ἀθήνας,
καὶ μπαίνει στὸ στεριόχτιστο ναὸ τοῦ Ἐρεχτέα.
Ἤρθε στοῦ Ἀλκίνου τ' ἀκουστὰ παλάτια κι ὁ Ὀδυσσέας,
κι ὁ νοῦς του σάστιζε πρὶν πάη στὰ χαλκωτὰ κατώφλια·
τὶ σὰ φῶς ἥλιου ἢ φεγγαριοῦ στὰ μάτια του φαινόταν
τοῦ Ἀλκίνου τοῦ τρανόκαρδου τὸ θεόρατο παλάτι.
Χαλκένιοι τοῖχοι στέκονταν ἀπ' τὸ κατώφλι ὡς μέσα
στὰ βάθια, καὶ ζωνόντανε μὲ λαζουρὶ στεφάνι·
θύρες χρυσὲς σφαλνούσανε τὸ στεριωμένο χτίριο,
μὲ παραστάτες ἀργυροὺς στὸ χαλκωτὸ κατώφλι,
μὲ ἀνώφλι, ὁλάργυρο κι αὐτό, καὶ μὲ χρυσὴ κρικελα.
Εἶχε καὶ δυὸ ἀργυρόχρυσους ἀπ' τὰ δυὸ πλάγια σκύλους,
ποὺ ὁ Ἥφαιστος τοὺς ἔφτιαξε μὲ τὴ σοφή του τέχνη,
τὸν πύργο νὰ φυλάγουνε τοῦ Ἀλκίνου τοῦ μεγάλου,
ἀθάνατοι κι ἀγέραστοι γιὰ πάντα καὶ γιὰ πάντα.
Θρονιὰ στὸν τοῖχο ἀραδιαστὰ κι ἀπὸ τὰ δυὸ τὰ πλάγια,
ἀπ' τὸ κατώφλι ὡς τὰ βαθιά, μὲ ντύματα ἀποπάνω,
ἔργα ψιλὰ καλόγνεστα τῶν γυναικῶν, βαλμένα.
Σ' ἐκεῖνα ἀπάνω οἱ προεστοὶ καθόνταν τῶ Φαιάκων,

πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.
χρύσειοι δ᾽ ἄρα κοῦροι ἐυδμήτων ἐπὶ βωμῶν
ἕστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.
πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες
αἱ μὲν ἀλετρεύουσι μύλῃς ἔπι μήλοπα καρπόν,
αἱ δ᾽ ἱστοὺς ὑφόωσι καὶ ἠλάκατα στρωφῶσιν
ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
καιρουσσέων δ᾽ ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον.
ὅσσον Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν
νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν, ὣς δὲ γυναῖκες
ἱστῶν τεχνῆσσαι· πέρι γάρ σφισι δῶκεν Ἀθήνη
ἔργα τ᾽ ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς.
ἔκτοσθεν δ᾽ αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
τετράγυος· περὶ δ᾽ ἕρκος ἐλήλαται ἀμφοτέρωθεν.
ἔνθα δὲ δένδρεα μακρὰ πεφύκασι τηλεθόωντα,
ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι.
τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ᾽ ἀπολείπει
χείματος οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ καλοκαίρι·
μάλ᾽ αἰεὶ
Ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
ὄγχνη ἐπ᾽ ὄγχνῃ γηράσκει, μῆλον δ᾽

καὶ τρώγανε καὶ πίνανε, τὶ εἶχαν πολλὰ ὀμπροστά τους.
Σὲ στυλοβάτες δουλευτοὺς χρυσὰ ἀγοράκια στέκαν,
καὶ κράταγαν στὰ χέρια τους λαμπάδες ἀναμμένες,
ποὺ φέγγανε τῶ σύδειπνων τὴ νύχτα στὰ παλάτια.
Πενήντα μὲς στοὺς πύργους του γυναῖκες εἶχε ἐργάτρες·
ἄλλες τους στὸ χερόμυλο ξανθὸ σιτάρι ἀλέθουν,
ἄλλες τους φαίνουνε πανὶ καὶ κλώθουν καθισμένες,
σὰ φύλλα λεύκας ἁψηλῆς σαλεύοντας· καὶ τόσο
κρουστόφαντα εἶναι τὰ λινὰ ποὺ τρέχει ὁγρὸ τὸ λάδι.
Τὶ ὅσο περνοῦν οἱ Φαίακες στὸν κόσμο ὅλους τοὺς ἄλλους
σὲ καραβιοῦ κυβέρνημα, τόσο πιδέξες εἶναι
στὸ φάδι κι οἱ γυναῖκες τους, ποὺ ἡ Ἀθηνᾶ νὰ φτιάνουν
ὡρια δουλειὰ τὶς ἔμαθε, καὶ νοῦ λαμπρὸ ἔδωσέ τους.
Παρόξω ἀπ' τὴν αὐλὴ, σιμὰ στὴ θύρα, ἔχει περβόλι,
τεσσάρω ζευγαριῶν παντοῦ καλοφραγμένο γύρω,
ποὺ δέντρα πλῆθος φαίνουνται ἁψηλὰ καὶ φουντωμένα·
ἐκεῖ ἀπιδιές, ροδιές, μηλιές μὲ τὰ λαμπρὰ τὰ μῆλα,
συκιὲς γλυκόκαρπες κι ἐλιὲς γερὲς καὶ φουντωμένες.
Δὲ λείπει ὁλοχρονὶς καρπός, χειμώνα
τὶ ἄλλα τ' ἀγέρι τὸ γλυκὸ γεννάει κι ἄλλα ὡριμάζει.
Μεστώνει ἀπίδι, κι ἄλλο ἀνθεῖ, καὶ μῆλο

ἐπὶ μήλῳ,
πὰς στὸ μῆλο,

αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ᾽ ἐπὶ σύκῳ.
πὰς στὸ σταφύλι ἄλλο τσαμπί, καὶ σῦκο πὰς στὸ σῦκο,

ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται,
Βρίσκεται φυτεμένο ἐκεῖ καὶ πλούσιο ἀμπελοκήπι,

τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
μὲ ἁλώνι μέσα λιακωτὸ σὲ γῆς καλοστρωμένη,

τέρσεται ἠελίῳ, ἑτέρας δ᾽ ἄρα τε τρυγόωσιν,
ποὺ ἀπὸ τὸν ἥλιο δέρνεται· σταφύλια ἀλλοῦ τρυγιοῦνται,

ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ᾽ ὄμφακές εἰσιν
ἀλλοῦ πατιοῦνται· παραμπρὸς κρεμιένται οἱ ἀγουρίδες

ἄνθος ἀφιεῖσαι, ἕτεραι δ᾽ ὑποπερκάζουσιν.
στὸ ξάνθισμά τους· παρακεῖ νὰ βάφουν ἀρχινᾶνε.

ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
Ἔχει κι ὡριόπλουμες βραγιὲς στοῦ περβολιοῦ τὶς ἄκρες,

παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι·
κάθε λογῆς, ποὺ ὁλοχρονὶς σφαντάζουνε στὸ μάτι·

ἐν δὲ δύω κρῆναι ἡ μέν τ᾽ ἀνὰ κῆπον ἅπαντα
καὶ βρύσες δυό· σκορπιέται ἡ μιὰ μὲς σ' ὅλο τὸ περβόλι,

σκίδναται, ἡ δ᾽ ἑτέρωθεν ὑπ᾽ αὐλῆς οὐδὸν ἵησι
κι ἡ ἄλλη κάτω ἀπ' τῆς αὐλῆς διαβαίνει τὸ κατώφλι,

πρὸς δόμον ὑψηλόν, ὅθεν ὑδρεύοντο πολῖται.
πρὸς τὸ παλάτι, κι ἔπαιρναν κεῖθε νερὸ οἱ πολῖτες.

τοῖ᾽ ἄρ᾽ ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Τέτοια οἱ θεοὶ χαρίζανε λαμπρὰ τοῦ Ἀλκίνου δῶρα,

ἔνθα στὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
Στάθηκ' ἐκεῖ ὁ πολύπαθος, ὁ μέγας Ὀδυσσέας

αὐτὰρ ἐπεὶ δὴ πάντα ἐῷ θηήσατο θυμῷ,
κοιτώντας. Καὶ σὰ θάμασε τὸ καθετὶς στὸ νοῦ του,

καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσετο δώματος εἴσω.
ἀπ' τὸ κατώφλι πέρασε καὶ μπῆκε στὸ παλάτι.

εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
Καὶ βρῆκε αὐτοῦ τοὺς προεστοὺς κι ἀρχόντους τῶν Φαιάκων,

σπένδοντας δεπάεσσιν ἐυσκόπῳ ἀργεϊφόντῃ,
ποὺ μὲ ποτήρια στάζανε τοῦ Ἑρμῆ τοῦ ἀγρυπνομάτη,

ᾧ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
τὶ ἐκείνου χῦναν τὶς στερνὲς σταλιὲς πριχοῦ πλαγιάσουν.

αὐτὰρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς
Περνάει ὀμπρός τους ὁ τρανός, πολύπαθος Δυσσέας,

πολλὴν ἠέρ᾽ ἔων, ἣν οἱ περίχευεν Ἀθήνη,
σὲ ἀνιὰ ποὺ τοῦ περέχυνε ἡ θεὰ Ἀθηνᾶ κρυμμένος,

ὄφρ᾽ ἵκετ᾽ Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.
ὥσπου ἤρθε στὴν Ἀρήτη ὀμπρὸς καὶ στὸν ἀφέντη Ἀλκίνο.

ἀμφὶ δ᾽ ἄρ᾽ Ἀρήτης βάλε γούνασι χεῖρας Ὀδυσσεύς,
καὶ τότε δή ῥ᾽ αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
οἱ δ᾽ ἄνεῳ ἐγένοντο, δόμον κάτα φῶτα ἰδόντες·
θαύμαζον δ᾽ ὁρόωντες. ὁ δὲ λιτάνευεν Ὀδυσσεύς·
"Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀντιθέοιο,
σόν τε πόσιν σά τε γούναθ᾽ ἱκάνω πολλὰ μογήσας
τούσδε τε δαιτυμόνας· τοῖσιν θεοὶ ὄλβια δοῖεν
ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
κτήματ᾽ ἐνὶ μεγάροισι γέρας θ᾽ ὅ τι δῆμος ἔδωκεν·
αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ᾽ ἱκέσθαι
θᾶσσον, ἐπεὶ δὴ δηθὰ φίλων ἄπο πήματα πάσχω."
ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπ᾽ ἐσχάρῃ ἐν κονίῃσιν
πὰρ πυρί· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν
καὶ μύθοισι κέκαστο, παλαιά τε πολλά τε εἰδώς·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
"Ἀλκίνοˊ, οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικε,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ᾽ ἐσχάρῃ ἐν κονίῃσιν,
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ᾽ ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἶσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι

Ἀγγίζει τῆς βασίλισσας τὰ γόνατα ὁ Δυσσέας,
κι ἡ καταχνιὰ ἡ θεόσταλτη σκορπιέται πίσωθέ του.
Ἄνθρωπο βλέπουν τότε αὐτοί, καὶ σὰ βουβοὶ ἀπομνήσκουν,
μὲ θαυμασμὸ κοιτώντας τον· κι αὐτὸς παρακαλεῖ τους·
"Ἀρήτη, τοῦ Ρηξήνορα τοῦ ἰσόθεου θυγατέρα,
στὸν ἄντρα σου ὁ πολύπαθος προσπέφτω καὶ σ' ἐσένα,
κι αὐτοὺς ἐδῶ τοὺς σύνδειπνους, ποὺ οἱ θεοὶ νὰ τοὺς χαρίζουν
χρυσὴ ζωή, καὶ στὰ παιδιὰ ν' ἀφήσουνε τὰ πλούτια
τῶν πύργων τους, κι ὅ,τι τιμὲς τοὺς ἔχει δώσει ὁ κόσμος.
Στεῖλτε καὶ μένα γλήγορα νὰ φτάσω στὴν πατρίδα,
ποὺ τόσους χρόνους δέρνουμαι μακριὰ ἀπὸ τοὺς δικούς μου."
Εἶπε, καὶ χάμου κάθισε, πὰς στῆς γωνιᾶς τὴ στάχτη
πρὸς τὴ φωτιά· καὶ σύχαζαν οἱ ἄλλοι σωπασμένοι.

Τέλος ἀργὰ τοὺς μίλησε ὁ Ἐχένηος ὁ γέρος
ἥρωας, ποὺ στοὺς Φαίακες στὰ χρόνια ἦταν ὁ πρῶτος,
ἄξιος στὰ λόγια, καὶ ἤξερε πολλὰ καὶ περασμένα·
αὐτὸς μὲ νοῦ καλόγνωμο ξαγόρεψέ τους κι εἶπε·
"Ἀλκίνο, δὲν τὸ κρίνω αὐτὸ καλό, καὶ δὲν ταιριάζει
πὰς στῆς γωνιᾶς νὰ κάθεται τὴ στάχτη χάμου ὁ ξένος.
Ἐσένα αὐτοὶ προσμένουνε ν' ἀκούσουν, καὶ βαστιένται.
Μόν' πάρ' τον, σὲ ἀργυρόδετη καθέδρα κάθισέ τον,
καὶ πρόσταξε τοὺς κήρυκες κρασὶ ν'

κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
χειρὸς ἑλὼν Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
ὦρσεν ἀπ' ἐσχαρόφιν καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα,
ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκεν.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
αὐτὰρ ὁ πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεύς.
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
"Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ
σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ."
ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα,
νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ', ὅσον ἤθελε θυμός,

ἀνεκατέψουν,
σταλιὲς καὶ τοῦ βροντόχαρου νὰ στάξουμε τοῦ Δία,
ποὺ ὅποιον σεμνὰ παρακαλεῖ, τὸν προβοδάει ἐκεῖνος.
Ἂς δώση κι ἡ κελάρισσα δεῖπνο τοῦ ξένου ὅ,τι ἔχει."
Τ' ἀκούγει αὐτὰ καὶ παίρνει εὐτὺς ἀπὸ τὸ χέρι ὁ Ἀλκίνος
τὸ βαθιοστόχαστο Ὀδυσσέα τὸν πολυσοφισμένο,
κι ἀπ' τὴ γωνιὰ πὰς σὲ θρονὶ λαμπρὸ τόνε καθίζει,
ἀφοῦ τὸ γιό του σήκωσε, τὸν ἀκριβὸ Λαοδάμα,
ποὺ ὄντας του μυριαγάπητος καθότανε σιμά του.
Καὶ μπρίκι γιὰ τὸ νίψιμο τοῦ φέρνει τότε ἡ βάγια,
ὥριο, χρυσό, καὶ χύνει του στὴν ἀργυρὴ λεγένη,
καὶ τότες στρώνει ἀντίκρυ του γυαλιστερὸ τραπέζι.
Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,
κι ἀπὸ τὰ καλοφάγια της τοῦ φίλεψε περίσσια.
Κι ὁ θεῖος, ὁ πολύπαθος τρωγόπινε Ὀδυσσέας.
Τότες τοῦ κήρυκα μιλάει καὶ λέει ὁ ἀντρεῖος Ἀλκίνος·
"Ἔλα, Ποντόνε, τὸ κρασὶ μὲς στὸ κροντήρι σμίξε,
καὶ σ' ὅλους μοίρασέ το ἐδῶ, νὰ στάξουμε τοῦ Δία,
ποὺ ὅποιον σεμνὰ παρακαλεῖ τὸν προβοδάει ἐκεῖνος."
Εἶπε καὶ τὸ γλυκὸ κρασὶ καλόσμιξε ὁ Ποντόνος,
καὶ γύρω μοίρασε ἀπαρχὴ μὲ τὰ ποτήρια σὲ ὅλους.
Καὶ σάνε στάξαν κι ἤπιανε ὅσο ἤθελε ἡ καρδιά τους,

τοῖσιν δ᾽ Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ᾽ ἰόντες·
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν ἠδὲ θεοῖσιν
ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς
μνησόμεθ᾽, ὥς χ᾽ ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
πομπῇ ὑφ᾽ ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἀκόπιαστα κιχήκηται
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί,
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσι,
πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ᾽ ἔπειτα
πείσεται, ἅσσα οἱ αἶσα κατὰ κλῶθές τε βαρεῖαι
γιγνομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
εἰ δέ τις ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθεν,
ἄλλο τι δὴ τόδ᾽ ἔπειτα θεοὶ περιμηχανόωνται.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
ἡμῖν, εὖτ᾽ ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
δαίνυνταί τε παρ᾽ ἄμμι καθήμενοι ἔνθα περ ἡμεῖς.
εἰ δ᾽ ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμέν,
ὡς περ Κύκλωπές τε καὶ ἄγρια φῦλα

ὁ Ἀλκίνος τότε ὁ βασιλιὰς ξαγόρεψέ τους κι εἶπε·
"Ἀκοῦτε με, τῶ Φαιάκωνε ὦ προεστοὶ κι ἀρχόντοι,
τὰ ὅσα μέσα μου ἀγρικῶ νὰ σᾶς τὰ φανερώσω,
Τώρα ποὺ φάγατε ἤπιατε, σύρτε νὰ κοιμηθῆτε,
καὶ τὸ ταχὺ περσότερους γερόντους προσκαλοῦμε,
τὸν ξένο νὰ φιλέψουμε, καὶ στοὺς θεοὺς θυσίες
καλὲς ἀφοῦ προσφέρουμε, τὸν πηγαιμὸ νὰ δοῦμε
τοῦ ξένου· νὰ τὸν στείλουμε μὲ συνοδειὰ δική μας,
πομπῆ ὑφ᾽ ἡμετέρη ἣν πατρίδα γαῖαν ἀκόπιαστα κι ἀνέπονα στὸν τόπο του νὰ φτάση,
καὶ νά 'βρη γλήγορη χαρὰ ὅσο μακριὰ κι ἂν εἶναι·
μηδὲ νὰ πάθη βλάψιμο ἢ κακὸ μὲς στὸ ταξίδι,
μπριχοῦ νὰ μπῆ στὴ χώρα του· ποὺ ἐκεῖ κατόπι θά 'χη
ὅσα στὸν κόσμο ἡ Μοῖρα του κι οἱ σοβαρὲς οἱ Κλῶστρες
γιγνομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μὲ τὴν κλωστὴ τοῦ γνέσανε σὰν τόνε
μήτηρ. 'γέννα ἡ μάνα.
εἰ δέ τις ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθεν, Ὅμως ἂν εἶναι ἀθάνατος ποὺ ἦρθε ἀπ' τὰ οὐράνια,
ἄλλο τι δὴ τόδ᾽ ἔπειτα θεοὶ περιμηχανόωνται. τότες κάτι ἄλλο μελετοῦν οἱ θεοὶ νὰ μᾶς σκαρώσουν.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς Τὶ ὡς τὰ τώρα ἀσκέπαστοι φανερωθῆκαν πάντα
ἡμῖν, εὖτ᾽ ἔρδωμεν ἀγακλειτὰς σ' ἐμᾶς, λαμπρὲς σὰ σφάζουμε ἑκατοβοδιὲς
ἑκατόμβας, σ' ἐκείνους,
δαίνυνταί τε παρ᾽ ἄμμι καθήμενοι μαζί μας τρωγοπίνοντας, κοντά μας καθισμένοι.
εἰ δ᾽ ἄρα τις καὶ μοῦνος ἰὼν Κι ἂν κάποιος πὰς στὸ δρόμο του ποτὲς
ξύμβληται ὁδίτης, τοὺς ἀνταμώση,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν δὲν κρύβονται γιατὶ μ' αὐτοὺς γενιά
ἐγγύθεν εἰμέν, 'μαστε, σὰν πού 'ναι
ὡς περ Κύκλωπές τε καὶ ἄγρια φῦλα καὶ οἱ Κύκλωπες καὶ τ' ἄγρια τὰ γένη τῶ

Γιγάντων."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀλκίνο', ἄλλο τί τοι μελέτω φρεσίν· οὐ γὰρ ἐγώ γε
ἀθανάτοισιν ἔοικα, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὐ δέμας οὐδὲ φυήν, ἀλλὰ θνητοῖσι βροτοῖσιν.
οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀιζὺν
ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.
καὶ δ' ἔτι κεν καὶ μᾶλλον ἐγὼ κακὰ μυθησαίμην,
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ·
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο, ἥ τ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκῃ
καὶ μάλα τειρόμενον καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα,
ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν, ἡ δὲ μάλ' αἰεὶ
ἐσθέμεναι κέλεται καὶ πινέμεν, ἐκ δέ με πάντων
ληθάνει ὅσσ' ἔπαθον, καὶ ἐνιπλησθῆναι ἀνώγει.
ὑμεῖς δ' ὀτρύνεσθαι ἅμ' ἠοῖ φαινομένηφιν,
ὥς κ' ἐμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης
καί περ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰὼν
κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπῄνεον ἠδ' ἐκέλευον
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.

Γιγάντων."
Καὶ γύρισε ὁ τετράξυπνος Δυσσέας κι ἀπολογήθη·
"Ὅ νοῦς σου ἄλλα ἂς νοιάζεται, ὦ Ἀλκίνο· δὲν τοὺς μοιάζω
καθόλου τοὺς ἀθάνατους ποὺ κατοικοῦν τὰ οὐράνια,
μήτε κορμὶ μήτε μορφή· θνητὸς μονάχος εἶμαι.
Κι ὅσους ἐσεῖς γνωρίζετε βαριὰ δυστυχισμένους,
μ' αὐτοὺς ἐγὼ στὶς συφορὲς νὰ παραβγῶ μποροῦσα.
Κι εἶχα 'γώ κι ἄλλα μου δεινὰ νὰ σᾶς στορήσω ἀκόμα,
ὅσα ἀπὸ θέλημα θεῶν σωρὸς μοῦ μαζωχτῆκαν·
μὰ ἀφῆστε με, ὅσο κι ἂν πονῶ, θροφὴ νὰ πιάσω τώρα·
πιὸ ἀδιάντροπο ἀπὸ τὴν κοιλιὰ τὴ μαύρη ἄλλο δὲν ἔχει,
ποὺ τὴ δική της ὄρεξη νὰ βλέπης σ' ἀναγκάζει,
κι ἂς ἔχης μύρια βάσανα καὶ λύπες στὴν ψυχή σου.
Λύπες κι ἐγὼ ἔχω στὴν ψυχή, κι ὡς τόσο αὐτὴ ὁλοένα,
φαΐ γυρεύει καὶ πιοτό ὅσα ἔπαθα, τὰ σβήνει
ἀπὸ τὸ νοῦ μου ὁλότελα, καὶ νὰ γεμίση θέλει.
Ὡς τόσο τοιμαστῆτε ἐσεῖς στὸ χάραμα τῆς μέρας
νὰ φέρτε ἐμένα τὸ φτωχὸ στὸ χῶμα τῶ γονιῶ μου,
κατόπι τόσα ποὺ ἔπαθα· νὰ δῶ, κι ἂς ἀπεθάνω,
τὰ χτήματα, τοὺς δούλους μου καὶ τ' ἀψηλὸ παλάτι."
Αὐτὰ εἶπε, κι ὅλοι δέχτηκαν κι ἀνάμεσο τους εἶπαν
ὁ ξένος νὰ προβοδωθῆ, γιατὶ σωστὰ λαλοῦσε.

αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιον θ᾽ ὅσον ἤθελε θυμός,
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
πὰρ δέ οἱ Ἀρήτη τε καὶ Ἀλκίνοος θεοειδὴς
ἧσθην· ἀμφίπολοι δ᾽ ἀπεκόσμεον ἔντεα δαιτός.
τοῖσιν δ᾽ Ἀρήτη λευκώλενος ἦρχετο μύθων·
ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε εἵματ᾽ ἰδοῦσα
καλά, τά ῥ᾽ αὐτὴ τεῦξε σὺν ἀμφιπόλοισι γυναιξί·
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ᾽ ἔδωκεν;
οὐ δὴ φῆς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ᾽ ἱκέσθαι;"
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι
κήδε᾽, ἐπεί μοι πολλὰ δόσαν θεοὶ Οὐρανίωνες·
τοῦτο δέ τοι ἐρέω ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται·
ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψὼ
ναίει ἐυπλόκαμος, δεινὴ θεός· οὐδέ τις αὐτῇ
μίσγεται οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων.
ἀλλ᾽ ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων
οἷον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι

Καὶ σάνε στάξαν, κι ἤπιανε ὅσο ἤθελε ἡ καρδιά τους,
σῦραν οἱ ἄλλοι σπίτι του καθένας, νὰ πλαγιάσουν·
μὰ στὸ παλάτι ἀπόμεινε ὁ θεῖος ὁ Ὀδυσσέας,
καὶ πλάγια του καθίσανε ἡ Ἀρήτη κι ὁ Ἀλκίνος
ὁ θεόμοιαστος· καὶ σήκωσαν οἱ δοῦλες τὰ τραπέζια.
Καὶ τότες πρώτη τοῦ μιλάει ἡ Ἀρήτη ἡ ἀσπροχέρα,
τηρώντας τὰ ὥρια του σκουτιά, χιτώνα καὶ χλαμύδα,
ποὺ ἀτή της τά ' φτιασε μαζὶ μὲ τὶς σπιτογυναῖκες·
καὶ λάλησέ του κι εἶπε του μὲ φτερωμένα λόγια·
"Αὐτὸ ἐγὼ θέλω, ξένε μου, νὰ σὲ ρωτήξω πρῶτα·
ποιός εἶσαι, κι ἀπὸ ποῦ, καὶ ποιός σοῦ 'δωσ' αὐτὰ τὰ ροῦχα;
Δὲν εἶπες πὼς οἱ θάλασσες ἐδῶ ριγμένο σ' ἔχουν;"
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος γυρίζει καὶ τῆς κρένει·
"Εἶναι βαρύ, ὦ βασίλισσα, νὰ διηγηθῶ ἕνα ἕνα
τὰ πάθια μου, τ' οἱ θεοὶ πολλὰ μοῦ δῶκαν οἱ ἐπουράνιοι
αὐτὰ μονάχα θὰ σοῦ πῶ, ποὺ ρώτηξες νὰ μάθης.
Εἶναι μακριὰ στὰ πέλαγα κάποιο νησί, Ὠγυγία,
ποὺ ἡ μαριόλα ἡ Καλυψώ, τοῦ Ἄτλαντα ἡ θυγατέρα,
πανώρια, μὰ καὶ φοβερὴ θεὰ τό 'χει λημέρι·
μήτε θεοὶ μήτε θνητοὶ μ' αὐτὴ δὲ συντροφιάζουν.
Μὰ ἐμένα μ' ἔφερε ὁ θεὸς τὸ δύστυχο σιμά της,
τότες ποὺ ὁ Δίας τὸ γοργὸ καράβι μοῦ 'χε σπάσει

κεραυνῷ
Ζεὺς ἔλσας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης
ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
ναίει ἐυπλόκαμος, δεινὴ θεός, ἥ με λαβοῦσα
ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν ἠδὲ ἔφασκε
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
ἀλλ᾽ ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
ἔνθα μὲν ἑπτάετες μένον ἔμπεδον, εἵματα δ᾽ αἰεὶ
δάκρυσι δεύεσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ·
ἀλλ᾽ ὅτε δὴ ὀγδόατόν μοι ἐπιπλόμενον ἔτος ἦλθεν,
καὶ τότε δή μ᾽ ἐκέλευσεν ἐποτρύνουσα νέεσθαι
Ζηνὸς ὑπ᾽ ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ᾽ αὐτῆς.
πέμπε δ᾽ ἐπὶ σχεδίης πολυδέσμου, πολλὰ δ᾽ ἔδωκε,
σῖτον καὶ μέθυ ἡδύ, καὶ ἄμβροτα εἵματα ἕσσεν,
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
ἑπτὰ δὲ καὶ δέκα μὲν πλέον ἤματα ποντοπορεύων,
ὀκτωκαιδεκάτῃ δ᾽ ἐφάνη ὄρεα σκιόεντα
γαίης ὑμετέρης, γήθησε δέ μοι φίλον ἦτορ
δυσμόρῳ· ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι ὀιζυῖ

μ' ἀστροπελέκι ἀστραφτερὸ στὰ μαῦρα πέλαα μέσα.
Ὅλοι μου τότες οἱ καλοὶ χαθήκανε συντρόφοι·
κι ἐγὼ τοῦ πλοίου ἀγκαλιαστὰ κρατώντας τὴν καρίνα,
μέρες ἐννιὰ κυλιόμουνα· δέκατη μαύρη νύχτα,
καὶ στὸ νησὶ οἱ ἀθάνατοι τῆς Ὠγυγίας μὲ ρίξαν,
τῆς Καλυψῶς τῆς φοβερῆς κι ὡριόμαλλης λημέρι.
Μὲ πῆρε αὐτή, μὲ φίλευε καὶ μ' ἔθρεφε μὲ πόνο,
καὶ νὰ μὲ κάνη ἀθάνατο κι ἀγέραστο μελέτα·
ὡς τόσο ἐμένα στῆς καρδιᾶς δὲ μ' ἔπειθε τὰ βάθια.
θρόνους ἐφτὰ κρατιόμουνα, καὶ τὰ σκουτιὰ ποὺ ἐκείνη
μοῦ χάριζε τ' ἀχάλαστα, τὰ πότιζα μὲ δάκρυα·
μὰ σὰ γυρίσαν κι ἤρθανε τὰ ὀχτὼ τὰ χρόνια, τότες
μὲ παρακίναε κι ἔλεγε στὴ γῆς μου νὰ μισέψω·
γιά ὁ Δίας τῆς τὸ πρόσταξε, γιά γνώμη ἦταν δική της.
Μὲ βάζει σὲ καλόδετο σάλι, πολλὲς μοῦ δίνει
θροφές, ψωμί, γλυκὸ κρασί, λαμπρὰ σκουτιὰ μὲ ντύνει,
καὶ ἀγέρι πρύμο καὶ ἀπαλὸ κατόπι μοῦ φυσάει.
Μέρες στὰ πέλαα δεκαφτὰ ἀρμενίζοντας πλανιόμουν,
στὶς δεκοχτὼ φανήκανε ὀμπροστά μου τὰ ἰσκιωμένα
βουνὰ τῆς γῆς σας· πήδηξε ἀπὸ χαρὰ ἡ καρδιά μου,
τοῦ δύστυχου· τὶ συφορὲς εἶχα νὰ πάθω κι ἄλλες

πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων,
ὅς μοι ἐφορμήσας ἀνέμους κατέδησε κέλευθον,
ὤρινεν δὲ θάλασσαν ἀθέσφατον, οὐδέ τι κῦμα
εἴα ἐπὶ σχεδίης ἀδινὰ στενάχοντα φέρεσθαι.
τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ᾽· αὐτὰρ ἐγώ γε
νηχόμενος τόδε λαῖτμα διέτμαγον, ὄφρα με γαίῃ
ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
ἔνθα κέ μ᾽ ἐκβαίνοντα βιήσατο κῦμ᾽ ἐπὶ χέρσου,
πέτρῃς πρὸς μεγάλῃσι βαλὸν καὶ ἀτερπέι χώρῳ·
ἀλλ᾽ ἀναχασσάμενος νῆχον πάλιν, ἦος ἐπῆλθον
ἐς ποταμόν, τῇ δή μοι ἐείσατο χῶρος ἄριστος,
λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο.
ἐκ δ᾽ ἔπεσον θυμηγερέων, ἐπὶ δ᾽ ἀμβροσίη νὺξ
ἤλυθ᾽. ἐγὼ δ᾽ ἀπάνευθε διιπετέος ποταμοῖο
ἐκβὰς ἐν θάμνοισι κατέδραθον, ἀμφὶ δὲ φύλλα
ἠφυσάμην· ὕπνον δὲ θεὸς κατ᾽ ἀπείρονα χεῦεν.
ἔνθα μὲν ἐν φύλλοισι φίλον τετιημένος ἦτορ
εὗδον παννύχιος καὶ ἐπ᾽ ἠῶ καὶ μέσον ἦμαρ.
δείλετό τ᾽ ἠέλιος καί με γλυκὺς ὕπνος ἀνῆκεν.
ἀμφιπόλους δ᾽ ἐπὶ θινὶ τεῆς ἐνόησα θυγατρὸς
παιζούσας, ἐν δ᾽ αὐτὴ ἔην ἐικυῖα θεῇσι·
τὴν ἱκέτευσ᾽· ἡ δ᾽ οὔ τι νοήματος ἦμβροτεν ἐσθλοῦ,

πολλές, ποὺ μοῦ τὶς τοίμαζε ὁ θεὸς ὁ κοσμοσείστης.
Αὐτὸς ἀνέμους σήκωσε καὶ μοῦ 'κλεισε τὸ δρόμο,
κι ἀγρίεψε τὶς θάλασσες, ποὺ νὰ βαστῶ τὸ σάλι
δὲ μ' ἄφηναν, μόνε συχνὰ ἀνεστέναζα στὸ κῦμα.
Σκορπάει τὸ σάλι ἡ τρικυμιά, κι ἐγὼ μὲ τὸ κολύμπι
τότ' ἔσκιζα τὰ τρίσβαθα νερά, ὡσπου ἐδῶ στὴ γῆς σας
μὲ σπρώξανε καὶ μ' ἔφεραν οἱ θαλασσιὲς κι οἱ ἀνέμοι.
Ἂν τότες ἔκανα στεριά, θὰ μ' ἔδερνε τὸ κῦμα
σὲ πέτρες σπώντας μὲ χοντρὲς καὶ σ' ἄχαρα λημέρια·
μὰ πίσω ἀποτραβήχτηκα, καὶ κολυμπώντας ἤρθα
στὸν ποταμό, ποὺ πιὸ ἥμερος μοῦ φάνη ἐκεῖ ὁ τόπος,
γυμνὸς ἀπὸ χοντρόπετρες, κρυμμένος ἀπὸ ἀνέμους.
Ἔπεσα ἐκεῖ, συνέφερα, καὶ φάνη ἡ θεία ἡ νύχτα·
καὶ πέρ' ἀπ' τὸ οὐρανόθρεφτο ποτάμι ξεκινώντας,
μὲς στὰ χαμόδεντρα ἔγειρα, μὲ σωριασμένα φύλλα
ἀπάνω μου, καὶ μοῦ 'χυσε ὁ θεὸς ἀτέλειωτο ὕπνο.
Ἐκεῖ, στὰ φύλλα ἀνάμεσα, μὲ στήθια ταραγμένα,
ὁλονυχτὶς κοιμόμουνα ὡς αὐγὴ καὶ μεσημέρι.
Μ' ἀφήνει ὁ ὕπνος ὁ γλυκὸς στὸ γέρμα τοῦ ἥλιου ἀπάνω,
καὶ νιώθω τὶς συντρόφισσες τῆς κόρης σου, ποὺ παῖζαν
στὸν ἄμμο· ἐκείνη σὰ θεὰ σφαντοῦσε ἀνάμεσά τους.
Τῆς πρόσπεσα, κι αὐτὴ ἔδειξε περίσσια

ὡς οὐκ ἂν ἔλποιο νεώτερον ἀντιάσαντα
ἐρξέμεν· αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.
ἥ μοι σῖτον ἔδωκεν ἄλις ἠδ᾽ αἴθοπα οἶνον
καὶ λοῦσ᾽ ἐν ποταμῷ καί μοι τάδε εἵματ᾽ ἔδωκε.
ταῦτά τοι ἀχνύμενός περ ἀληθείην κατέλεξα."
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
"ξεῖν᾽, ἦ τοι μὲν τοῦτο γ᾽ ἐναίσιμον οὐκ ἐνόησε
παῖς ἐμή, οὔνεκά σ᾽ οὔ τι μετ᾽ ἀμφιπόλοισι γυναιξὶν
ἦγεν ἐς ἡμέτερον, σὺ δ᾽ ἄρα πρώτην ἱκέτευσας."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ἥρως, μή τοι τοὔνεκ᾽ ἀμύμονα νείκεε κούρην·
ἡ μὲν γάρ μ᾽ ἐκέλευε σὺν ἀμφιπόλοισιν ἕπεσθαι,
ἀλλ᾽ ἐγὼ οὐκ ἔθελον δείσας αἰσχυνόμενός τε,
μή πως καὶ σοὶ θυμὸς ἐπισκύσσαιτο ἰδόντι·
δύσζηλοι γάρ τ᾽ εἰμὲν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων."
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
"ξεῖν᾽, οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ
μαψιδίως κεχολῶσθαι· ἀμείνω δ᾽ αἴσιμα πάντα.
αἰ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ τ᾽ ἐγώ περ,
παῖδά τ᾽ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ᾽ ἐγὼ καὶ

φρονιμάδα,
ὅση δὲν ὅλπιζα ποτὲς ἀπὸ μικρὴ νὰ τύχω·
τὶ οἱ νέοι πάντα ἀστοχασιὲς νὰ κάνουν συνηθᾶνε.
Μοῦ 'δωσε γέμα καὶ λαμπρὸ κρασί, καὶ στὸ ποτάμι
σὰ λούστηκα, μὲ τὰ σκουτιὰ μὲ φόρεσε ποὺ βλέπεις.
Σοῦ τά 'πα ὅλα ἀληθινά, ὅσὸ ἂν πονῆ ἡ ψυχή μου."
Κι ὁ Ἀλκίνος τότες γύρισε καὶ λάλησέ του κι εἶπε·
"Δὲν τὸ στοχάστη ἡ κόρη μου σωστά, ὦ ξένε, ἐτοῦτο,
ποὺ ἴσια σ' ἐμᾶς δὲ σ' ἔφερε μαζὶ μὲ τὶς γυναῖκες,
ἂν κι ἐσὺ πρῶτα πρόσπεσες καὶ τὴν παρακαλοῦσες."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος γυρίζει καὶ τοῦ κρένει·
"Μὴν τὴ μαλώσης, ὦ ἥρωα, τὴν ἄφταιγή σου κόρη·
μοῦ 'λεγε αὐτὴ κατόπι της νὰ ρθῶ μὲ τὶς γυναῖκες,
μὰ ἐγὼ ἀπὸ φόβο καὶ ντροπὴ δὲν ἤθελα νὰ σμίξω,
νὰ μῆ μᾶς δῆς, κι ἀπὸ θυμὸ ἄξαφνα ὁ νοῦς σου ἀνάψη·
γιατὶ εὔκολα ὀργιζόμαστε στὴ γῆς ἐμεῖς οἱ ἀνθρώποι."
Κι ὁ Ἀλκίνος πάλε γύρισε καὶ λάλησέ του κι εἶπε·
"Ἐμένα, ὦ ξένε, ἀνώφελα ἡ ψυχή μου δὲ χολώνει
στὰ στήθια μου· κάλλιο ὅλα μας μὲ μέτρο νά 'ναι πάντα.
Μακάρι ὁ Δίας κι ἡ Ἀθηνᾶ κι ὁ Ἀπόλλωνας νὰ δώσουν
σὰν τέτοιος πού 'σαι στή μορφή, κι ὁμόγνωμος μ' ἐμένα,
νὰ πάρῆς καὶ τὴν κόρη μου καὶ νὰ λεχτῆς γαμπρός μου
κι ἐδῶ νὰ ζῆς· θὰ σοῦ 'δινα καὶ χρήματα

κτήματα δοίην,
εἴ κ᾽ ἐθέλων γε μένοις· ἀέκοντα δέ σ᾽ οὔ τις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
πομπὴν δ᾽ ἐς τόδ᾽ ἐγὼ τεκμαίρομαι, ὄφρ᾽ ἐὺ εἰδῇς,
αὔριον ἔς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
λέξεαι, οἱ δ᾽ ἐλόωσι γαλήνην, ὄφρ᾽ ἂν ἵκηαι
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον ἐστίν,
εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ᾽ Εὐβοίης,
τήν περ τηλοτάτω φάσ᾽ ἔμμεναι, οἵ μιν ἴδοντο
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
ἦγον ἐποψόμενον Τιτυὸν Γαιήιον υἱόν.
καὶ μὲν οἱ ἔνθ᾽ ἦλθον καὶ ἄτερ καμάτοιο τέλεσσαν
ἤματι τῷ αὐτῷ καὶ ἀπήνυσαν οἴκαδ᾽ ὀπίσσω.
εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
νῆες ἐμαὶ καὶ κοῦροι ἀναρρίπτειν ἅλα πηδῷ."
ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
εὐχόμενος δ᾽ ἄρα εἶπεν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"Ζεῦ πάτερ, αἴθ᾽ ὅσα εἶπε τελευτήσειεν ἅπαντα
Ἀλκίνοος· τοῦ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν
ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ᾽ ἱκοίμην."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
κέκλετο δ᾽ Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν

καὶ σπίτι,
ἂν ἔμνησκες αὐτόθελα· μὰ ἂν ὄχι, δὲ σὲ βιάζει
κανένας ἀπ' τοὺς Φαίακες· νὰ μὴν τὸ δώση ὁ Δίας.
Ζέρε πὼς αὔριο συνοδειὰ θὰ βάλω νὰ σὲ πάρουν·
θὰ κοίτεσαι πηγαίνοντας καὶ θὰ γλυκοκοιμᾶσαι,
κι αὐτοὶ τ' ἀτάραγα νερὰ θὰ σκίζουν ὡς νὰ φτάσης
στὴ γῆς σου καὶ στὰ σπίτια σου, κι ὅπου ἀγαπᾶς, μὰ ἂς εἶναι
ἀκόμα πιὸ μακρύτερα τὸ μέρος κι ἀπ' τὴν Εὔβοια,
ποὺ λὲν στὴν ἄκρη βρίσκεται τοῦ κόσμου ὅσοι τὴν εἶδαν
ἀπ' τοὺς δικούς μας, τὸν ξανθὸ Ραδάμανθη σὰν πῆραν,
νὰ πάη νὰ δῇ τὸν Τιτυὸ ποὺ γιὸς εἶναι τῆς Γαίας.
Ἐκεῖ τότε ἤρθαν ὅλοι τους, καὶ δίχως κόπο φτάσαν
μονημερίς, καὶ γύρισαν πίσω στὴ γῆς τους πάλε.
Καὶ θένα δῆς τί πλοῖα λαμπρὰ καὶ τί λεβέντες ἔχω,
ποὺ ἀνατινάζουν τοὺς ἀφροὺς μὲ τοῦ κουπιοῦ τὴν πλάτη."
Σ' αὐτὰ τὰ λόγια χάρηκε ὁ πολύπαθος Δυσσέας,
καὶ τότες προσευκήθηκε κι εἶπε· "Πατέρα Δία,
μακάρι καθετὶς νὰ βγῇ ποὺ λάλησε ὁ Ἀλκίνος·
ἔτσι, στήν τροφοδότρα γῆς ἄσβηστη δόξα νά 'χη,
κι ἐγὼ νὰ τύχω γυρισμὸ στὴν πατρική μου χώρα."
Τέτοια μιλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσό τους·
καὶ πρόσταξε τὶς δοῦλες της ἡ Ἀρήτη ἡ ἀσπροχέρα

δέμνι᾽ ὑπ᾽ αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
πορφύρε᾽ ἐμβαλέειν, στορέσαι τ᾽ ἐφύπερθε τάπητας
χλαίνας τ᾽ ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
αἱ δ᾽ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι·
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
ὦτρυνον δ᾽ Ὀδυσῆα παριστάμεναι ἐπέεσσιν·
"ὄρσο κέων, ὦ ξεῖνε· πεποίηται δέ τοι εὐνή."
ὣς φάν, τῷ δ᾽ ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς
τρητοῖς ἐν λεχέεσσιν ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ·
Ἀλκίνοος δ᾽ ἄρα λέκτο μυχῷ δόμου ὑψηλοῖο,
πὰρ δὲ γυνὴ δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.

στρωσίδια νὰ τοιμάσουνε, νὰ βάλουνε τὰ χράμια
τὰ κερμεζὰ καὶ τὰ ὄμορφα, κι ἀπάνω τους τὰ πεύκια,
καὶ τὶς φλοκάτες τὶς κρουστὲς γιὰ ντύσιμο ἀποπάνω.
Κι οἱ δοῦλες βγήκανε μὲ φῶς στὰ χέρια νὰ τοῦ στρώσουν·
καὶ τὸ κλινάρι τὸ στεριὸ σὰν ἔστρωσαν καὶ φτιάξαν,
πήγανε στάθηκαν κοντὰ στὸν Ὀδυσσέα καὶ τοῦ εἶπαν·
"Σήκου, νὰ πᾶς νὰ κοιμηθῆς, ὦ ξένε, εἶναι στρωμένα."
Εἶπαν, κι ἐκείνου ποθητὸ τοῦ φάνη τὸ κλινάρι.
Τότε ὁ πολυβασάνιστος, ὁ θεῖος Ὀδυσσέας
κοιμήθηκε στὸ τορνευτὸ τῆς αἴθουσας κρεβάτι·
στοῦ παλατιοῦ τ' ἀπόβαθα πλαγιάζει κι ὁ Ἀλκίνος,
καὶ δίπλα του ἡ βασίλισσα τοῦ σιάζει τὰ στρωσίδια.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία θ

Ὀδυσσέως σύστασις πρὸς Φαιάκας.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ὤρνυτ᾽ ἄρ᾽ ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο,
ἂν δ᾽ ἄρα διογενὴς ὦρτο πτολίπορθος Ὀδυσσεύς.
τοῖσιν δ᾽ ἡγεμόνευ᾽ ἱερὸν μένος Ἀλκινόοιο
Φαιήκων ἀγορήνδ᾽, ἥ σφιν παρὰ νηυσὶ τέτυκτο.
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι

Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
κι ὁ Ἀλκίνος ὁ τρανόψυχος σηκώθη ἀπὸ τὸν ὕπνο·
σηκώθη κι ὁ διογέννητος, ὁ κουρσευτὴς Δυσσέας·
κι ὁ Ἀλκίνος ὁ τρανόψυχος τὸν πῆρε στῶ Φαιάκων
τὴν ἀγορά, ποὺ βρίσκονταν παράδιπλα τῶν πλοίων.
Ἤρθαν καὶ κάθισαν ἐκεῖ στὰ σκαλιστὰ

λίθοισι
πλησίον. ἡ δ᾽ ἀνὰ ἄστυ μετῄχετο Παλλὰς Ἀθήνη
εἰδομένη κήρυκι δαΐφρονος Ἀλκινόοιο,
νόστον Ὀδυσσῆι μεγαλήτορι μητιόωσα,

καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον·
"δεῦτ᾽ ἄγε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
ὃς νέον Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα
πόντον ἐπιπλαγχθείς, δέμας ἀθανάτοισιν ὁμοῖος."
ὣς εἰποῦσ᾽ ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
καρπαλίμως δ᾽ ἔμπλητο βροτῶν ἀγοραί τε καὶ ἕδραι
ἀγρομένων· πολλοὶ δ᾽ ἄρ᾽ ἐθηήσαντο ἰδόντες
υἱὸν Λαέρταο δαΐφρονα· τῷ δ᾽ ἄρ᾽ Ἀθήνη
θεσπεσίην κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις
καί μιν μακρότερον καὶ πάσσονα θῆκεν ἰδέσθαι,
ὥς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο
δεινός τ᾽ αἰδοῖός τε καὶ ἐκτελέσειεν ἀέθλους
πολλούς, τοὺς Φαίηκες ἐπειρήσαντ᾽ Ὀδυσῆος.
αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
τοῖσιν δ᾽ Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.

λιθάρια
ἀντάμα οἱ δυό· κι ἡ Ἀθηνᾶ τριγύριζε στὴ χώρα,
μοιασμένη μὲ τὸν κήρυκα τοῦ γνωστικοῦ τοῦ Ἀλκίνου,
κι ἀπὸ ἄντρα σὲ ἄντρα πήγαινε, καὶ καθενοῦ λαλοῦσε,
τοῦ Ὀδυσσέα τὸ γυρισμὸ στὸ νοῦ της μελετώντας·
"Ὄμπρὸς, ἀμέτε, ὦ ἀρχηγοὶ καὶ προεστοὶ τῶ Φαιάκων,
στὴν ἀγορά, ν' ἀκούσετε τὸν ξένο ποὺ ὅτι ἦρθε
στὸν πύργο του περίξυπνου τοῦ Ἀλκίνου, ἀπὸ πελάγη
ριγμένος· σὰν ἀθάνατος τ' ἀνάστημά του μοιάζει.
Αὐτὰ εἶπε, καθενὸς καρδιὰ καὶ νοῦ παρακινώντας.
Κι εὐτὺς γεμίζει ἡ ἀγορὰ καὶ τὰ θρονιὰ ἀπὸ κόσμο·
καὶ θάμαζαν πολλοὶ τὸ γιὸ τηρώντας τοῦ Λαέρτη,
τὸν Ὀδυσσέα τὸ γνωστικό, ποὺ ἡ Ἀθηνᾶ μὲ χάρη
θεόσταλτη περέχα του τὴν κεφαλή, τοὺς ὤμους,
καὶ μέγας κι ἀψηλόκορμος τὸν ἔκανε νὰ δείχνη,
ὥστε σ' ὅλους τοὺς Φαίακες νὰ γίνη ἀγαπημένος,
καὶ φοβερὸς καὶ σεβαστός, καὶ στοὺς πολλοὺς ἀγῶνες
ἄξιος νὰ βγῆ, ποὺ οἱ Φαίακες τοῦ στῆσανε κατόπι.
Καὶ σὰ μαζώχτηκαν ἐκεῖ καὶ κάθισαν ἀντάμα,
ὁ Ἀλκίνος τότε ὁ γνωστικὸς ξαγόρεψέ τους κι εἶπε·
"Ἀκοῦστε με, ἐσεῖς ἀρχηγοὶ καὶ πρῶτοι τῶ Φαιάκων,
τὰ ὅσα μέσα μου ἀγρικῶ νὰ σᾶς τὰ φανερώσω.

ξεῖνος ὅδ', οὐκ οἶδ' ὅς τις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,
ἠὲ πρὸς ἠοίων ἦ ἑσπερίων ἀνθρώπων·
πομπὴν δ' ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
ἡμεῖς δ', ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώμαθ' ἵκηται,
ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
πρωτόπλοον, κούρω δὲ δύω καὶ πεντήκοντα
κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι.
δησάμενοι δ' ἐὺ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
ἔκβητ'· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' ἐὺ πᾶσι παρέξω.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
ἔρχεσθ', ὄφρα ξεῖνον ἐνὶ μεγάροισι φιλέωμεν,
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδὸν
Δημόδοκον· τῷ γάρ ῥα θεὸς πέρι δῶκεν ἀοιδὴν
τέρπειν, ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
σκηπτοῦχοι· κῆρυξ δὲ μετῄχετο θεῖον ἀοιδόν.
κούρω δὲ κρινθέντε δύω καὶ πεντήκοντα
βήτην, ὡς ἐκέλευσ', ἐπὶ θῖν' ἁλὸς

Μοῦ ἦρθε ὁ ἀγνώριστος αὐτὸς καὶ πλανεμένος ξένος,
ἂν ἀπὸ δύση φάνηκε γιά ἀνατολὴ δὲν ξέρω,
καὶ μᾶς ζητάει προβόδωση ποὺ βέβαιο νά 'χη τέλος.
Κι ἐμεῖς ἂς τόνε στείλουμε σὰν τόσους ἄλλους πρὶν του,
γιατὶ κανένας ποὺ ἔρχεται στοὺς πύργους μου δὲ μνήσκει
πολὺν καιρὸ ἀπροβόδωτος καὶ παραπονεμένος.
Μόν' πᾶμε, καὶ στὴ θάλασσα ἂς τραβήξουμε καράβι
καλὸ καὶ πρωτοτάξιδο, κι ἂς διαλεχτοῦν λεβέντες
ἀπ' τὸ λαὸ πενηνταδυό, ποὺ νά 'ναι οἱ πρῶτοι ἀπ' ὅλους.
Σὰν καλοδέστε τὰ κουπιὰ στοὺς πάγκους ξαναβγῆτε,
κι ἐλᾶτε στὰ παλάτια μου νὰ βρῆτε φαγοπότι,
ποὺ ἐγὼ θὰ τό 'χω γιὰ ὅλους σας μὲ βιάση ἑτοιμασμένο.
Αὐτὰ στοὺς νέους λεβέντηδες προστάζω· οἱ ἄλλοι πάλε,
οἱ βασιλέοι, στὰ ὄμορφα παλάτια μου νὰ ἐρθῆτε,
τὸν ξένο νὰ φιλέψουμε· μὴν πῆ κανένας ὄχι·
καὶ τὸ λαμπρὸ τραγουδιστὴ Δημόδοκο καλέστε,
ποὺ τοῦ 'χει δὰ χαρίσει ὁ θεὸς τοῦ τραγουδιοῦ τὸ δῶρο,
νὰ μᾶς γλεντάη μ' ὅσα γλυκὰ τραγούδια βγάζει ὁ νοῦς του."
Αὐτὰ εἶπε, καὶ σηκώθηκε, κι οἱ βασιλέοι κατόπι·
καὶ πῆγε τὸν τραγουδιστὴ τὸ θεῖο ὁ κράχτης νά 'βρη,
καὶ παλληκάρια διάλεξαν πενηνταδυό, ποὺ πῆγαν,
σὰν ποὺ εἶπε, στῆς ἀτρύγητης τῆς

ἀτρυγέτοιο.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
νῆα μὲν οἵ γε μέλαιναν ἁλὸς βένθοσδε ἔρυσσαν,
ἐν δ᾽ ἱστόν τ᾽ ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ,
ἠρτύναντο δ᾽ ἐρετμὰ τροποῖς ἐν δερματίνοισι,
πάντα κατὰ μοῖραν, ἀνά θ᾽ ἱστία λευκὰ πέτασσαν.
ὑψοῦ δ᾽ ἐν νοτίῳ τήν γ᾽ ὤρμισαν· αὐτὰρ ἔπειτα
βάν ῥ᾽ ἴμεν Ἀλκινόοιο δαΐφρονος ἐς μέγα δῶμα.
πλῆντο δ᾽ ἄρ᾽ αἴθουσαί τε καὶ ἔρκεα καὶ δόμοι ἀνδρῶν
ἀγρομένων· πολλοὶ δ᾽ ἄρ᾽ ἔσαν, νέοι ἠδὲ παλαιοί.
τοῖσιν δ᾽ Ἀλκίνοος δυοκαίδεκα μῆλ᾽ ἱέρευσεν,
ὀκτὼ δ᾽ ἀργιόδοντας ὕας, δύο δ᾽ εἰλίποδας βοῦς·
τοὺς δέρον ἀμφί θ᾽ ἔπον, τετύκοντό τε δαῖτ᾽ ἐρατεινήν.
κῆρυξ δ᾽ ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
τὸν πέρι μοῦσ᾽ ἐφίλησε, δίδου δ᾽ ἀγαθόν τε κακόν τε·
ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ᾽ ἡδεῖαν ἀοιδήν.
τῷ δ᾽ ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
κὰδ δ᾽ ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα λίγειαν
αὐτοῦ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι
κῆρυξ· πὰρ δ᾽ ἐτίθει κάνεον καλήν τε τράπεζαν,
πὰρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.

θάλασσας τὴν ἄκρη.
Καὶ στὸ γιαλὸ σὰν κίνησαν, πρὸς τὸ γοργὸ καράβι,
τὸ τράβηξαν καὶ τό 'ριξαν στῆς θάλασσας τὰ βάθια,
καὶ τὸ κατάρτι στήσανε μὲ τὰ πανιά του ἀπάνω,
καὶ τὰ κουπιά τους στοὺς σκαρμοὺς μὲ τὰ λουριὰ τροπῶσαν,
ὅλα σωστά· τὰ ὁλόασπρα πανιὰ κατόπι ἀνοῖξαν,
κι ἀράξαν τὸ πλεούμενο πρὸς τὸ γιαλό· καὶ τότες
κινήσανε στ' ἀρχοντικὸ τοῦ γνωστικοῦ τοῦ Ἀλκίνου.
Γέμισαν ὅλες οἱ αἴθουσες, οἱ αὐλὲς καὶ τὰ χαγιάτια
ἀπὸ ἄντρες ποὺ μαζώχτηκαν, γέροι καὶ νιοὶ περίσσοι.
Δώδεκ' ἀρνιὰ τοὺς ἔσφαξε ὁ Ἀλκίνος, ὀχτὼ χοίρους
ἀσπρόδοντους καὶ βόδια δυὸ λοξόποδα τοὺς κόβει,
ποὺ τά 'γδαραν καὶ τά 'σφαξαν καὶ στρώσανε τραπέζια.
Φέρνει κι ὁ κράχτης τὸν καλὸ τραγουδιστή μαζί του,
ποὺ ἡ Μοῦσα τὸν ἀγάπησε, καὶ τοῦ 'δωσε σμιγμένο
καλὸ μαζὶ μὲ τὸ κακό. Τὸ φῶς του αὐτὴ τοῦ πῆρε,
μὰ τοῦ 'φερε γλυκειὰ φωνή. Θρονὶ ἀργυροδεμένο
στοὺς καλεστοὺς ἀνάμεσα τοῦ στήνει ὁ κράχτης, δίπλα
στύλου ἁψηλοῦ, καὶ σὲ καρφὶ τὴ λύρα του κρεμώντας
ποπάνωθέ του, τοῦ 'δειξε πρὸς ποῦ ν' ἁπλοχερίση.
Καὶ τοῦ 'βαλε τραπέζι ὁμπρὸς μ' ἀπάνω του πανέρι,
καὶ τάσι μὲ καλὸ κρασί, νὰ πιῆ σὰν τοῦ δοκήση.

οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
μοῦσ᾽ ἄρ᾽ ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
οἴμης τῆς τότ᾽ ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε,
νεῖκος Ὀδυσσῆος καὶ Πηλεΐδεω Ἀχιλῆος,
ὡς ποτε δηρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ
ἐκπάγλοις ἐπέεσσιν, ἄναξ δ᾽ ἀνδρῶν Ἀγαμέμνων
χαῖρε νόῳ, ὅ τ᾽ ἄριστοι Ἀχαιῶν δηριόωντο.
ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ᾽ ὑπέρβη λάινον οὐδὸν
χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς.
ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι

κὰκ κεφαλῆς εἴρυσσε, κάλυψε δὲ καλὰ πρόσωπα·
αἴδετο γὰρ Φαίηκας ὑπ᾽ ὀφρύσι δάκρυα λείβων.
ἦ τοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδός,
δάκρυ ὀμορξάμενος κεφαλῆς ἄπο φᾶρος ἔλεσκε
καὶ δέπας ἀμφικύπελλον ἑλὼν σπείσασκε θεοῖσιν·

αὐτὰρ ὅτ᾽ ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν
Φαιήκων οἱ ἄριστοι, ἐπεὶ τέρποντ᾽ ἐπέεσσιν,
ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα

Τὰ χέρια τότε ὅλοι ἅπλωναν στὰ καλοφάγια ὀμπρός τους.
Κι ἀπὸ πιοτὸ κι ἀπὸ φαΐ σὰ φράνθηκε ἡ καρδιά τους,
τὸν ψάλτη ἡ Μοῦσα κίνησε νὰ ψάλη ἀντρῶνε δόξες,
ἀπὸ τραγούδι ποὺ ἔφτανε ἡ φήμη του στὰ οὐράνια,

τοῦ Ὀδυσσέα τὸ μάλωμα καὶ τοῦ Ἀχιλλέα, σὰν πιάσαν
μεγάλο λογομαχητὸ πὰς σὲ ἱερὴ θυσία
καὶ μέσα του ὁ Ἀγαμέμνονας χαιρότανε ὁ μεγάλος
ποὺ λογοφέρνανε μαζὶ τῶν Ἀχαιῶν οἱ πρῶτοι.
Τὶ τέτοια τοῦ προφήτευε ὁ Ἀπόλλωνας ὁ Φοῖβος,

τὸ πέτρινο σὰν πέρασε κατώφλι τῆς Πυθώνας,
νὰ μάθη τὰ μελλούμενα· κι ἀρχίσανε οἱ φουρτοῦνες
Τρωαδιτῶν καὶ Δαναῶν, κατὰ τοῦ Δία τὸ θέλει.
Αὐτὰ τραγούδαε ὁ ξακουστὸς ὁ ψάλτης· κι ὁ Ὀδυσσέας
τὸ πορφυρένιο φόρεμα μὲ τὰ δυὸ χέρια σέρνει
στὴν κεφαλή, καὶ τ' ὥριο του τὸ πρόσωπο σκεπάζει·
τὶ ντράπηκε τὰ δάκρυα οἱ Φαίακες νὰ τοῦ βλέπουν.
Κι ὅταν ὁ ψάλτης ὁ θεϊκὸς σταμάταγε, ὁ Δυσσέας
τὰ δάκρυα του σφουγγίζοντας ξεσκέπαζε τὴν ὄψη,
κι ἀπὸ διπλόχερο ἔσταζε καυκὶ στοὺς Ὀλυμπήσους.
Μὰ πάλε σὰν ξανάρχιζε, καὶ τὸν παρακινοῦσαν
οἱ ἀρχόντοι, ποὺ ἀγαπούσανε τοῦ τραγουδιοῦ τὴ γλύκα,
τὴν κεφαλὴ σκεπάζοντας ξαναθρηνοῦσε

καλυψάμενος γοάασκεν.
ἔνθ᾽ ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ᾽ ἠδ᾽ ἐνόησεν
ἥμενος ἄγχ᾽ αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσεν.
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες.
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐίσης
φόρμιγγός θ᾽, ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ·
νῦν δ᾽ ἐξέλθωμεν καὶ ἀέθλων πειρηθῶμεν
πάντων, ὡς χ᾽ ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ᾽ ἄλλων
πύξ τε παλαιμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο.
κὰδ δ᾽ ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα λίγειαν,
Δημοδόκου δ᾽ ἕλε χεῖρα καὶ ἔξαγεν ἐκ μεγάροιο
κῆρυξ· ἦρχε δὲ τῷ αὐτὴν ὁδὸν ἥν περ οἱ ἄλλοι
Φαιήκων οἱ ἄριστοι, ἀέθλια θαυμανέοντες.
βὰν δ᾽ ἴμεν εἰς ἀγορήν, ἅμα δ᾽ ἕσπετο πουλὺς ὅμιλος,
μυρίοι· ἂν δ᾽ ἵσταντο νέοι πολλοί τε καὶ ἐσθλοί.
ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλος καὶ Ἐλατρεύς,
Ναυτεύς τε Πρυμνεύς τε καὶ Ἀγχίαλος καὶ Ἐρετμεύς,
Ποντεύς τε Πρωρεύς τε, Θόων Ἀναβησίνεώς τε

ἐκεῖνος.
Σ' ὅλους τοὺς ἄλλους ἄφαντα τὰ δάκρυα του κυλοῦσαν,
καὶ μόνε ὁ Ἀλκινος τά 'νιωσε καὶ τὰ εἶδε, ποὺ σιμά του
καθόταν, καὶ τὸν ἄκουγε νὰ βαριαναστενάζη.
Κι εὐτὺς στοὺς Φαίακες γυρνάει τοὺς ναυτικοὺς καὶ κρένει·
"Ἀκοῦτε, τῶ Φαιάκωνε ὦ προεστοὶ κι ἀρχόντοι·
τώρα ποὺ ἐδῶ χαρήκαμε τὸ μοιραστὸ τραπέζι,
καὶ τὴ γλυκειὰ συντρόφισσα τῶν τραπεζιῶν, τὴ λύρα,
ἂς βγοῦμε γιὰ νὰ παίξουμε, καὶ σ' ὅλους, τοὺς ἀγῶνες,
ποὺ νὰ δηγέται ὁ ξένος μας στοὺς φίλους καὶ δικούς του,
σὰν πάη στὴ γῆς του, πόσο ἐμεῖς τοὺς ἄλλους ξεπερνοῦμε
στὸ πόλεμο καὶ στὴ γροθιά, στὸ πήδημα, στὰ πόδια."
Αὐτὰ σὰν εἶπε, κίνησε, κι οἱ ἄλλοι ἀκολουθοῦσαν.
Κι ὁ κράχτης ξανακρέμασε τὴ βροντερὴ τὴ λύρα,
καὶ τὸ Δημόδοκο ἔβγαλε, κρατώντας του τὸ χέρι,
ὄξω ποὺ οἱ ἄλλοι διάβαιναν, οἱ πρῶτοι τῶ Φαιάκων,
νὰ δοῦνε τ' ἀγωνίσματα καὶ νὰ τὰ σεριανίσουν.
Καὶ πήγανε στὴ ἀγορὰ μὲ πλῆθος λαὸ κατόπι·
ἐκεῖ πολλοὶ σηκώθηκαν καὶ διαλεχτοὶ λεβέντες·
πετάχτηκαν Ἀκρόνεος, Ὠκύαλος, Ἐλατρέας·
Ναυτέας, Πρυμέας ὕστερα κι Ἀχίαλος κι Ἐρετμέας,
Ποντέας κι Ἀναβησίνεος, Θόωνας καὶ Πλωρέας

Ἀμφίαλός θ', υἱὸς Πολυνήου Τεκτονίδαο·
ἂν δὲ καὶ Εὐρύαλος, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Ναυβολίδης, ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
πάντων Φαιήκων μετ' ἀμύμονα Λαοδάμαντα.
ἂν δ' ἔσταν τρεῖς παῖδες ἀμύμονος Ἀλκινόοιο,
Λαοδάμας θ' Ἅλιός τε καὶ ἀντίθεος Κλυτόνηος.
οἱ δ' ἦ τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσι.
τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἱ δ' ἅμα πάντες
καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο·
τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων·
ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιόνοιιν,
τόσσον ὑπεκπροθέων λαοὺς ἵκεθ', οἱ δ' ἐλίποντο.
οἱ δὲ παλαιμοσύνης ἀλεγεινῆς πειρήσαντο·
τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους.
ἄλματι δ' Ἀμφίαλος πάντων προφερέστατος ἦεν·
δίσκῳ δ' αὖ πάντων πολὺ φέρτατος ἦεν Ἐλατρεύς,
πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς πάϊς Ἀλκινόοιο.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἐτέρφθησαν φρένα ἀέθλοις,
τοῖς ἄρα Λαοδάμας μετέφη πάϊς Ἀλκινόοιο·
"δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα εἴ τιν' ἄεθλον
οἶδέ τε καὶ δεδάηκε. φυήν γε μὲν οὐ κακός ἐστι,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας

κι ὁ Ἀμφίαλος τοῦ Πολύνεου τοῦ Τεχτονίδη ὁ γόνος·
σηκώθηκε κι ὁ Εὐρύαλος σὰν ἀντροφόνος Ἄρης,
κι ὁ Ναυβολίδης στὸ κορμὶ καὶ στὴ μορφιὰ περνώντας
ὅλους τοὺς Φαίακες, ἐξὸν τὸν ὡριο Λαοδάμα.
Σηκώθηκαν κι οἱ τρεῖς οἱ γιοὶ τοῦ παινεμένου Ἀλκίνου,
ὁ ἰσόθεος Κλυτόνεος, ὁ Ἅλιος κι ὁ Λαοδάμας.
Καὶ πρῶτα βουληθήκανε στὸ τρέξιμο νὰ βγοῦνε.
Ἀπὸ τὴ στήλη χούμηξαν ὅλοι μαζὶ μὲ φούρια,
καὶ σκόνη σήκωναν καθὼς πετούσανε στὸ σιάδι.
Κι ὁ ἄξιος ὁ Κλυτόνεος στὸ τρέξιμο ἦρθε πρῶτος·
κι ὅσο μουλάρια ὀργώνουνε σ' ἄσπαρτους τόπους μάκρος,
τόσο στὸ πλῆθος ζύγωσε, κι ἐκείνους πίσω ἀφῆκε.
Κατόπι παραβγήκανε καὶ στὴ βαρειὰ παλαίστρα,
καὶ πρῶτος φάνη ὁ Εὐρύαλος ἀπ' ὅλους τοὺς λεβέντες.
Στὸ πήδημα ὁ Ἀμφίαλος ξεπέρασε τοὺς ἄλλους,
στὴν πέτρα ἀπ' ὅλους κρίθηκε παράξιος ὁ Ἐλατρέας,
κι ὁ Λαοδάμας, ὁ καλὸς τοῦ Ἀλκίνου ὁ γιός, στὸ γρόθο·
καὶ σάνε καλογλέντησαν μὲ τοὺς ἀγῶνες ὅλοι,
τοῦ Ἀλκίνου ὁ γιὸς τὰ λόγια αὐτὰ τοὺς εἶπε, ὁ Λαοδάμας·
"Ἀδέρφια, ἂς τὸν ρωτήξουμε τὸν ξένο ἐδῶ ἂν κατέχη
κανένα ἀγώνα, τὶ κακὸ κορμὶ θαρρῶ δὲν ἔχει·
τὰ χέρια, οἱ ἄντζες, τὰ μεριά, κι ὁ σβέρκος ὁ

ὕπερθεν
αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἤβης
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν·
οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
ἄνδρα γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη."
τὸν δ᾽ αὖτ᾽ Εὐρύαλος ἀπαμείβετο φώνησέν τε·
"Λαοδάμα, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες.
αὐτὸς νῦν προκάλεσσαι ἰὼν καὶ πέφραδε μῦθον."
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσ᾽ ἀγαθὸς πάϊς Ἀλκινόοιο,
στῆ ῥ᾽ ἐς μέσσον ἰὼν καὶ Ὀδυσσῆα προσέειπε·
"δεῦρ᾽ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ᾽ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρα κ᾽ ἔῃσιν,
ἢ ὅ τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑῇσιν.
ἀλλ᾽ ἄγε πείρησαι, σκέδασον δ᾽ ἀπὸ κήδεα θυμοῦ.
σοὶ δ᾽ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
νηῦς τε κατείρυσται καὶ ἑπαρτέες εἰσὶν ἑταῖροι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Λαοδάμα, τί με ταῦτα κελεύετε κερτομέοντες;
κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἢ περ ἄεθλοι,
ὃς πρὶν μὲν μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα,
νῦν δὲ μεθ᾽ ὑμετέρῃ ἀγορῇ νόστοιο χατίζων

γερός του
δείχνουν περίσσια δύναμη· μηδὲ του λείπει ἡ νιότη,
μόνε ποὺ πάθια ἀρίθμητα τὸν ἔχουν τσακισμένο.
Τὶ σὰν τὴν πικροθάλασσα κακὸ δὲν ἔχει κι ἄλλο
νὰ καταλῆ τὸν ἄνθρωπο, κι ἂς εἶναι σιδερένιος."
Καὶ τότ' ὁ Εὐρύαλος γυρνᾶ κι αὐτὰ τοῦ ἀπολογιέται·
"Λαοδάμα, αὐτὸ πολὺ σωστὰ μᾶς τό 'πες. Ἄμε τώρα,
κι ὁ ἴδιος σου μιλώντας του σὲ ἀγώνα κάλεσέ τον."
Αὐτὸ σὰν ἄκουσε ὁ καλὸς ὁ γιόκας τοῦ Ἀλκίνου,
στὴ μέση πῆγε στάθηκε, καὶ μίλαε τοῦ Δυσσέα·
"Ἔλα, πατέρα ξενικέ, νὰ βγῆς κι ἐσὺ σὲ ἀγώνα,
ἂν ξέρης, καὶ μοῦ φαίνεσαι πὼς ξέρεις ἀπὸ ἀγῶνες·
τὶ δόξα μεγαλύτερη στὴ ζωὴ δὲν ἔχει ὁ ἄντρας,
ἀπ' ὅση τὰ ἔργα τῶ χεριῶν καὶ τῶν ποδιῶν τοῦ φέρνουν.
Ἔλα, ἀγωνίσου, σκόρπισε τὶς ἔννοιες ἀπ' τὸ νου σου,
τὶ δὲ θ' ἀργήση ἐσένα πιὰ πολὺ τὸ γυρισμά σου·
καὶ τὸ καράβι σου ἕτοιμο, κι οἱ διαλεχτοὶ συντρόφοι."
Τότε γυρνᾶ ὁ πολύβουλος Δυσσέας κι ἀπολογιέται·
"Τί μὲ πειράζετε μ' αὐτὰ ποὺ λέτε, ὦ Λαοδάμα;
Ἔννοιες περίσσιες ἔχω ἐγὼ στὸ νοῦ μου, κι ὄχι ἀγῶνες,
ποὺ πάμπολλα εἶδα κι ἔπαθα, κι ἐδῶ στὴ σύναξή σας
ποὺ ἔφτασα τώρα κάθουμαι, τὸ βασιλιά σας κι ὅλους

ἦμαι, λισσόμενος βασιλῆά τε πάντα τε δῆμον."
τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο νείκεσέ τ' ἄντην·
"οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐίσκω
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῷ, ὅς θ' ἅμα νηὶ πολυκλήιδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὀδαίων
κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας."
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"ξεῖν', οὐ καλὸν ἔειπες· ἀτασθάλῳ ἀνδρὶ ἔοικας.
οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἂρ φρένας οὔτ' ἀγορητύν.
ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν.
ἄλλος δ' αὖ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν,
ἀλλ' οὔ οἱ χάρις ἀμφιπεριστέφεται ἐπέεσσιν,
ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές, οὐδέ κεν ἄλλως
οὐδὲ θεὸς τεύξειε, νόον δ' ἀποφώλιός ἐσσι.
ὤρινάς μοι θυμὸν ἐνὶ στήθεσσι

παρακαλώντας γυρισμὸ πατρίδας νὰ μοῦ δώσουν."
Καὶ τότες τὸν ἀντίσκοψε ὁ Εὐρύαλος καὶ τοῦ εἶπε·
"Πολύξερος ἀλήθεια ἐσὺ δὲ μοῦ σφαντᾶς, ὦ ξένε,
στὰ τόσα τ' ἀγωνίσματα ποὺ συνηθίζει ὁ κόσμος.
Μόνε σὰν κάποιος φαίνεσαι ποὺ μὲ καράβι βγαίνει,
κι ὁρίζει ναῦτες ποὺ καλοὶ περνοῦν πραματευτάδες,
κι ὁ νοῦς του πάντα στὸ φορτιό, τὸ μάτι στὴν πραμάτεια,
κέρδη ζητώντας ἁρπαχτά· ὄχι, ἀθλητὴς δὲ μοιάζεις."
Τότες λοξὰ κοιτώντας τον τοῦ κάνει ὁ Ὀδυσσέας·
"Ἄσκημα τά 'πες, φίλε, αὐτά, καὶ φαφλατὰς μοῦ μοιάζεις.
Σ' ὅλους τοὺς ἄντρες οἱ θεοὶ κάθε καλὸ δὲ δίνουν,
οὔτε ὄψη κι οὔτε καύκαλα, κι οὔτε μιλιὰ καὶ γλῶσσα.
Μόνε ἄλλος ἄντρας στὴ μορφιὰ ἀδικήθηκε, κι ὡς τόσο
στὰ τόσα τ' ἀγωνίσματα ποὺ συνηθίζει ὁ κόσμος.
Μόνε σὰν κάποιος φαίνεσαι ποὺ μὲ καράβι βγαίνει,
κι ὁρίζει ναῦτες ποὺ καλοὶ περνοῦν πραματευτάδες,
κι ὁ νοῦς του πάντα στὸ φορτιό, τὸ μάτι στὴν πραμάτεια,
κέρδη ζητώντας ἁρπαχτά· ὄχι, ἀθλητὴς δὲ μοιάζεις."
Τότες λοξὰ κοιτώντας τον τοῦ κάνει ὁ Ὀδυσσέας·
"Ἄσκημα τά 'πες, φίλε, αὐτά, καὶ φαφλατὰς μοῦ μοιάζεις.
Σ' ὅλους τοὺς ἄντρες οἱ θεοὶ κάθε καλὸ δὲ δίνουν,
οὔτε ὄψη κι οὔτε καύκαλα, κι οὔτε μιλιὰ καὶ γλῶσσα.
Μόνε ἄλλος ἄντρας στὴ μορφιὰ ἀδικήθηκε, κι ὡς τόσο
ὁ θεὸς μὲ λόγια τὴ μορφὴ στολίζει τέτοιου ἀνθρώπου,
καὶ τὸν θωροῦν καὶ χαίρουνται ποὺ εὐκολοσυντυχαίνει
γλυκὰ καὶ συσταζούμενα, καὶ λάμπει μὲς στοὺς ἄλλους,
καὶ τὸν τηρᾶνε σὰ θεὸ ἀπ' τὴ χώρα σὰ διαβαίνη.
Κι ἀλλονοῦ πάλε τὸ κορμὶ μὲ ἀθάνατου λὲς μοιάζει,
ὅμως τὰ λόγια του αὐτουνοῦ δὲν τὰ στολίζει ἡ χάρη.
Ἔτσι κι ἐσὺ λαμπρὸ κορμὶ μᾶς δείχνεις, ποὺ δὲν μπόρειε
θεὸς νὰ πλάση ἀνώτερο, κι ὅμως ὁ νοῦς σου κλούβιος.
Μοῦ τάραξες τὰ μέσα μου μὲ τ' ἄπρεπά

φίλοισιν
εἰπὼν οὐ κατὰ κόσμον. ἐγὼ δ᾽ οὐ νῆις ἀέθλων,
ὡς σύ γε μυθεῖαι, ἀλλ᾽ ἐν πρώτοισιν ὀίω
ἔμμεναι, ὄφρ᾽ ἤβῃ τε πεποίθεα χερσί τ᾽ ἐμῇσι.
νῦν δ᾽ ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων.
ἀλλὰ καὶ ὥς, κακὰ πολλὰ παθών, πειρήσομ᾽ ἀέθλων·
θυμοδακὴς γὰρ μῦθος, ἐπώτρυνας δέ με εἰπών."

ἦ ῥα καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον
μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ
ἢ οἵῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισι.
τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός,
βόμβησεν δὲ λίθος· κατὰ δ᾽ ἔπτηξαν ποτὶ γαίῃ
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες,
λᾶος ὑπὸ ῥιπῆς· ὁ δ᾽ ὑπέρπτατο σήματα πάντων
ῥίμφα θέων ἀπὸ χειρός. ἔθηκε δὲ τέρματ᾽ Ἀθήνη
ἀνδρὶ δέμας ἐικυῖα, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"καί κ᾽ ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
ἀμφαφόων, ἐπεὶ οὔ τι μεμιγμένον ἐστὶν ὁμίλῳ,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ᾽ ἄεθλον·
οὔ τις Φαιήκων τόδε γ᾽ ἵξεται, οὐδ᾽ ὑπερήσει."
"ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,

σου λόγια,
τὶ ἐγὼ δὲν εἶμαι ἀνήξερος ἀπὸ καλοὺς ἀγῶνες,
σὰν ποὺ μᾶς εἶπες τώρα δά, μόν' ἤμουν ἀπ' τοὺς πρώτους,
στὴ νιότη καὶ στὰ χέρια μου σὰν εἶχα μπιστοσύνη.
Τώρα ὅμως πόνοι μὲ κρατοῦν σκληροί, γιατὶ ἔχω πάθει
μύρια δεινὰ στὶς θάλασσες καὶ στοὺς φριχτοὺς πολέμους.
Μὰ πάλε, ὅσα κι ἂν ἔπαθα, θὰ μπῶ μὲς στὸν ἀγώνα,
τὶ ὁ λόγος σου ὁ πειραχτικὸς μοῦ κέντησε τὰ σπλάχνα."
Εἶπε, χωρὶς νὰ γυμνωθῇ πετιέται, ἁρπάει λιθάρι
τρανό, χοντρό, βαρύτερο πολὺ ἀπὸ τὰ λιθάρια
ποὺ ρίχτανε σὰν παίζανε οἱ Φαίακες συνατοί τους.
Τὸ στρίβει, καὶ τὸ σφεντονάει μὲ τὴ βαρειά του χέρα.
Βούϊξ' αὐτό, κι οἱ Φαίακες στὴ γῆς ἀπ' τὴν ὁρμή του
σκύψανε, οἱ μακρόλαμνοι καὶ θαλασσακουσμένοι·
Πέταξ', ἡ πέτρα ἀπάνωθε ἀπ' τῶν ἄλλων τὰ σημάδια,
γοργογυρνώντας· ἡ Ἀθηνᾶ σημάδεψε τὴν ἄκρη,
μὲ ἄντρα στὴν ὄψη μοιάζοντας, καὶ φώναξέ τον κι εἶπε·

"Τέτοιο σημάδι καὶ τυφλὸς ψάχνοντας θά 'βρη, ὦ ξένε·
μὲ τ' ἄλλα αὐτὸ δὲ σμίχτηκε, μόν' εἶναι πρῶτο πρῶτο,
καὶ μὴ φοβᾶσαι· Φαίακας κανένας δὲν τὸ φτάνει."

Ἔτσ' εἶπε· καὶ ὁ πολύπαθος τὸ χάρηκε Ὀδυσσέας,

χαὶρων, οὔνεχ᾽ ἑταῖρον ἐνηέα λεῦσσ᾽ ἐν ἀγῶνι.
καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσιν·
"τοῦτον νῦν ἀφίκεσθε, νέοι. τάχα δ᾽ ὕστερον ἄλλον
ἥσειν ἢ τοσσοῦτον ὀίομαι ἢ ἔτι μᾶσσον.
τῶν δ᾽ ἄλλων ὅτινα κραδίη θυμός τε κελεύει,
δεῦρ᾽ ἄγε πειρηθήτω, ἐπεί μ᾽ ἐχολώσατε λίην,
ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν, οὔ τι μεγαίρω,
πάντων Φαιήκων, πλήν γ᾽ αὐτοῦ Λαοδάμαντος.
ξεῖνος γάρ μοι ὅδ᾽ ἐστί· τίς ἂν φιλέοντι τὶ αὐτὸς μὲ φιλοξένησε· μὲ φίλο ποιός τὰ μάχοιτο;
ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ,
ὅς τις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων
δήμῳ ἐν ἀλλοδαπῷ· ἕο δ᾽ αὐτοῦ πάντα κολούει.
τῶν δ᾽ ἄλλων οὔ πέρ τιν᾽ ἀναίνομαι οὐδ᾽ ἀθερίζω,
ἀλλ᾽ ἐθέλω ἴδμεν καὶ πειρηθήμεναι ἄντην.
πάντα γὰρ οὐ κακός εἰμι, μετ᾽ ἀνδράσιν ὅσσοι ἄεθλοι·
εὖ μὲν τόξον οἶδα ἐύξοον ἀμφαφάασθαι·
πρῶτός κ᾽ ἄνδρα βάλοιμι ὀιστεύσας ἐν ὁμίλῳ
ἀνδρῶν δυσμενέων, εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν.
οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ
δήμῳ ἔνι Τρώων, ὅτε τοξαζοίμεθ᾽ Ἀχαιοί.
τῶν δ᾽ ἄλλων ἐμέ φημι πολὺ

ποὺ βρῆκε μὲς στὴ σύναξη καλόβουλο ἕνα φίλο,
καὶ μ' ἀλαφρότερη καρδιὰ τότε εἶπε τῶ Φαιάκων·
"Φτάστε με τώρα αὐτοῦ, παιδιά, κι ὕστερα ρίχτω κι ἄλλο
σὲ τόσο μάκρος ἀπ' ἐδῶ, ἢ καὶ ,παρέκει ἀκόμα.
Κι ἀπὸ τοὺς ἄλλους ὅποιονα βαστάει τώρα ἡ καρδιά του,
ἂς βγῆ μαζί μου, τὶ ἡ χολὴ μοῦ ἀνέβηκε στ' ἀλήθεια,
σὲ γρόθο, ἢ καὶ στὸ πάλαιμα, στὸ τρέξιμο, ὅ,τι θέλει·
ὅλοι ἂς ἐρθοῦν οἱ Φαίακες μὰ ὄχι ὁ Λαοδάμας,
ξεῖνος γάρ μοι ὅδ᾽ ἐστί· τίς ἂν φιλέοντι τὶ αὐτὸς μὲ φιλοξένησε· μὲ φίλο ποιός τὰ βαζει;
Κλούβιος ἀλήθεια ὁ ἄνθρωπος καὶ τιποτένιος εἶναι
ποὺ μ' ἕναν ποὺ τὸν φίλεψε παλέματα γυρεύει
σὲ ξένον τόπο, καὶ ζαβὰ τοῦ βγαίνουν ὅλα ἐτούτου.
Τοὺς ἄλλους δὲν ἀρνιοῦμαι τους μηδ' ἀψηφῶ κανέναν,
μόν' νὰ τοὺς μάθω λαχταρῶ καὶ νὰ τοὺς δοκιμάσω.
Μὲ ἀνθρώπους ποὺ ἀγωνίζουνται κακὸς ἐγὼ δὲν εἶμαι.
Ξέρω νὰ πιάνω τεχνικὰ καλόφτιαστο δοξάρι,
καὶ πρῶτος ρίχνοντας χτυπῶ μέσα σ' ὀχτρῶν ἀσκέρι
ὅποιον ματιάσω, δίπλα μου κι ἂς στέκουνται ὅσοι θένε
συντρόφοι, καταπάνω τους σαΐτες νὰ τραβᾶνε.
Ὁ Φιλοχτήτης μοναχὰ μὲ πέρναε στὸ δοξάρι,
σὰν παραβγαίναμ' οἱ Ἀχαιοὶ στὴ χώρα τῆς Τρωάδας.
Κι ἀπὸ τοὺς ἄλλους λέω ἐγὼ ἀνώτερος

προφερέστερον εἶναι,
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,
οὔθ' Ἡρακλῆι οὔτ' Εὐρύτῳ Οιχαλιῆι,
οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων.
τῷ ῥα καὶ αἶψ' ἔθανεν μέγας Εὔρυτος, οὐδ' ἐπὶ γῆρας
ἵκετ' ἐνὶ μεγάροισι· χολωσάμενος γὰρ Ἀπόλλων
ἔκτανεν, οὕνεκά μιν προκαλίζετο τοξάζεσθαι.
δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀιστῷ.
οἷοισιν δείδοικα ποσὶν μή τίς με παρέλθῃ
Φαιήκων· λίην γὰρ ἀεικελίως ἐδαμάσθην
κύμασιν ἐν πολλοῖς, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα
ἦεν ἐπηετανός· τῷ μοι φίλα γυῖα λέλυνται."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ἀλκίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
"ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
χωόμενος ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔ τις ὄνοιτο,
ὅς τις ἐπίσταιτο ἦσι φρεσὶν ἄρτια βάζειν·
ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλῳ
εἴπῃς ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισι

πὼς εἶμαι,
ὅσοι στὸν κόσμο ζοῦν θνητοὶ σιταροφάγοι τώρα.
Ὅμως δὲν ἤθελα νὰ βγῶ μὲ τοὺς παλιοὺς ἐκείνους,
τὸν Ἡρακλῆ ἢ τὸν Εὔρυτο, τῆς Οίχαλίας τὸ ρήγα,
ποὺ δύνονταν καὶ μὲ θεούς νὰ βγοῦνε στὸ δοξάρι.
Γι' αὐτὸ νωρὶς ἀπέθανε κι ὁ Εὔρυτος ὁ μέγας,
καὶ γερατειὰ δὲν ἔφτασε· ὁ Ἀπόλλωνας τοῦ ὀργίστη,
καὶ τόνε σκότωσε, ποὺ αὐτὸς στὴ σαΐτα τὸν καλοῦσε.
Καὶ ρίχνω τὸ κοντάρι ἐγὼ ὅσο ἄλλος μηδὲ σαΐτα.

Μόνε στὰ πόδια Φαίακας θὰ μὲ ξεπέρναγε ἴσως,
τὶ μ' ἔχουν ἄσκημα πολὺ τὰ πέλαα δαμασμένο·
περνώντας δίχως νοιάσιμο χαυνώθηκα στὰ πλοῖα."

Μιλοῦσε αὐτά, καὶ σύχαζαν οἱ ἄλλοι σωπασμένοι.
Μονάχα ὁ Ἀλκίνος γύρισε καὶ λάλησέ του κι εἶπε·
"Ἐμᾶς αὐτὰ δὲ μᾶς λυποῦν ποὺ συντυχαίνεις, ξένε·
μόνε νὰ δείξης σὲ ὅλους μας ζητᾶς τὴν λεβεντιά σου,
ἀπὸ θυμό, ποὺ αὐτὸς ἐδῶ σὲ πρόσβαλε ὀμπροστά μας,
ποὺ ἄλλοτες νὰ μὴν μπορῆ θνητὸς νὰ ψεγαδιάση
τὴ λεβεντιά σου, ἂν ἔχη νοῦ σωστα νὰ συλλογιέται.
Ἄκου με τώρα τί θὰ πῶ, γιὰ νὰ τὰ λὲς καὶ σ' ἄλλους
ἡρώους στὰ παλάτια σου σὰν εἶστε σὲ τραπέζι

δαινύῃ παρὰ σῇ τ᾽ ἀλόχῳ καὶ σοῖσι τέκεσσιν,
ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ ἔτι πατρῶν.
οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι,
αἰεὶ δ᾽ ἡμῖν δαίς τε φίλη κίθαρις τε χοροί τε
εἵματά τ᾽ ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
ἀλλ᾽ ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
παίσατε, ὡς χ᾽ ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ᾽ ἄλλων
ναυτιλίῃ καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ.
Δημοδόκῳ δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν."
ὣς ἔφατ᾽ Ἀλκίνοος θεοείκελος, ὦρτο δὲ κῆρυξ
οἴσων φόρμιγγα γλαφυρὴν δόμου ἐκ βασιλῆος.
αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν
δήμιοι, οἳ κατ᾽ ἀγῶνας ἐὺ πρήσσεσκον ἅπαντα,
λείηναν δὲ χορόν, καλὸν δ᾽ εὖρυναν ἀγῶνα.
κῆρυξ δ᾽ ἐγγύθεν ἦλθε φέρων φόρμιγγα λίγειαν
Δημοδόκῳ· ὁ δ᾽ ἔπειτα κί᾽ ἐς μέσον· ἀμφὶ δὲ κοῦροι
πρωθῆβαι ἵσταντο, δαήμονες ὀρχηθμοῖο,
πέπληγον δὲ χορὸν θεῖον ποσίν.

μὲ σύγκοιτη καὶ μὲ παιδιὰ τριγύρω, καὶ θυμᾶσαι
τὴ λεβεντιά μας, κι ὅσα ἐμᾶς ἔχει ὁρισμένα ὁ Δίας
ἔργα νὰ κάνουμε ἀπ' ἀρχῆς, ἀπ' τὰ προγονικά μας.
Ἐμεῖς καλοὶ ἂ δὲν εἴμαστε στὸ γρόθο ἢ στὴν παλαίστρα,
στὸ τρέξιμο ὅμως πεταχτοί, καὶ στὰ καράβια πρῶτοι·
καὶ μᾶς ἀρέσουνε χοροί, κιθάρες, φαγοπότια,
ἀπανωτὲς ρουχαλλεξιές, ζεστὰ λουτρά, κλινάρια.
Καὶ τώρα ἐλᾶτε, οἱ Φαίακες οἱ πιὸ ἄξιοι χορευτάδες,
χορέψτε, ὁ ξένος γιὰ νὰ λέη στοὺς φίλους καὶ δικούς του,
πίσω σὰν πάη, ὡς πόσο ἐμεῖς τοὺς ἄλλους ξεπερνᾶμε
στ' ἀρμένισμα καὶ στὸ χορό, στὰ πόδια, στὸ τραγούδι.
Κι ἀμέσως τὴ γλυκόχορδη τὴ λύρα ἂς τρέξη κάποιος
νὰ φέρη τοῦ Δημόδοκου, 'πομέσα ἀπ' τὸ παλάτι."
Ἔτσι μιλάει ὁ θεόμοιαστος ὁ Ἀλκίνος, καὶ πετιέται
ὁ κήρυκας τὴ βαθουλὴ τὴ λύρα ἐκεῖ νὰ φέρη.
Κατόπι ἐννιὰ σηκώθηκαν κριτάδες διαλεγμένοι
νὰ κυβερνοῦν μὲ τάξη τοὺς ἀγῶνες·
τὸ χοροστάσι ἰσιώσανε, κι ἀνοίξανε τὸ γῦρο,
Φέρνει τοῦ ψάλτη ὁ κήρυκας τὴ βροντερὴ τὴ λύρα,
καὶ πῆγε αὐτὸς καταμεσίς, κι ὁλόγυρά του νέοι
στεκόντανε ἰδρομούστακοι, τεχνῖτες χορευτάδες,
κι ἀρχίσαν θεϊκὸ χορό· καὶ κοίταγε ὁ

αὐτὰρ Ὀδυσσεὺς
μαρμαρυγὰς θηεῖτο ποδῶν, θαύμαζε δὲ θυμῷ.
αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν
ἀμφ᾽ Ἄρεος φιλότητος εὐστεφάνου τ᾽ Ἀφροδίτης,
ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι
λάθρῃ, πολλὰ δ᾽ ἔδωκε, λέχος δ᾽ ᾐσχυνε καὶ εὐνὴν
Ἡφαίστοιο ἄνακτος. ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν
Ἥλιος, ὅ σφ᾽ ἐνόησε μιγαζομένους φιλότητι.
Ἥφαιστος δ᾽ ὡς οὖν θυμαλγέα μῦθον ἄκουσε,
βῆ ῥ᾽ ἴμεν ἐς χαλκεῶνα κακὰ φρεσὶ βυσσοδομεύων,
ἐν δ᾽ ἔθετ᾽ ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς
ἀρρήκτους ἀλύτους, ὄφρ᾽ ἔμπεδον αὖθι μένοιεν.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε δόλον κεχολωμένος Ἄρει,
βῆ ῥ᾽ ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνι᾽ ἔκειτο,
ἀμφὶ δ᾽ ἄρ᾽ ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντῃ·
πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο,
ἠύτ᾽ ἀράχνια λεπτά, τά γ᾽ οὔ κέ τις οὐδὲ ἴδοιτο,
οὐδὲ θεῶν μακάρων· πέρι γὰρ δολόεντα τέτυκτο.
αὐτὰρ ἐπεὶ δὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
εἴσατ᾽ ἴμεν ἐς Λῆμνον, ἐυκτίμενον πτολίεθρον,
ἥ οἱ γαιάων πολὺ φιλτάτη ἐστὶν ἁπασέων.
οὐδ᾽ ἀλαοσκοπιὴν εἶχε χρυσήνιος Ἄρης,

Ὀδυσσέας
τὰ πόδια τ' ἀστραφτόγοργα, καὶ θάμαζε ἡ ψυχή του.
Καὶ μὲ τή λύρα του ἄρχισε γλυκὰ τραγούδια ἐκεῖνος,
τῆς Ἀφροδίτης τῆς λαμπρῆς καὶ τοῦ Ἄρη τὶς ἀγάπες,
κρυφὰ σὰν πρωτοσμίξανε στοῦ Ἡφαίστου τὰ παλάτια,
καὶ δῶρα ὁ Ἄρης δίνοντας ἀτίμασε τὸ στρῶμα
τοῦ Ἡφαίστου· καὶ μηνύτορας ὁ Ἥλιος τοῦ ἦρθε τότες,
τὶ αὐτὸς τοὺς δυό τους μάτιασε ποὺ ἀγκαλιαστὰ φιλιόνται,
Κι ὁ Ἥφαιστος σὰν τ' ἄκουσε βαριὰ τοῦ κακοφάνη·
πηγαίνει στ' ἀργαστήρι του μὲ πονηριὰ στὸ νοῦ του,
μεγάλο ἀμόνι στύλωσε, καὶ βάρεσε καὶ κόβει
δεσμὰ ἄσπαστα κι ἀξέλυτα, γιὰ νὰ πιαστοῦνε μέσα.
Καὶ τὰ δεσμὰ σὰν ἔφτιαξε ὀργισμένος μὲ τὸν Ἄρη,
πῆγε ἴσια ἐκεῖ ποὺ βρίσκονταν τοῦ γάμου του τὸ στρῶμα,
καὶ τά 'ριξε ὁλοτρόγυρα στοῦ κρεβατιοῦ τὰ πόδια·
ἔρριξε κι ἄλλα ἀπ' τὴ σκεπὴ ἀποπάνωθε περίσσια,
ψιλὰ σὰν ἀραχνόκλωστες, ποὺ ὡς καὶ θεὸς δὲν μπόρειε
νὰ τὰ ξανοίξη, τεχνικὰ φτιασμένα σὰν ποὺ τά 'χε.
Καὶ σὰν τὰ καλοτύλιξε τριγύρω στὸ κλινάρι,
στῆς Λῆμνος ἔκανε πὼς πάει τὴν ὄμορφη τὴ χώρα,
ποὺ αὐτὴν ἀπ' ὅλες πιότερο τὶς χῶρες ἀγαποῦσε.
Κι ὁ Ἄρης δὲν κοίταγε ἄδικα ὁ χρυσοχαλινάρης,

ὡς ἴδεν Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα·
βῆ δ᾽ ἰέναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο
ἰσχανόων φιλότητος ἐυστεφάνου Κυθερείης.
ἡ δὲ νέον παρὰ πατρὸς ἐρισθενέος Κρονίωνος
ἐρχομένη κατ᾽ ἄρ᾽ ἕζεθ᾽· ὁ δ᾽ εἴσω δώματος ἦει,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρί, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"δεῦρο, φίλη, λέκτρονδε τραπείομεν εὐνηθέντες·
οὐ γὰρ ἔθ᾽ Ἥφαιστος μεταδήμιος, ἀλλά που ἤδη
οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους."

ὣς φάτο, τῇ δ᾽ ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
τὼ δ᾽ ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο,
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ᾽ ἀναεῖραι.
καὶ τότε δὴ γίγνωσκον, ὅ τ᾽ οὐκέτι φυκτὰ πέλοντο.

ἀγχίμολον δέ σφ᾽ ἦλθε περικλυτὸς ἀμφιγυήεις,
αὖτις ὑποστρέψας πρὶν Λήμνου γαῖαν ἱκέσθαι·
Ἠέλιος γάρ οἱ σκοπιὴν ἔχεν εἶπέ τε μῦθον.
βῆ δ᾽ ἴμεναι πρὸς δῶμα φίλον τετιημένος ἦτορ·
ἔστη δ᾽ ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ἦρει·
σμερδαλέον δ᾽ ἐβόησε, γέγωνέ τε πᾶσι θεοῖσιν·
"Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ

ώς τον είδε ο Ήφαιστος τον κλυτοτέχνη μόνε φεύγη·
και στο παλάτι κίνησε του δοξασμένου Ήφαίστου,
της Αφροδίτης της λαμπρής την αγκαλιά ποθώντας.
Κι εκείνη, ότ' ήρθε απ' του τρανού γονιού της τα παλάτια,

καθότανε· και μπήκε αυτός, χερόπιασέ την, κι είπε·

"Έλα, αγάπη, να πέσουμε να γλυκοκοιμηθούμε,
τι ο Ήφαιστος δεν είν' εδώ, παρά φτασμένος θά 'ναι
στη Λήμνο, που οι αγριόφωνοι οι Σιντιάνοι λημεριάζουν."
Είπε, κι εκείνης αρεστό της φάνη να πλαγιάσουν.
Κι άμα έπεσαν, τους κράταγαν από παντού στο στρώμα
τα ψιλοκάμωτα δεσμά του έφτάξυπνου του Ήφαίστου,
και μήτε να σαλέψουνε, και μήτε να σηκώσουν
μέρος κορμιού δε δύνονταν. Και το 'νιωσαν πιά τότες
πως τρόπο να ξεφύγουνε το δέσιμο δεν είχε.
Κι ήρθε σιμά τους άξαφνα ο θεός ο κουτσοπόδης,
που πίσω ξαναγύρισε, στη Λήμνο πριν να φτάση,
τι ο Ήλιος παραφύλαγε, και μήνυμα του πήγε.
Κινάει προς το παλάτι του με την καρδιά θλιμμένη.
Στα πρόθυρα σα στάθηκε, βαρύς καημός τον πήρε,
και σέρνει φοβερή φωνή, και στους θεούς χουγιάζει·
"Πατέρα Δία, και θεοί μακαριστοί κι

αἰὲν ἐόντες,
δεῦθ', ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε,
ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
αἰὲν ἀτιμάζει, φιλέει δ' ἀίδηλον Ἄρηα,

οὕνεχ' ὁ μὲν καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἐγώ γε
ἠπεδανὸς γενόμην. ἀτὰρ οὔ τί μοι αἴτιος ἄλλος,
ἀλλὰ τοκῆε δύω, τὼ μὴ γείνασθαι ὄφελλον.
ἀλλ' ὄψεσθ', ἵνα τώ γε καθεύδετον ἐν φιλότητι
εἰς ἐμὰ δέμνια βάντες, ἐγὼ δ' ὀρόων ἀκάχημαι.
οὐ μέν σφεας ἔτ' ἔολπα μίνυνθά γε κειέμεν οὕτως
καὶ μάλα περ φιλέοντε· τάχ' οὐκ ἐθελήσετον ἄμφω
εὕδειν· ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει,
εἰς ὅ κέ μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἕεδνα,
ὅσσα οἱ ἐγγυάλιξα κυνώπιδος εἵνεκα κούρης,
οὔνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος."
ὣς ἔφαθ', οἱ δ' ἀγέροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ·
ἦλθε Ποσειδάων γαιήοχος, ἦλθ' ἐριούνης
Ἑρμείας, ἦλθεν δὲ ἄναξ ἑκάεργος Ἀπόλλων.
θηλύτεραι δὲ θεαὶ μένον αἰδοῖ οἴκοι ἑκάστη.
ἔσταν δ' ἐν προθύροισι θεοί, δωτῆρες ἑάων·
ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι
τέχνας εἰσορόωσι πολύφρονος Ἡφαίστοιο.

αἰώνιοι,
νὰ δῆτε ἐλᾶτε, πράματα γιὰ γέλια, ν' ἀπορῆστε,
τοῦ Δία πῶς μὲ ντρόπιασε ἡ κόρη ἡ Ἀφροδίτη,
ἐμένα τὸν κουτσό, καὶ πάει μὲ τὸ φονιὰ τὸν Ἄρη,
τ' εἶν' ὥριος καὶ γερόποδος αὐτός, κι ἐγὼ σακάτης
ἀπὸ γεννήσιο μου· καὶ ποιός τὸ φταίει παρὰ οἱ γονιοί μου,
ποὺ κάλλιο νὰ μὴ μ' ἔσπερναν. Ἀμέτε τώρα, δῆτε,
ἀπάνω στὸ κρεβάτι μου πῶς κοίτουνται κι οἱ δυό τους·
λυσσάζω ἐγὼ τηρώντας τους. Δὲν τὸ πιστεύω ὡς τόσο
νὰ τὸ γυρέψουν ἄλλοτες παρόμοιο γλέντι ἐκεῖνοι,
κι ἂς ἀγαπιοῦνται τρυφερά, μήτε γιὰ λίγην ὥρα·
μὰ τώρα ἀπ' τὰ κρυφὰ δεσμά, τοῦ κάκου δὲν τοὺς βγάζω
πρὶν πάρω ἀπ' τὸν πατέρα της ὅλα τὰ δῶρα πίσω
ποὺ γιὰ μιὰ τέτοια ἀδιάντροπη τοῦ εἶχα παραδομένα·
ἂν ὄμορφη εἶναι ἡ κόρη του, ὅμως μυαλὸ τῆς λείπει."
Εἶπε, καὶ στὸ χαλκόπυργο οἱ θεοὶ μαζεύουνται ὅλοι·
ἦρθ' ὁ καλόβουλος Ἑρμῆς, ὁ σείστης Ποσειδώνας,
μαζί τους κι ὁ δοξαριστὴς ὁ Ἀπόλλωνας ὁ ρήγας.
Ὅμως οἱ θεὲς ντραπήκανε, καὶ μείνανε στὰ σπίτια.
Στὰ ξώθυρα σταθήκανε οἱ θεοὶ οἱ μεγαλοδότες,
κι ἄσβηστα γέλια ἀρχίσανε οἱ ἀθάνατοι τηρώντας
τὴν τέχνη ποὺ σοφίστη ὁ νοῦς τοῦ ἐφτάξυπνου τοῦ Ἡφαίστου.

ὣδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν,
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα
ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσιν,
χωλὸς ἐὼν τέχνῃσι· τὸ καὶ μοιχάγρι᾽ ὀφέλλει."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἑρμῆν δὲ προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
"Ἑρμεία, Διὸς υἱέ, διάκτορε, δῶτορ ἐάων,
ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
εὕδειν ἐν λέκτροισι παρὰ χρυσέῃ Ἀφροδίτῃ;"
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα διάκτορος ἀργεϊφόντης·
"αἴ γὰρ τοῦτο γένοιτο, ἄναξ ἑκατηβόλ᾽ Ἄπολλον·
δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,
ὑμεῖς δ᾽ εἰσορόῳτε θεοὶ πᾶσαί τε θέαιναι,
αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσέῃ Ἀφροδίτῃ."
ὣς ἔφατ᾽, ἐν δὲ γέλως ὦρτ᾽ ἀθανάτοισι θεοῖσιν.
οὐδὲ Ποσειδάωνα γέλως ἔχε, λίσσετο δ᾽ αἰεὶ
Ἥφαιστον κλυτοεργὸν ὅπως λύσειεν Ἄρηα.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
τίσειν αἴσιμα πάντα μετ᾽ ἀθανάτοισι θεοῖσιν."
τὸν δ᾽ αὖτε προσέειπε περικλυτὸς

Κι ἕνας τους τότες γύρισε καὶ λέει τοῦ πλαγινοῦ του·
"Δὲν ἔχει ὁ δόλος προκοπή, κι ὁ σιγανὸς προφταίνει
τὸ γλήγορο· δὲς τὸν ἀργὸ τὸν Ἥφαιστο πῶς πιάνει
τὸν Ἄρη, ποὺ πιὸ σερπετὸς ἐδῶ δὲ βρίσκεται ἄλλος,
μὲ τέχνες καὶ μὲ μαριολιές, καὶ τώρα θὰ πλερώνη."
Τέτοια λαλοῦσαν κι ἔκρεναν οἱ θεοὶ ἀναμεταξύ τους·
καὶ λέει τοῦ Ἑρμῆ ὁ Ἀπόλλωνας, τοῦ Δία ὁ γιός, ὁ ρήγας.
"Ὤγιὲ τοῦ Δία, μηνυτὴ καὶ πλουτοδότη Ἑρμῆ μου,
σὲ τέτοια δίχτυα δυνατὰ δὲ θά 'στεργες νὰ πέσης,
ἂν εἶχες τὴν ὡριόχρυση Ἀφροδίτη στὸ πλευρό σου;"
Κι ὁ μηνυτὴς ὁ Ἀργοφονιὰς, ἀπολογήθη κι εἶπε·
"Δοξαριστή μου Ἀπόλλωνα, μακάρι νὰ γινόταν.
Τρεῖς φορὲς τόσα ἂς μοῦ 'ριχταν δεσμὰ γύρω τριγύρω,
κι ἂς μὲ κοιτάζατε οἱ θεοὶ κι οἱ θεὲς μαζί σας ὅλες,
σώνει μὲ τὴν πανώρια ἐγὼ νὰ πλάγιαζα Ἀφροδίτη."
Εἶπε, κι οἱ ἀθάνατοι θεοὶ ξεσπάσανε στὰ γέλια.
Μὰ παρακάλειε ἀγέλαστος ὁ Ποσειδώνας πάντα
τὸν τεχνοξάκουστο Ἥφαιστο τὸν Ἄρη νὰ ξελύση,
καὶ τοῦ λαλοῦσε κι ἔλεγε μὲ φτερωμένα λόγια·
"Λῦσε τον, καὶ σοῦ τάζω ἐγώ, πὼς σὰν πού ἐσὺ γυρεύεις,
αὐτὸς μπρὸς στοὺς ἀθάνατους τὸ δίκιο θὰ πλερώση."
Κι ὁ ζαβοπόδης ὁ Ἥφαιστος τοῦ

ἀμφιγυήεις·
"μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.
πῶς ἂν ἐγώ σε δέοιμι μετ᾽ ἀθανάτοισι θεοῖσιν,
εἴ κεν Ἄρης οἴχοιτο χρέος καὶ δεσμὸν ἀλύξας;"
τὸν δ᾽ αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
"Ἥφαιστ᾽, εἴ περ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
"οὐκ ἔστ᾽ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι."
ὣς εἰπὼν δεσμὸν ἀνίει μένος Ἡφαίστοιο.
τὼ δ᾽ ἐπεὶ ἐκ δεσμοῖο λύθεν, κρατεροῦ περ ἐόντος,
αὐτίκ᾽ ἀναΐξαντε ὁ μὲν Θρῄκηνδε βεβήκει,
ἡ δ᾽ ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.
ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ
ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας,
ἀμφὶ δὲ εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι.
ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
τέρπετ᾽ ἐνὶ φρεσὶν ἦσιν ἀκούων ἠδὲ καὶ ἄλλοι
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.
Ἀλκίνοος δ᾽ Ἄλιον καὶ Λαοδάμαντα κέλευσεν

ἀπάντησε καὶ τοῦ εἶπε·
“Αὐτὸ μὴν τὸ γυρεύης μου, γαιοκράτη Ποσειδώνα·
κακή 'ναι ἡ τέτοια ἐγγύηση γιὰ τὸν κακὸ νὰ γίνη.
Πῶς στοὺς ἀθάνατους ὀμπρὸς θὰ σὲ κρατῶ δεμένο,
ἂν ὁ Ἄρης φύγη σὰ λυθῆ, χωρὶς νὰ μὲ πλερώση;”
Καὶ τότε ἔτσι τοῦ μίλησε ὁ σείστης Ποσειδώνας·
“Κι ἂν τύχη ὁ Ἄρης, Ἥφαιστε, καὶ φύγη κι ἀστοχήση
τὸ χρέος, ξέρε πὼς ἐγὼ θένα 'μαι ὁ πλερωτής σου.”
Κι ὁ ζαβοπόδης ὁ Ἥφαιστος ἀπολογήθη κι εἶπε·
“Στὸ λόγο σου δὲ γίνεται νὰ πῶ ὄχι, μηδὲ πρέπει.”
Εἶπε, καὶ τὰ δεσμὰ ὁ τρανὸς ὁ Ἥφαιστος ξελύνει.
Κι αὐτοὶ σὰ λευτερώθηκαν ἀπ' τῶ δεσμῶν τὸ βάρος,
πετάξανε, καὶ κίνησε κατὰ τὴ Θράκη ὁ Ἄρης,
κι ἡ φιλογέλαστη θεὰ στῆς Κύπρος πῆε τὴν Πάφο,
ποὺ ἔχει ναό της καὶ βωμὸ μοσκολιβανισμένο.
Οἱ Χάρες τήνε λούσανε, μὲ λάδι τὴν ἀλεῖψαν
ἀθάνατο, ποὺ γιὰ θεῶν κορμιὰ μονάχα τό 'χουν,
καὶ μὲ σκουτιὰ τὴν ἔντυσαν, ποὺ θάμαζες νὰ βλέπης.
Αὐτὰ ὁ καλὸς τραγουδιστὴς τραγούδαε· κι ὁ Δυσσέας
φραινότανε ἀγρικώντας τα· φραινόντουσαν κι οἱ ἄλλοι
οἱ Φαίακες οἱ μακρόλαμνοι κι οἱ θαλασσακουσμένοι.
Κι ο Ἀλκίνος σήκωσε τοὺς δυό, Ἄλιο καὶ Λαοδάμα,

μουνὰξ ὀρχήσασθαι, ἐπεί σφισιν οὔ τις χορὸ νὰ στήσουν μόνοι τους, τὶ δὲν τοὺς ἔριζεν. ἔφτανε ἄλλος.
οἱ δ᾽ ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο, Κι ἐκεῖνοι, σφαῖρα παίρνοντας στὰ χέρια
πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαΐφρων, πορφυρένια καὶ λαμπερή, ποὺ ὁ Πόλυβος τὴν ἔφτιαξε ὁ τεχνίτης,
τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα ὁ ἕνας τὴν ἔρριχτε ἀψηλὰ πρὸς τὰ ἰσκιερὰ τὰ νέφια,
ἰδνωθεὶς ὀπίσω, ὁ δ᾽ ἀπὸ χθονὸς ὑψόσ᾽ ἀερθεὶς γέρνοντας πίσω· ἀπὸ τὴ γῆς πετιόταν τότε ὁ ἄλλος,
ῥηιδίως μεθέλεσκε, πάρος ποσὶν οὖδας ἱκέσθαι. κι ἀνάερα τὴν ἅρπαζε τὸ χῶμα πρὶν ἀγγίξη.
αὐτὰρ ἐπεὶ δὴ σφαίρῃ ἀν᾽ ἰθὺν πειρήσαντο, Κι ἀφοῦ πηδώντας ἔπαιξαν ἐκεῖνοι μὲ τὴ σφαῖρα
ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πουλυβοτείρῃ χορὸ τότες ἀρχίσανε στὴ γὴ τὴν πολυθρόφα,
ταρφέ᾽ ἀμειβομένω· κοῦροι δ᾽ ἐπελήκεον ἄλλοι συχνὰ ξαλλάζοντας· πολλὰ τὰ χέρια κουρταλώντας,
ἑστεῶτες κατ᾽ ἀγῶνα, πολὺς δ᾽ ὑπὸ κόμπος ὀρώρει. ἀγόρια ἐκεῖ παράστεκαν, κι ἦταν ὁ ἀχὸς μεγάλος.
δὴ τότ᾽ ἄρ᾽ Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσσεύς· Τότε ὁ Ὀδυσσέας γύρισε καὶ λάλησε τοῦ Ἀλκίνου·
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, “Ἀλκίνο, πρῶτε βασιλιὰ καὶ τῶ λαῶν καμάρι,
ἠμὲν ἀπείλησας βητάρμονας εἶναι ἀρίστους, καὶ τὸ καυκιόσουν πὼς αὐτοὶ λαμπροί 'ναι χορευτάδες,
ἠδ᾽ ἄρ᾽ ἑτοῖμα τέτυκτο· σέβας μ᾽ ἔχει εἰσορόωντα." κι ἀληθινὰ τὸ δείξανε· τοὺς βλέπω καὶ σαστίζω.”
ὣς φάτο, γήθησεν δ᾽ ἱερὸν μένος Ἀλκινόοιο, Αὐτὰ εἶπε, καὶ τὰ χάρηκε ὁ ἥρωας ὁ Ἀλκίνος,
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα· καὶ στοὺς καλοὺς θαλασσινοὺς τοὺς Φαίακες τότε κρένει·
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες. “Ἀκοῦστε με ὅλοι, ὦ προεστοὶ κι ἀρχόντοι τῶ Φαιάκων,
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι. ἀλήθεια γνώση περισσὴ μᾶς δείχνει αὐτὸς ὁ ξένος,
ἀλλ᾽ ἄγε οἱ δῶμεν ξεινήιον, ὡς ἐπιεικές. καὶ δῶρα ἂς τὸν φιλέψουμε ποὺ πρέπουνε σὲ ξένους.
δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες Δώδεκα ἐδῶ τὴ χώρα μας ὁρίζουν βασιλιάδες,
ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ᾽ ἐγὼ αὐτός· κι ἐγὼ ἄλλος ἕνας, δεκατρεῖς· καθένας ἂς τοῦ φέρη
τῶν οἱ ἕκαστος φᾶρος ἐυπλυνὲς ἠδὲ καθάρια καὶ καλόπλυτη χλαμύδα μὲ

χιτῶνα
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
αἶψα δὲ πάντα φέρωμεν ἀολλέα, ὄφρ᾽ ἐνὶ χερσὶν
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ.
Εὐρύαλος δέ ἑ αὐτὸν ἀρεσσάσθω ἐπέεσσι
καὶ δώρῳ, ἐπεὶ οὔ τι ἔπος κατὰ μοῖραν ἔειπεν."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπήνεον ἠδ᾽ ἐκέλευον,
δῶρα δ᾽ ἄρ᾽ οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
τὸν δ᾽ αὖτ᾽ Εὐρύαλος ἀπαμείβετο φώνησέν τε·
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ᾽ ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται."
ὣς εἰπὼν ἐν χερσὶ τίθει ξίφος ἀργυρόηλον
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ᾽ εἴ πέρ τι βέβακται
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ᾽ ἰδέειν καὶ πατρίδ᾽ ἱκέσθαι
δοῖεν, ἐπεὶ δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"καὶ σὺ φίλος μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.

χιτώνα,
κι ἀπό 'να τάλαντο σωστὸ βαριότιμο χρυσάφι·
κι ὅλ' ἂς τὰ βάλουμε μαζὶ γιὰ νὰ τὰ πάρη ὁ ξένος
στὰ χέρια του, καὶ μὲ χαρὰ στὸ δεῖπνο νὰ καθίση.
Ἂς ἔρθη κι ὁ Εὐρύαλος μὲ λόγια καὶ μὲ δῶρο
νὰ τὸν γλυκάνη, τὶ ἄπρεπα τοῦ 'χε μιλήσει πρῶτα."
Αὐτὰ εἶπε, κι ὅλοι πρόθυμα συφώνησαν, καὶ στεῖλαν
καθένας ἕναν κήρυκα τὰ δῶρα νὰ τοὺς φέρη.
Κι ὁ Εὐρύαλος σηκώθηκε καὶ λάλησέ του κι εἶπε·
"Ἀλκίνο, πρῶτε βασιλιά, καὶ τῶν λαῶν καμάρι,
τὸν ξένο θὰ φιλιώσω ἐγὼ καθὼς μοῦ παραγγέλνεις.
Αὐτὸ τ' ὁλόχαλκο σπαθὶ μὲ τ' ἀσημένιο χέρι,
ποὺ ἔχει καὶ νιοπριόνιστο φηκάρι φιλντισένιο,
θὰ τοῦ τὸ δώσω, δῶρο του νὰ τό 'χη τιμημένο."
Εἶπε, καὶ τ' ἀργυρόδετο σπαθὶ τοῦ παραδίνει,
καὶ λάλησέ του κι εἶπε του μὲ φτερωμένα λόγια·
"Γειά σου, πατέρα ξενικέ, βαρὺ κι ἂ σοῦ 'πα λόγο,
οἱ ἀνέμοι νὰ τὸν πάρουνε, κι οἱ ἀθάνατοι νὰ δώσουν
νὰ ξαναδῆς τὴ σύγκοιτη, στὸν τόπο σου νὰ φτάσης,
ποὺ τώρα βασανίζεσαι μακριὰ ἀπὸ τοὺς δικούς σου."
Κι ὁ Ὀδυσσέας ὁ γνωστικὸς γυρίζει καὶ τοῦ κρένει·
"Γειά σου, παιδάκι μου, κι ἐσύ, κι οἱ θεοὶ νὰ σοῦ χαρίζουν

μηδέ τι τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
τούτου, ὃ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσιν."
ἦ ῥα καὶ ἀμφ᾽ ὤμοισι θέτο ξίφος ἀργυρόηλον.
δύσετό τ᾽ ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα παρῆεν.
καὶ τά γ᾽ ἐς Ἀλκινόοιο φέρον κήρυκες ἀγαυοί·
δεξάμενοι δ᾽ ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο
μητρὶ παρ᾽ αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα.
τοῖσιν δ᾽ ἡγεμόνευ᾽ ἱερὸν μένος Ἀλκινόοιο,
ἐλθόντες δὲ καθῖζον ἐν ὑψηλοῖσι θρόνοισι.
δή ῥα τότ᾽ Ἀρήτην προσέφη μένος Ἀλκινόοιο·
"δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ᾽, ἥ τις ἀρίστη·
ἐν δ᾽ αὐτὴ θὲς φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα.
ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ᾽ ὕδωρ,
ὄφρα λοεσσάμενός τε ἰδὼν τ᾽ ἐὺ κείμενα πάντα
δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ᾽ ἔνεικαν,
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
καί οἱ ἐγὼ τόδ᾽ ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
χρύσεον, ὄφρ᾽ ἐμέθεν μεμνημένος ἤματα πάντα
σπένδῃ ἐνὶ μεγάρῳ Διί τ᾽ ἄλλοισίν τε θεοῖσιν."
ὣς ἔφατ᾽, Ἀρήτη δὲ μετὰ δμῳῇσιν ἔειπεν
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὅττι τάχιστα.
αἱ δὲ λοετροχόον τρίποδ᾽ ἵστασαν ἐν

κάθε καλό· καὶ τὸ σπαθὶ ποτὲς νὰ μὴν ποθήσης
ἐτοῦτο ποὺ μοῦ χάρισες, μιλώντας μου μὲ γλύκα."
Εἶπε, καὶ τ' ἀργυρόκομπο σπαθὶ κρεμάει στὸν ὦμο,
ὡς τόσο ὁ ἥλιος ἔγειρε, κι ἦρθαν τὰ ὡραῖα δῶρα,
ποὺ τά 'φερναν οἱ κήρυκες στοῦ Ἀλκίνου τὸ παλάτι.
Οἱ γιοὶ τὰ παραλάβανε τοῦ δοξασμένου Ἀλκίνου,
καὶ στὸ πλευρὸ τῆς σεβαστῆς μητέρας τ' ἀπιθῶσαν.
Τότες πρὸς τ' ἀψηλὰ θρονιὰ ὁ ἥρωας ὁ Ἀλκίνος
κίνησε πρῶτος, κι ἤρθανε κι οἱ ἄλλοι καὶ καθίσαν.
Κι ὁ Ἀλκίνος τότε ὁ ἥρωας λάλησε τῆς Ἀρήτης·
"Φέρε τὸ πιὸ ξεχωριστὸ σεντούκι μας γυναίκα,
καὶ βάλε μέσα νιόπλυτη χλαμύδα καὶ χιτώνα.
Κατόπι βάλε χάλκωμα μὲ τὸ νερὸ νὰ βράση,
γιὰ νὰ λουστῆ, καὶ σὰν τὰ δῆ μὲ τάξη ὅλα τὰ δῶρα,
ποὺ οἱ Φαίακες οἱ διαλεχτοὶ τοῦ φέραν ἐδῶ πέρα,
νὰ κάμη κέφι τρώγοντας, κι ἀκούγοντας τραγούδι.
Κι ἐγὼ θὰ τοῦ χαρίσω αὐτὸ τ' ὡριο χρυσὸ ποτήρι,
νὰ μὲ θυμᾶται ὁλοζωῆς στ' ἀρχοντικό του μέσα,
στὸ Δία καὶ στοὺς ἀλλονοὺς ἀθάνατους σὰ στάζη."
Εἶπε, καὶ στὶς κοπέλες της παράγγειλε ἡ Ἀρήτη,
μέσα τριπόδι ὁλόταχα πὰς στὴ φωτιὰ νὰ στήσουν.
Κι αὐτὲς τὸ χάλκωμα ἔστησαν τὸ λουτρικὸ

πυρὶ κηλέῳ,
ἔν δ᾽ ἄρ᾽ ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐλοῦσαι.
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ᾽ ὕδωρ·
τόφρα δ᾽ ἄρ᾽ Ἀρήτη ξείνῳ περικαλλέα χηλὸν
ἐξέφερεν θαλάμοιο, τίθει δ᾽ ἐνὶ κάλλιμα δῶρα,
ἐσθῆτα χρυσόν τε, τά οἱ Φαίηκες ἔδωκαν·
ἐν δ᾽ αὐτὴ φᾶρος θῆκεν καλόν τε χιτῶνα,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ᾽ ἐπὶ δεσμὸν ἴηλον,
μή τίς τοι καθ᾽ ὁδὸν δηλήσεται, ὁππότ᾽ ἂν αὖτε
εὕδῃσθα γλυκὺν ὕπνον ἰὼν ἐν νηὶ μελαίνῃ."
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε πολύτλας δῖος Ὀδυσσεύς,
αὐτίκ᾽ ἐπήρτυε πῶμα, θοῶς δ᾽ ἐπὶ δεσμὸν ἴηλεν
ποικίλον, ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη·
αὐτόδιον δ᾽ ἄρα μιν ταμίη λούσασθαι ἀνώγει
ἔς ῥ᾽ ἀσάμινθον βάνθ᾽· ὁ δ᾽ ἄρ ἀσπασίως ἴδε θυμῷ
θερμὰ λοέτρ᾽, ἐπεὶ οὔ τι κομιζόμενός γε θάμιζεν,
ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς ἠυκόμοιο.
τόφρα δέ οἱ κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν.
τὸν δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
ἕκ ῥ᾽ ἀσαμίνθου βὰς ἄνδρας μέτα οἰνοποτῆρας

στὴ φλόγα,
καὶ μέσα χύσανε νερὸ, καὶ κάτου καῖγαν ξύλα.
Ζώνουν οἱ φλόγες τὴν κοιλιά, καὶ βράζει τὸ λεβέτι.
Κι ἡ Ἀρήτη λαμπροκάμωτο σεντούκι γιὰ τὸν ξένο
ὡριόπλουμα τὰ δῶρα,
φορέματα καὶ μάλαμα, ποὺ οἱ Φαίακες τοῦ δῶκαν·
ἔβαλε καὶ χλαμύδα αὐτὴ καὶ διαλεχτὸ χιτώνα,
καὶ τότες λόγια φτερωτὰ τοῦ λάλησε καὶ τοῦ εἶπε·
"Ἀτός σου δὲς τὸ σκέπασμα, δέσε γερὰ τὸν κόμπο,
νὰ μὴ σοῦ τὰ πειράξη αὐτὰ κανένας στὸ ταξίδι,
στὸ πλοῖο τὸ μαυρόπλευρο ποὺ θὰ γλυκοκοιμᾶσαι."
Κι αὐτὰ σὰν ἄκουσε ὁ τρανός, πολύπαθος Δυσσέας,
ταιριάζοντας τὸ σκέπασμα γερόδεσε τὸν κόμπο,
μὲ τέχνη, ὅπως τὸν ἔμαθε ἡ δοξασμένη ἡ Κίρκη.
Τότες σεμνὴ κελάρισσα τὸν κάλεσε νὰ σύρη
πρὸς τὸ λουτρό, κι αὐτὸς ζεστὸ νερὸ σὰν εἶδε μέσα,
τὸ χάρηκε, τὶ νοιάσιμο δὲν εἶχε τὸ κορμί του
ἀπ' τὸν καιρὸ ποὺ τῆς λαμπρῆς θεᾶς τὸ σπήλιο ἀφῆκε,
πού 'χε κάθε λογῆς καλά, καὶ σὰ θεὸς περνοῦσε.
Κι οἱ κόρες σὰν τὸν ἔλουσαν καὶ λάδι τὸν ἀλεῖψαν,
τοῦ φόρεσαν ὡριόπλουμη χλαμύδα καὶ χιτώνα·
καὶ βγαίνοντας ἀπ' τὸ λουτρὸ ξεκίναε στοὺς λεβέντες

ἤιε· Ναυσικάα δὲ θεῶν ἄπο κάλλος ἔχουσα
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
θαύμαζεν δ᾽ Ὀδυσῆα ἐν ὀφθαλμοῖσιν ὁρῶσα,
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"χαῖρε, ξεῖν᾽, ἵνα καί ποτ᾽ ἐὼν ἐν πατρίδι γαίῃ
μνήσῃ ἐμεῦ, ὅτι μοι πρώτῃ ζωάγρι᾽ ὀφέλλεις."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
"Ναυσικάα θύγατερ μεγαλήτορος Ἀλκινόοιο,
οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης,
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι·
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὡς εὐχετοῷμην
αἰεὶ ἤματα πάντα· σὺ γάρ μ᾽ ἐβιώσαο, κούρη."
ἦ ῥα καὶ ἐς θρόνον ἷζε παρ᾽ Ἀλκίνοον βασιλῆα·
οἱ δ᾽ ἤδη μοίρας τ᾽ ἔνεμον κερόωντό τε οἶνον.
κῆρυξ δ᾽ ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
Δημόδοκον λαοῖσι τετιμένον· εἷσε δ᾽ ἄρ᾽ αὐτὸν
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.
δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσσεύς,

νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο,
ἀργιόδοντος ὑός, θαλερὴ δ᾽ ἦν ἀμφὶς ἀλοιφή·

"κῆρυξ, τῇ δή, τοῦτο πόρε κρέας,

ποὺ πίνανε. Κι ἡ Ναυσικᾶ μὲ κάλλη θεοσταλμένα,
κοντὰ στῆς καλοκάμωτης σκεπῆς τὸ στῦλο στάθη,
καὶ θάμαζε κατάματα τὸν Ὀδυσσέα τηρώντας,
καὶ μὲ δυὸ λόγια φτερωτὰ τοῦ λάλησε καὶ τοῦ εἶπε·
"Γειά σου, χαρά σου, ξένε μου, καὶ σὰ βρεθῆς στὴ γῆς σου
νὰ μὲ θυμᾶσαι, ποὺ τὴ ζωὴ χρωστᾶς σ' ἐμένα πρώτη."
Καὶ γύρισε ὁ τετράξυπνος Δυσσέας καὶ τῆς εἶπε·
"Ὦ Ναυσικᾶ, τοῦ ἀντρόψυχου τοῦ Ἀλκίνου θυγατέρα,
νὰ δώση ὁ Δίας ὁ βροντηχτής, ὁ σύγκλινος τῆς Ἥρας,
στὴ γῆς μου νά 'ρθω, νὰ χαρῶ τοῦ γυρισμοῦ τὴ μέρα,
καὶ τότε ὁλοχρονὶς ἐγὼ σὰ θεὰ θὰ σὲ δοξάζω,
ποὺ ἀλήθεια ἐσὺ, παρθένα μου, τὴ ζωὴ μοῦ 'χεις σωσμένη."
Αὐτὰ εἶπε, καὶ θρονιάστηκε σιμὰ στὸ ρήγα Ἀλκίνο.

Καὶ τὸ φαΐ ἐκεῖ μοίραζαν, καὶ τὸ κρασί τους σμίγαν.
Ἔφερε τότε ὁ κήρυκας καὶ τὸν τραγουδιστή τους,
τὸ λατρευτὸ Δημόδοκο, τὸν πολυτιμημένο,
καταμεσὶς τὸν κάθισε τῶν ἄλλων, καὶ σὲ στῦλο
ἀκούμπησέ τον ἀψηλό. Κι ὁ θεόξυπνος Δυσσέας

στὸν κήρυκα γυρίζοντας τοῦ μίλησε καὶ τοῦ 'πε,
ἀφοῦ ἀπὸ ράχη ἀσπρόδοντου ἀγριόχοιρου κομμάτι
γεμάτο πάχος τοῦ 'κοψε, κι ἔμνησκε κι ἄλλο ἀκόμα·

"Νὰ, κράχτη, τοῦ Δημόδοκου νὰ δώσης

ὄφρα φάγῃσιν,
Δημοδόκῳ· καί μιν προσπτύξομαι ἀχνύμενός περ·
πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας
οἴμας μοῦσ' ἐδίδαξε, φίλησε δὲ φῦλον ἀοιδῶν."
ὣς ἄρ' ἔφη, κῆρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκεν
ἥρῳ Δημοδόκῳ· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσσεύς·
"Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
ἢ σέ γε μοῦσ' ἐδίδαξε, Διὸς πάϊς, ἢ σέ γ' Ἀπόλλων·
λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
ὅσσ' ἔρξαν τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί,
ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας.
ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον
δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
ὅν ποτ' ἐς ἀκρόπολιν δόλον ἤγαγε δῖος Ὀδυσσεὺς
ἀνδρῶν ἐμπλήσας οἵ ῥ' Ἴλιον ἐξαλάπαξαν.
αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν,
ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν."

γιὰ προσφάγι,
ποὺ γκαρδιακὰ τὸν χαιρετῶ, κι ἂς εἶμαι καὶ θλιμμένος.
Σ' ὅλον τὸν κόσμο τοὺς τιμοῦν τοὺς ψάλτες οἱ ἀνθρῶποι,
τὶ ἡ θεία ἡ Μοῦσα τὰ γλυκὰ τοὺς δίδαξε τραγούδια,
ἀγάπη πάντα δείχνοντας ξεχωριστὴ σ' ἐτούτους."
Εἶπε, καὶ στοῦ Δημόδοκου τὰ χέρια τὸ ἀπιθώνει
ὁ κράχτης, καὶ τὸ δέχτηκε χαρούμενος ἐκεῖνος.
Τὰ χέρια τότε ὅλοι ἅπλωναν στὰ καλοφάγια ὀμπρός τους.
Κι ἀπὸ πιοτὸ κι ἀπὸ φαΐ σὰ φράνθηκε ἡ καρδιά τους,
τότε εἶπε τοῦ Δημόδοκου ὁ πολύξυπνος Δυσσέας·
"Ἐσένα ἀπ' ὅλους τοὺς θνητούς, Δημόδοκε, δοξάζω.
Γιά ἡ κόρη τοῦ Δία σ' ἔμαθε ἡ Μοῦσα, γιά κι ὁ Φοῖβος,
καὶ τὰ δεινὰ τῶν Ἀχαιῶν μὲ τόση τέχνη ψέλνεις,
τὰ ὅσα πράξαν κι ἔπαθαν καὶ τράβηξαν ἐκεῖνοι·
κἂν ὁ ἴδιος ἐκεῖ βρέθηκες, κἂν τ' ἄκουσες ἀπ' ἄλλους.
Τώρα ἔλα, σὲ ἄλλο πέρασε, καὶ τ' ἄλογο δηγήσου
τὸ ξύλινο ποὺ ὁ Ἐπειὸς κι ἡ Ἀθηνᾶ σκαρῶσαν,
καὶ ποὺ μὲ δόλο τό 'φερε στὸ κάστρο ὁ Ὀδυσσέας,
ἄντρες γεμάτο, καὶ μ' αὐτὸ κουρσέψαν τὴν Τρωάδα.
Ἂ μᾶς τὰ δηγηθῆς κι αὐτὰ σωστὰ μὲ τὴ σειρά τους,
σ' ὅλο τὸν κόσμο τότε ἐγὼ γιὰ πάντα θὰ τὸ κρένω,
πὼς ὁ θεὸς σοῦ χάρισε τοῦ τραγουδιοῦ τὸ μάγιο."

ὣς φάθ', ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν,
ἔνθεν ἑλὼν ὡς οἱ μὲν ἐυσσέλμων ἐπὶ νηῶν
βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,
Ἀργεῖοι, τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
ἧατ' ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ·
αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.
ὣς ὁ μὲν ἑστήκει, τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον
ἥμενοι ἀμφ' αὐτόν· τρίχα δέ σφισιν ἤνδανε βουλή,
ἠὲ διαπλῆξαι κοῖλον δόρυ νηλέι χαλκῷ,
ἢ κατὰ πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρης,
ἢ ἐάαν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι,
τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλεν·
αἶσα γὰρ ἦν ἀπολέσθαι, ἐπὴν πόλις ἀμφικαλύψῃ
δουράτεον μέγαν ἵππον, ὅθ' ἤατο πάντες ἄριστοι
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
ἤειδεν δ' ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν
ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες.
ἄλλον δ' ἄλλῃ ἄειδε πόλιν κεραϊζέμεν αἰπήν,
αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηιφόβοιο
βήμεναι, ἠύτ' Ἄρηα σὺν ἀντιθέῳ Μενελάῳ.
κεῖθι δὴ αἰνότατον πόλεμον φάτο τολμήσαντα
νικῆσαι καὶ ἔπειτα διὰ μεγάθυμον

Εἶπε, κι αὐτὸς μὲ τὸ θεὸ ἀρχινώντας, τραγουδοῦσε
τὴν ἱστορία πιάνοντας ἐκεῖ ποὺ τὶς σκηνές τους
κάψαν, καὶ μπῆκαν, φύγανε οἱ Ἀργῖτες μὲ τὰ πλοῖα,
μ' ἄλλοι τους μείνανε μαζὶ μὲ τὸν τρανὸ Ὀδυσσέα,
στὴ χώρα τῶν Τρωαδιτῶν μὲς στ' ἄλογο κρυμμένοι,
τὶ οἱ Τρωαδῖτες ἴδιοι τους τὸ τράβηξαν στὸ κάστρο.
Τ' ἄλογο στέκονταν ἐκεῖ, κι αὐτοὶ πολλὰ λαλοῦσαν
τριγύρω του· κι ἤτανε τρεῖς οἱ γνῶμες μεταξύ τους·
τὸ κούφιο ξύλο ἢ μὲ γερὸ νὰ σκίσουνε πελέκι,
ἢ νὰ τὸ σύρουν κάτακρα νὰ πέση ἀπὰς στὰ βράχια,
ἢ νὰ τ' ἀφήσουνε ἱερὸ γιὰ τοὺς θεοὺς μνημεῖο·
κι αὐτὸ στὸ τέλος ἔγινε· γιατ' ἤτανε τῆς μοίρας,
ἡ χώρα νὰ ξολοθρευτῆ, σὰν παραλάβη μέσα
μεγάλο ξύλινο ἄλογο ποὺ ὅλους τοὺς πρώτους κλειοῦσε
Ἀργῖτες, πόφερναν κακὸ καὶ φόνο στοὺς Τρωαδῖτες.
Κι ἔψελνε πῶς τὴ ρήμαξαν οἱ Ἀχαιοὶ τὴ χώρα,
ἀπὸ τὰ μέσα τὰ βαθιὰ χουμίζουντας τοῦ ἀλόγου.
Κι ἔψελνε πῶς διαγούμιζαν ἄλλος ἀλλοῦ τὴ χώρα,
πῶς ὁ Ὀδυσσέας ξεκίνησε στὸν πύργο τοῦ Δῃφόβου
μαζὶ μὲ τὸν ἰσόθεο Μενέλαο σὰν Ἄρης,
κι ἐκεῖ, λέει, ἔπιασε βαρειὰ καὶ λυσσασμένη ἀμάχη,
κι ἡ μεγαλόκαρδη Ἀθηνᾶ τοῦ χάρισε τὴ

Ἀθήνην.
ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
τήκετο, δάκρυ δ᾽ ἔδευεν ὑπὸ βλεφάροισι παρειάς.
ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
ὅς τε ἑῆς πρόσθεν πόλιος λαῶν τε πέσῃσιν,
ἄστεϊ καὶ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ·
ἡ μὲν τὸν θνήσκοντα καὶ ἀσπαίροντα ἰδοῦσα
ἀμφ᾽ αὐτῷ χυμένη λίγα κωκύει· οἱ δέ τ᾽ ὄπισθε
κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους
εἴρερον εἰσανάγουσι, πόνον τ᾽ ἐχέμεν καὶ ὀιζύν·
τῆς δ᾽ ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί·
ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ᾽ ὀφρύσι δάκρυον εἶβεν.
ἔνθ᾽ ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ᾽ ἠδ᾽ ἐνόησεν,
ἥμενος ἄγχ᾽ αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσεν.
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Δημόδοκος δ᾽ ἤδη σχεθέτω φόρμιγγα λίγειαν·
οὐ γάρ πως πάντεσσι χαριζόμενος τάδ᾽ ἀείδει.
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδός,
ἐκ τοῦ δ᾽ οὔ πω παύσατ᾽ ὀιζυροῖο γόοιο
ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν.

νίκη.
Αὐτὰ τραγούδαε ὁ ξακουστὸς ὁ ψάλτης·
κι ὁ Ὀδυσσέας
ἔλυωνε, καὶ τὰ δάκρυα στὰ μάγουλά του τρέχαν.
Κι ὅπως γυναίκα κλαίγοντας ἀπάνω ἀπ' τὸν καλό της,
ποὺ ὀμπρὸς σὲ χώρα καὶ στρατὸ λαβώθηκε καὶ πέφτει,
νὰ σώση πόλη καὶ στρατὸ ἀπὸ τὴ μαύρη μέρα,
θωρώντας τον νὰ σπαρταράη στὸ ψυχομαχητό του,
τὸν ἀγκαλιάζει, καὶ πικρὰ μοιρολογάει, κι οἱ ἄλλοι
τὴ ράχη καὶ τοὺς ὤμους της χτυπώντας μὲ κοντάρια,
τὴ σέρνουν ὅπου βάσανα σκλαβιᾶς τὴν περιμένουν,
κι αὐτῆς πικρὸς ψυχόπονος τὴν ὄψη της μαραίνει·
ἔτσι πικρὰ κατέβαιναν τὰ δάκρυα τοῦ Ὀδυσσέα.
Στοὺς ἄλλους κι ἃ δὲ φαίνουνταν, μὰ τά 'νιωθε ὁ Ἀλκίνος,
ποὺ ἦταν σιμά του, κι ἄκουγε τὸ βαριοστέναγμα του.
Καὶ στοὺς καλοὺς θαλασσινοὺς τοὺς Φαίακες τότε εἶπε·

"Ἀκοῦστε με ὅλοι, ὦ προεστοὶ κι ἀρχόντοι τῶ Φαιάκων
ἂς πάψη πιὰ ὁ Δημόδοκος τὴ βροντερὴ τὴ λύρα,
τὶ αὐτὰ ποὺ μᾶς τραγούδησε δὲν τὰ χαρῆκαν ὅλοι.
Ἀφότου ἐδῶ καθίσαμε κι ἄρχισ' ὁ θεῖος ὁ ψάλτης,
δὲν παύει μὲ παράπονο πικρὸ νὰ κλαίγη ὁ ξένος·
πόνος μεγάλος τὴν ψυχὴ τοῦ θλίβει δίχως ἄλλο.

ἀλλ᾽ ἄγ᾽ ὁ μὲν σχεθέτω, ἵν᾽ ὁμῶς τερπώμεθα πάντες,
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως·
εἵνεκα γὰρ ξείνοιο τάδ᾽ αἰδοίοιο τέτυκται,
πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
ἀντὶ κασιγνήτου ξεῖνός θ᾽ ἱκέτης τε τέτυκται
ἀνέρι, ὅς τ᾽ ὀλίγον περ ἐπιψαύῃ πραπίδεσσι.
τῷ νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν
ὅττι κέ σ᾽ εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
εἴπ᾽ ὄνομ᾽ ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε
ἄλλοι θ᾽ οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
οὐ μέν γάρ τις πάμπαν ἀνώνυμός ἐστ᾽ ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλός, ἐπὴν τὰ πρῶτα γένηται,
ἀλλ᾽ ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι, τοκῆες.
εἰπὲ δέ μοι γαῖάν τε· τεὴν δῆμόν τε πόλιν τε,
ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες·
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν,
οὐδέ τι πηδάλι᾽ ἔστι, τά τ᾽ ἄλλαι νῆες ἔχουσιν·
ἀλλ᾽ αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
καὶ πάντων ἴσασι πόλιας καὶ πίονας ἀγροὺς
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ᾽ ἁλὸς ἐκπερόωσιν
ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ᾽

Λοιπὸν νὰ πάψη ὁ ψάλτης μας γιὰ νὰ χαιρώμαστε ὅλοι,
κι ἐμεῖς ποὺ τὸν φιλεύουμε, κι ὁ ξένος, εἶναι κάλλιο·
τὶ ὅλα γιὰ χάρη γένηκαν τοῦ σεβαστοῦ μας ξένου,

ποὺ δῶρα τοῦ χαρίσαμε, καὶ ποὺ τὸν προβοδοῦμε.
Εἶναι σὰν ἴδιος ἀδερφὸς ὁ ξένος πού προσπέφτει
στὸν ἄντρα ποὺ σταλαματιὰ τοῦ μνήσκει νοῦς ἀκόμα,
Ὅμως κι ἐσὺ μὴμ πολεμᾶς μὲ τέχνες νὰ μᾶς κρύβης
ὅσα ρωτήξω· φανερὰ καλύτερ' ἂς τὰ λέμε.

Πὲς τ' ὄνομα ποὺ σ' ἔκραζαν ἐκεῖ κάτω οἱ γονιοί σου,
κι οἱ ἄλλοι μὲς στὸν τόπο σας, κι ἡ γειτονιὰ τριγύρω.
Τὶ δίχως ὄνομα μαθὲς κανένας δὲν ὑπάρχει·
μιὰ καὶ στὸν κόσμο γεννηθοῦν, κακοί, καλοί, τοὺς βγάζουν
καὶ τ' ὄνομά τους οἱ γονιοί. Καὶ τὴν πατρίδα πές μας,
τὴ χώρα σου, τὸ δῆμο σου, νὰ νιώσουν τὰ καράβια,
νὰ βάλουν πλώρη κατακεῖ, ταξίδι σὰ σὲ πάρουν.
Γιατὶ δὲν ταξιδεύουνε οἱ Φαίακες μὲ ποδότες,
μηδ' ἔχουν τὰ καράβια τους τιμόνια, καθὼς τ' ἄλλα,
παρὰ μονάχα τους τὸ νοῦ μαντεύουνε τοῦ ἀνθρώπου,
κι ὅλων τὶς χῶρες ξέρουνε καὶ τὰ παχιὰ χωράφια·
κι ὁλόταχα περνοῦν καὶ πᾶν στῆς θάλασσας τὰ πλάτια,
σὲ ἀντάρα καὶ σὲ σύννεφα κρυμμένα· καὶ δὲν ἔχουν
κανένα φόβο ἢ νὰ χαθοῦν ἢ νὰ βλαφτοῦν

ἀπολέσθαι.
ἀλλὰ τόδ᾽ ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων᾽ ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτὲ Φαιήκων ἀνδρῶν ἐυεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέι πόντῳ
ῥαισέμεναι, μέγα δ᾽ ἤμιν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ᾽ ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν
ἤ κ᾽ ἀτέλεστ᾽ εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῷ·
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ὅππῃ ἀπεπλάγχθης τε καὶ ἅς τινας ἵκεο χώρας
ἀνθρώπων, αὐτούς τε πόλιάς τ᾽ ἐὺ ναιετοώσας,
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
οἵ τε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
εἰπὲ δ᾽ ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ
Ἀργείων Δαναῶν ἠδ᾽ Ἰλίου οἶτον ἀκούων.
τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ᾽ ὄλεθρον
ἀνθρώποις, ἵνα ᾖσι καὶ ἐσσομένοισιν ἀοιδή.
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρὸ
ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερός, οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ᾽ αἵμά τε καὶ γένος αὐτῶν;
ἦ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδώς,

ποτές τους.
Αὐτὸ ἐγὼ κάποτε ἄκουσα καὶ ξέρω ἀπ' τὸ γονιό μου
Ναυσίθο. πὼς περίσσια ἐμᾶς ζουλεύει ὁ Ποσειδώνας,
ποὺ ὅλους ἐμεῖς ἀπείραχτοι στὴ γῆ τους προβοδᾶμε.
Κι εἶπε πὼς κάποιο Φαιακινὸ καλόφτιαστο καράβι,
ποὺ θά 'ρθη ἀπὸ προβόδημα στὰ θαμπερὰ πελάγη,
θὰ σπάση, καὶ στὴ χώρα μας βουνὸ θὰ ρίξη γύρω.
Αὐτά 'πε ὁ γέρος κι ὁ θεὸς ἢ θὰ μᾶς τὰ τελέση,
ἢ ἀτέλεστα θὰ μείνουνε, καθὼς αὐτὸς βουλιέται.
Μὰ πές μου τώρα ξάστερα, καὶ ξήγησέ μου κι ἄλλο,
ποὺ πῆγες, τὶς χῶρες τὶς καλόχτιστες, καὶ ποιοί 'ναι οἱ κάτοικοί τους,
καὶ ποιοί τους ἦταν δύσκολοι κι ἄγριοι κι ἀδικοπράχτες,
καὶ ποιοί ἤτανε φιλόξενοι, μὲ θεοφοβιὰ στὸ νοῦ τους.
Πὲς καὶ γιατὶ θρηνολογᾶς καὶ κλαῖς μὲς στὴν ψυχή σου,
τῶν Ἀργιτῶν σὰν ἀκοῦς τὰ πάθια καὶ τοῦ Ἴλιου.
Αὐτὰ οἱ θεοὶ τὰ κάμανε, καὶ κλῶσαν τῶν ἀνθρώπων
ξολοθρεμό, νὰ τά 'χουνε οἱ κατοπινοὶ τραγούδι.
Ἢ τάχα στοῦ Ἴλιου νά 'πεσε τὰ τείχη συγγενής σου,
ἢ κάποιος βλάμης γκαρδιακὸς καὶ μὲ περίσσια γνώση;

ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
γίγνεται, ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ."

γιατὶ πιὸ λίγο ἀπ' ἀδερφὸς αὐτὸς θαρρῶ δὲν εἶναι."

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ι

Ἀλκίνου ἀπόλογοι. Κυκλώπεια.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
ἦ τοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
τοιοῦδ' οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
οὐ γὰρ ἐγώ γέ τί φημι τέλος χαριέστερον εἶναι
ἢ ὅτ' ἐυφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι·
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.
σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα
εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω·
τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
κήδε' ἐπεί μοι πολλὰ δόσαν θεοὶ Οὐρανίωνες.
νῦν δ' ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὑμεῖς

Τότε γυρίζει ὁ τρίξυπνος Δυσσέας καὶ τοῦ κρένει·
"Ἀλκίνο, πρῶτε βασιλιά, καὶ τῶ λαῶν καμάρι,
καλό 'ναι ἀλήθεια τέτοιονε τραγουδιστὴ ν' ἀκοῦμε,
σὰν πού 'ν' ἐτοῦτος, ποὺ θεοῦ λὲς κι ἡ φωνή του μοιάζει.
Τὶ πιὸ χαριτωμένη ἐγὼ ζωὴ δὲν ξέρω κι ἄλλη,
παρ' ὅταν ὅλος ὁ λαὸς τριγύρω ἀναγαλλιάζη,
καὶ στὰ παλάτια οἱ σύδειπνοι ἀράδα καθισμένοι
ἀκοῦνε τὸν τραγουδιστή, μὲ τὰ τραπέζια ὀμπρός τους
γεμάτα κρέας καὶ ψωμί, κι ὁ κεραστὴς σὰν παίρνη
ἀπ' τὸ κροντήρι τὸ κρασὶ καὶ χύνη στὰ ποτήρια.
Στὸν κόσμο τ' ὀμορφότερο λογιάζω αὐτὸ πὼς εἶναι.
Ὅμως τὰ βαριοστέναχτα δεινά μου νὰ ρωτήξης
σοῦ 'ρθε λαχτάρα, πιὸ βαριὰ γιὰ νὰ στενάζω ἀκόμα.
Τί πρῶτο νὰ σοῦ δηγηθῶ, καὶ τί στερνό, ποὺ μύρια
κακὰ μοῦ δώκανε οἱ θεοὶ ποὺ κατοικοῦν τὰ οὐράνια.
Καὶ πρῶτα τ' ὄνομά μου ἂς πῶ, κι ἐσεῖς νὰ τὸ γνωρίστε,

εἴδετ᾽, ἐγὼ δ᾽ ἂν ἔπειτα φυγὼν ὕπο νηλεὲς ἦμαρ
ὑμῖν ξεῖνος ἔω καὶ ἀπόπροθι δώματα νὰ μείνω πάντα φίλος σας, κι ἂς κατοικῶ
ναίων.
μακριά σας.
εἶμ᾽ Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
Εἶμ' ὁ Δυσσέας, τοῦ Λαέρτη ὁ γιός, ποὺ ξέρουν ὅλοι οἱ ἀνθρῶποι
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.
τοὺς δόλους μου, κι ἡ δόξα μου στὸν οὐρανὸ ἀνεβαίνει.
ναιετάω δ᾽ Ἰθάκην ἐυδείελον· ἐν δ᾽ ὄρος αὐτῇ
Καὶ κατοικῶ στὸ λιόλουστο τὸ Θιάκι, ποὺ ἔχει ἀπάνω
Νήριτον εἰνοσίφυλλον, ἀριπρεπές· ἀμφὶ δὲ νῆσοι
τὸ Νήριτο, τρανὸ βουνὸ ποὺ σειεῖ ἀψηλὰ τὰ φύλλα,
πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
κι ὁλόγυρα πολλὰ νησιὰ τό 'να κοντά 'ναι στ' ἄλλο,
Δουλίχιόν τε Σάμη τε καὶ ὑλήεσσα Ζάκυνθος.
ἡ Σάμη καὶ τὸ Δουλιχιό, κι ἡ Ζάκυνθο ἡ δεντράτη.
αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται
Ἐτούτη χάμου ἁπλώνεται στὰ πέλαγα τῆς Δύσης,
πρὸς ζόφον, αἱ δέ τ᾽ ἄνευθε πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
τ' ἄλλα νησιά 'ναι ξέχωρα, στ' ἀνάβλεμμα τοῦ ἥλιου.
τρηχεῖ᾽, ἀλλ᾽ ἀγαθὴ κουροτρόφος· οὔ τοι ἐγώ γε
Πέτρες γεμάτο, μὰ καλὸ λεβέντες γιὰ νὰ βγάζῃ.
ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Ἄλλο ἀπ' τὴ γῆς μου πιὸ γλυκὸ δὲν ξέρω ἐγὼ στὸν κόσμο.
ἦ μέν μ᾽ αὐτόθ᾽ ἔρυκε Καλυψώ, δῖα θεάων,
Μὲ κράτησε κι ἡ Καλυψώ, ἡ θεὰ ἡ χαριτωμένη,
ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι·
μὲς στὴ σπηλιά της, κι ἄντρας της νὰ γίνω λαχταροῦσε·
ὣς δ᾽ αὖτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
μὲ κράτησε στὰ παλάτια της ἡ Κίρκη, ἡ θεὰ τῆς Αἴας,
Αἰαίη δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
ἡ δολοπλέχτρα, κι ἄντρας της νὰ γίνω λαχταροῦσε·
ἀλλ᾽ ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
ὅμως ποτὲς δὲ γύρισαν αὐτὲς τὸ νοῦ μου ἐμένα.
ὣς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
Ἀπὸ πατρίδα καὶ γονιοὺς γλυκότερο δὲν ἔχει
γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
τίποτ' ὁ ἄνθρωπος, κι ἂς ζῇ σὲ πλουτισμένο σπίτι
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.
γῆς ξενικιᾶς κι ἀπόμερης, μακριὰ ἀπὸ τοὺς γονιούς του.
εἰ δ᾽ ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ᾽ ἐνίσπω,
Μὰ τώρα τὸ πολύπαθο ταξίδι ἂς ἱστορήσω,
ὅν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν
ποὺ ὁ μέγας Δίας μοῦ ὅρισε σὰ μίσευα ἀπ' τὴν Τροία.

ἰόντι.
"Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
᾽Ισμάρῳ. ἔνθα δ᾽ ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ᾽ αὐτούς·
ἐκ πόλιος δ᾽ ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες
δασσάμεθ᾽, ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
ἔνθ᾽ ἦ τοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν ἠμέας
ἠνώγεα, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
ἔνθα δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς·
τόφρα δ᾽ ἄρ᾽ οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
οἵ σφιν γείτονες ἦσαν, ἅμα πλέονες καὶ ἀρείους,
ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ᾽ ἵππων
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
ἦλθον ἔπειθ᾽ ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
ἡμῖν αἰνομόροισιν, ἵν᾽ ἄλγεα πολλὰ πάθοιμεν.
στησάμενοι δ᾽ ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσι,
βάλλον δ᾽ ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα δ᾽ ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας.
ἦμος δ᾽ ἠέλιος μετενίσσετο βουλυτόνδε,
καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς.

Ἀπὸ τὸ ῎Ιλιο ὁ ἄνεμος στοὺς Κίκονες μὲ πῆρε,
στὴν ῎Ισμαρο· ἐκεῖ χάλασα καὶ πολιτεία κι ἀνθρώπους·
κι ὅσες γυναῖκες πήραμε καὶ πλούτια ἀπὸ τὴ χώρα,
σωστὰ τὰ μοιραστήκαμε, τὸ δίκιο νά 'χουν ὅλοι.
Τότες παρακινοῦσα ἐγὼ νὰ φύγουμε μὲ βιάση,
μὰ αὐτοί, μεγάλη ἡ τρέλλα τους, δὲ θέλανε ν' ἀκούσουν,
μόν' πίναν ἄσμιχτο κρασί, καὶ σφάζανε περίσσια
ἀρνιά, καὶ λοξοπόδαρα στὸ περιγιάλι βόδια.
Πῆγαν ὡς τόσο οἱ Κίκονες καὶ Κίκονες φωνάξαν,
ποὺ ἀπὸ στεριᾶς γειτόνευαν καὶ ποὺ ἦταν πιότεροί τους,
καὶ πιὸ παλληκαράδες τους, καλοὶ νὰ πολεμοῦνε
ἀπάνω ἀπ' ἅρματα, ἢ πεζοί, σὰν τό 'φερνε ἡ ἀνάγκη.
Σὰν τ' ἄνθια ἦρθαν τῆς ἄνοιξης αὐτοί, καὶ σὰν τὰ φύλλα,
στὸ χάραμα. Μοῖρα κακή τότ' ἔπεσ' ἀπ' τὸ Δία
σ' ἐμᾶς τοὺς δύστυχους, πολλὰ γιὰ νὰ μᾶς φέρη πάθια.
Στῆσαν τὸν πόλεμο ὀμπροστὰ στὰ γλήγορα καράβια,
καὶ πέφταν κι ἀπ' τὶς δυὸ μεριὲς τὰ χαλκωτὰ κοντάρια.
Πρωΐ ὅσο ἦταν, κι ἔπαιρνε τὸ δρόμο της ἡ μέρα,
βαστιόμασταν ἀγνάντια τους, κι ἂς ἦταν πιότεροί μας,
Μὰ στῶ βοδιῶν τὸ λύσιμο σὰν ἦρθε ὁ ῾Ήλιος, τότες
οἱ Κίκονες τοὺς Ἀχαιοὺς πιὰ τσάκισαν καὶ σπρῶξαν.

ἓξ δ᾽ ἀφ᾽ ἑκάστης νηὸς ἐυκνήμιδες ἑταῖροι
ὤλονθ᾽· οἱ δ᾽ ἄλλοι φύγομεν θάνατόν τε μόρον τε.
"ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
οὐδ᾽ ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι,

πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀῦσαι,
οἳ θάνον ἐν πεδίῳ Κικόνων ὕπο δῃωθέντες.
νηυσὶ δ᾽ ἐπῶρσ᾽ ἄνεμον Βορέην νεφεληγερέτα Ζεὺς
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.

αἱ μὲν ἔπειτ᾽ ἐφέροντ᾽ ἐπικάρσιαι, ἱστία δέ σφιν
τριχθά τε καὶ τετραχθὰ διέσχισεν ἲς ἀνέμοιο.
καὶ τὰ μὲν ἐς νῆας κάθεμεν, δείσαντες ὄλεθρον,
αὐτὰς δ᾽ ἐσσυμένως προερέσσαμεν ἤπειρόνδε.
ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα συνεχὲς αἰεὶ
κείμεθ᾽, ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ᾽ Ἠώς,
ἱστοὺς στησάμενοι ἀνά θ᾽ ἱστία λεύκ᾽ ἐρύσαντες
ἥμεθα, τὰς δ᾽ ἄνεμός τε κυβερνῆταί τ᾽ ἴθυνον.
καί νύ κεν ἀσκηθὴς ἱκόμην ἐς πατρίδα γαῖαν·
ἀλλά με κῦμα ῥόος τε

Ἔξη ἀπὸ κάθε πλεούμενο χαλκόποδοι συντρόφοι
σκοτώθηκαν. Οἱ ἄλλοι ἐμεῖς γλυτώσαμε ἀπ' τὸ χάρο.
Καὶ σηκωθήκαμε ἀπ' ἐκεῖ βαριόκαρδοι, μὰ πάλε
καλὰ ποὺ δὲ χαθήκαμε σὰν τ' ἄλλα μας τ' ἀδέρφια.
Καὶ δὲν κινῆσαν τὰ γερτὰ καράβια μας, ὡσότου
φωνάξαμε ἀπὸ τρεῖς φορὲς καθένα ἀπ' τοὺς δικούς μας,
τοὺς δύστυχους, ποὺ πέσανε ἀπ' τοὺς Κίκονες κομμένοι.
Κι ἔστειλ' ἀπάνω μας Βοριὰ ὁ Δίας ὁ συννεφάρης,
κι ἄγρια φουρτούνα· σκέπασε τὴ γῆς καὶ τὰ πελάγη
μὲ νέφια, καὶ κατέβηκε σκοτάδι ἀπ' τὰ οὐράνια.
Καὶ τὰ καράβια καταμπρὸς χουμίζαν, καὶ τοῦ ἀνέμου
ἡ μάνητα ἤρθε κι ἔσκισε κομμάτια τὰ πανιά μας.
Καὶ κάτου ἐμεῖς τὰ ρίξαμε, χαμὸς νὰ μὴ μᾶς ἔρθη,
καὶ στὴ στεριὰ μὲ τὰ κουπιὰ γοργὰ τραβήξαμε ὄξω.
Ἐκεῖ παραμονεύαμε δυὸ νύχτες καὶ δυὸ μέρες,
καὶ τὴν καρδιὰ μᾶς ἔτρωγε τὸ βάσανο κι ὁ κόπος.

Τὴν τρίτη σὰ μᾶς ἔφερε τὴ μέρα ἡ Χρυσαυγούλα,
κατάρτια στήνουμε, λευκὰ πανιὰ τραβᾶμε ἀπάνω,
καθόμαστε, κι ὁ ἄνεμος μαζὶ μὲ τούς ποδότες
βάλαν τὰ πλοῖα στὸ δρόμο τους. Καὶ τότες θ' ἀξιωνόμουν
στὸν τόπο μου ἄβλαβος νὰ ρθῶ, μὰ τὸ Μαλέα γυρνώντας
κῦμα καὶ ρέμα καὶ Βοριᾶς μᾶς βγάζουνε ἀπ'

περιγνάμπτοντα Μάλειαν
καὶ Βορέης ἀπέωσε, παρέπλαγξεν δὲ Κυθήρων.
"ἔνθεν δ' ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισιν
πόντον ἐπ' ἰχθυόεντα· ἀτὰρ δεκάτῃ ἐπέβημεν
γαίης Λωτοφάγων, οἵ τ' ἄνθινον εἶδαρ ἔδουσιν.
ἔνθα δ' ἐπ' ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ' ὕδωρ,
αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.
αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
δὴ τοτ' ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι ἰόντας,
οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες
ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
οἱ δ' αἶψ' οἰχόμενοι μίγεν ἀνδράσι Λωτοφάγοισιν·
οὐδ' ἄρα Λωτοφάγοι μήδονθ' ἑτάροισιν ὄλεθρον
ἡμετέροις, ἀλλά σφι δόσαν λωτοῖο πάσασθαι.
τῶν δ' ὅς τις λωτοῖο φάγοι μελιηδέα καρπόν,
οὐκέτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν οὐδὲ νέεσθαι,
ἀλλ' αὐτοῦ βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισι
λωτὸν ἐρεπτόμενοι μενέμεν νόστου τε λαθέσθαι.
τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
νηυσὶ δ' ἐνὶ γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἐρύσσας.
αὐτὰρ τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους
σπερχομένους νηῶν ἐπιβαινέμεν ὠκειάων,

τὸ δρόμο,
καὶ πέρ' ἀπὸ τὰ Κύθηρα στὰ πέλαα μᾶς πετᾶνε.
Μέρες ἐννιὰ μᾶς ἔδερναν οἱ φοβεροὶ οἱ ἀνέμοι
μὲς στὰ ψαράτα πέλαγα· στὶς δέκα στὰ λημέρια
τῶ Λωτοφάγων ἤρθαμε, ποὺ θρέφουνται μὲ τ' ἄνθια.
Βγήκαμε τότες, καὶ νερὸ σὰν πήραμε ἀπὸ βρύση,
κοντὰ στὰ γοργοκάραβα στρῶσαν φαγὶ οἱ συντρόφοι^
Σὰ φάγαμε, σὰν ἤπιαμε, καὶ φράνθηκε ἡ καρδιά μας,
συντρόφους τότες ἔστειλα νὰ πᾶνε καὶ νὰ μάθουν
ποιοί ζούσανε σ' αὐτὴ τὴ γῆς σιταροφάγοι ἀνθρῶποι,
καὶ διάλεξα νομάτους δυὸ μὲ κήρυκα μαζί τους.
Πήγανε τότες, ζύγωσαν τοὺς Λωτοφάγους ἄντρες,
καὶ στοὺς συντρόφους μας αὐτοὶ κακὸ δὲ μελετοῦσαν
κανένα, μόν' τοὺς ἔδωκαν λωτὸ ν' ἀπογευτοῦνε.
Κι ὅποιος στὸ στόμα του ἔβαζε λωτοῦ καρπὸ μελάτο,
δὲν ἤθελε πιὰ μήνυμα νὰ στείλη ἢ νὰ γυρίση,
παρὰ νὰ μείνουν θέλανε στὴ γῆς τῶ Λωτοφάγων,
λωτὸ νὰ τρῶνε, γυρισμὸ πατρίδας λησμονώντας.
Κλαίγανε σὰν τοὺς ἔφερα μὲ τὸ στανιὸ στὰ πλοῖα,
καὶ στὰ ζυγὰ ἀποκάτωθε τοὺς ἔσυρα δεμένους.
Τοὺς ἄλλους τότες φώναξα συντρόφους ν' ἀνεβοῦνε
μεμιὰς στὰ γοργοκάραβα, μὴν τύχη καὶ κανένας

μή πώς τις λωτοῖο φαγὼν νόστοιο λάθηται.
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
"ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ·
Κυκλώπων δ᾽ ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων
ἱκόμεθ᾽, οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ᾽ ἀρόωσιν,
ἀλλὰ τά γ᾽ ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
πυροὶ καὶ κριθαὶ ἠδ᾽ ἄμπελοι, αἵ τε φέρουσιν
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.
τοῖσιν δ᾽ οὔτ᾽ ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
ἀλλ᾽ οἵ γ᾽ ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
παίδων ἠδ᾽ ἀλόχων, οὐδ᾽ ἀλλήλων ἀλέγουσιν.
"νῆσος ἔπειτα λάχεια παρὲκ λιμένος τετάνυσται,
γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ᾽ ἀποτηλοῦ,
ὑλήεσσ᾽· ἐν δ᾽ αἶγες ἀπειρέσιαι γεγάασιν
ἄγριαι· οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει,
οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται, οἵ τε καθ᾽ ὕλην
ἄλγεα πάσχουσιν κορυφὰς ὀρέων ἐφέποντες.
οὔτ᾽ ἄρα ποίμνῃσιν καταΐσχεται οὔτ᾽ ἀρότοισιν,
ἀλλ᾽ ἥ γ᾽ ἄσπαρτος καὶ ἀνήροτος

γευτῆ λωτὸ καὶ γυρισμὸ πατρίδας λησμονήση.
Κι αὐτοὶ ἔμπαιναν κι ἀραδιαστὰ καθίζανε στοὺς πάγκους,
καὶ τὰ νερὰ τ' ἀφρόασπρα μὲ τὰ κουπιὰ βαροῦσαν.
Βαριόκαρδοι τραβᾶμε ἐμπρός, κι ἐρχόμαστε στὰ μέρη
ποὺ οἱ δύστροποι κι οἱ ἄνομοι Κύκλωπες κατοικοῦνε·
αὐτοὶ ποὺ στοὺς ἀθάνοτους θεοὺς τ' ἀφήνουν ὅλα,
καὶ δὲ φυτεύουν, μήτε γῆς ὀργώνουνε ἀπατοί τους,
μόν' καθετὶς ἀνέσπαρτο κι ἀνόργωτο φυτρώνει,
στάρια, κριθάρια, κλήματα ποὺ δίνουν τὸ κρασί τους
τὸ σταφυλάτο, κι ἡ βροχὴ τοῦ Δία τὰ μεγαλώνει.
Βουλὲς δὲν ἔχουν, σύναξες καὶ νόμους δὲ γνωρίζουν,
μόνε στῶν ἀψηλῶν βουνῶν τὶς ἄκρες λημεριάζουν,
μέσα σὲ σπήλια ὁλόβαθα, καὶ ξέχωρα καθένας
κρίνει γυναίκα καὶ παιδιά, καὶ δὲν ψηφάει τοὺς ἄλλους.
Ἀγριονήσι ἁπλώνεται παρόξω ἀπ' τὸ λιμάνι,
μήτε κοντὰ μήτε μακριὰ ἀπ' τὴ χώρα τῶν Κυκλώπων,
δεντρότοπος, κι ἀγριόγιδα βρίσκουντ' ἐκεῖ περίσσια,
τὶ ἀνθρώπινη πατημασιὰ τὴ ζωὴ δὲν τοὺς ταράζει,
μήτ' ἐκεῖ μπαίνουν κυνηγοὶ ποὺ σὲ ρουμάνια μέσα
μὲ κόπους καὶ μὲ βάσανα σκαλώνουν κορφοβούνια.
Μήτε σκεπάζουνε τὴ γῆς κοπάδια ἐκεῖ κι ἀλέτρια,
μόνε ἄσπαρτη κι ἀνόργωτη κι ἀπὸ

ἤματα πάντα
ἀνδρῶν χηρεύει, βόσκει δέ τε μηκάδας αἶγας.
οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
οὐδ᾽ ἄνδρες νηῶν ἔνι τέκτονες, οἵ κε κάμοιεν
νῆας ἐυσσέλμους, αἵ κεν τελέοιεν ἕκαστα
ἄστε᾽ ἐπ᾽ ἀνθρώπων ἱκνεύμεναι, οἷά τε πολλὰ
ἄνδρες ἐπ᾽ ἀλλήλους νηυσὶν περόωσι θάλασσαν·
οἵ κέ σφιν καὶ νῆσον ἐυκτιμένην ἐκάμοντο.
οὐ μὲν γάρ τι κακή γε, φέροι δέ κεν ὥρια πάντα·
ἐν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ᾽ ὄχθας
ὑδρηλοὶ μαλακοί· μάλα κ᾽ ἄφθιτοι ἄμπελοι εἶεν.
ἐν δ᾽ ἄροσις λείη· μάλα κεν βαθὺ λήιον αἰεὶ
εἰς ὥρας ἀμῶεν, ἐπεὶ μάλα πῖαρ ὑπ᾽ οὖδας.
ἐν δὲ λιμὴν εὔορμος, ἵν᾽ οὐ χρεὼ πείσματός ἐστιν,
οὔτ᾽ εὐνὰς βαλέειν οὔτε πρυμνήσι᾽ ἀνάψαι,
ἀλλ᾽ ἐπικέλσαντας μεῖναι χρόνον εἰς ὅ κε ναυτέων
θυμὸς ἐποτρύνῃ καὶ ἐπιπνεύσωσιν ἀῆται.
αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ,
κρήνη ὑπὸ σπείους· περὶ δ᾽ αἴγειροι πεφύασιν.
ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν
νύκτα δι᾽ ὀρφναίην, οὐδὲ προυφαίνετ᾽ ἰδέσθαι·
ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ᾽ ἦν, οὐδὲ σελήνη

κατοίκους χήρα
γιὰ πάντα εἶναι, καὶ χαίρουνται τὰ γίδια τὴ βοσκή της.

Τὶ πλοῖα κοκκινόπλωρα οἱ Κύκλωπες δὲν ἔχουν,
καὶ μαραγκούς νὰ φτιάνουνε καλόστρωτα καράβια,
καλὰ γιὰ ν' ἀρμενίζουνε καὶ νά 'ρχουνται σὲ χῶρες,
καὶ ποὺ μ' αὐτὰ γυρίζοντας γνωρίζουνται οἱ ἀνθρῶποι·

ἂν τά 'χανε, καλόχτιστο καὶ τὸ νησί τους θά 'ταν.
Καλὸ νησί, ποὺ θά 'φερνε στὴν ὥρα τους ἀπ' ὅλα·
δίπλα τοῦ ἀφρόασπρου γιαλοῦ λιβάδια ἔχει δροσάτα
καὶ μαλακά, ποὺ ἀθάνατα θὰ γίνουνταν ἀμπέλια·
ἴσιος κι ὁ τόπος γιὰ ὄργωμα· τὸ στάρι στὸν καιρό του

βαθὺ θὰ τὸ θερίζανε, τ' εἶναι παχὺ τὸ χῶμα.
Καὶ στὸ λιμιώνα τὸν καλὸ μήτε παράγγι θέλει,
μήτε νὰ ρίχτης ἄγκουρες, κι οὔτε νὰ δένης πρύμη·
μόνε τραβοῦν τὰ πλοῖα στὴ γῆς οἱ ναῦτες, κι ἀπαντέχουν
τὴν ὄρεξη τοῦ ταξιδιοῦ, καὶ πρύμος νὰ φυσήξη.

Καὶ τρέχει κρούσταλλο νερὸ στοῦ λιμανιοῦ τὴν ἄκρη,
ἀπὸ πηγὴ βαθειᾶς σπηλιᾶς, μ' ὁλοτριγύρω λεῦκες.
Ἐκεῖ νὰ πιάσουμε ἤρθαμε, καὶ θεὸς μᾶς ὁδηγοῦσε,
μέσα σὲ νύχτα σκοτεινή, ποὺ τίποτις δὲ θώρειες·
τὶ καταχνιὰ μᾶς σκέπαζε, καὶ μήτε τὸ φεγγάρι

οὐρανόθεν προύφαινε, κατείχετο δὲ νεφέεσσιν.
ἔνθ᾽ οὔ τις τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν,
οὔτ᾽ οὖν κύματα μακρὰ κυλινδόμενα προτὶ χέρσον
εἰσίδομεν, πρὶν νῆας ἐυσσέλμους ἐπικέλσαι.
κελσάσῃσι δὲ νηυσὶ καθείλομεν ἱστία πάντα,
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
ἔνθα δ᾽ ἀποβρίξαντες ἐμείναμεν ᾿Ηῶ δῖαν.
"ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος ᾿Ηώς,
νῆσον θαυμάζοντες ἐδινεόμεσθα κατ᾽ αὐτήν.
ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο,
αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι.
αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους
εἰλόμεθ᾽ ἐκ νηῶν, διὰ δὲ τρίχα κοσμηθέντες
βάλλομεν· αἶψα δ᾽ ἔδωκε θεὸς μενοεικέα θήρην.
νῆες μέν μοι ἕποντο δυώδεκα, ἐς δὲ ἑκάστην
ἐννέα λάγχανον αἶγες· ἐμοὶ δὲ δέκ᾽ ἔξελον οἶῳ.
"ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
οὐ γάρ πω νηῶν ἐξέφθιτο οἶνος ἐρυθρός,
ἀλλ᾽ ἐνέην· πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἑκάστοι
ἠφύσαμεν Κικόνων. ἱερὸν πτολίεθρον ἐλόντες.
Κυκλώπων δ᾽ ἐς γαῖαν ἐλεύσσομεν

τὰ νέφια δὲν τὸ ἀφήνανε στὸν οὐρανὸ νὰ φέγγη.
Κανένας τότες τὸ νησὶ δὲν μπόρειε νὰ ξανοίξη,
καὶ τὰ μακριὰ τὰ κύματα ποὺ πρὸς τὴ γῆς κυλιόνταν
δὲν τά 'δαμε, ὥσπου τὰ καλὰ καράβια σέρναμ' ὄξω.
Μαζώξαμε ὅλα τὰ πανιὰ σὰ σύρθηκαν τὰ πλοῖα,
καὶ στ' ἀκρογιάλι βγήκαμε, κι ἐκεῖ μᾶς πῆρε ὁ ὕπνος
προσμένοντας τὴν ὥρια αὐγὴ νὰ ρθῆ καὶ νὰ μᾶς φέξη.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ τὸ νησὶ θαμάζοντας γυρνούσαμε νὰ δοῦμε.
Οἱ νύφες τότες στὰ βουνά, τοῦ Δία οἱ θυγατέρες,
τὰ γίδια ξεκινήσανε, νὰ βροῦν φαγὶ οἱ συντρόφοι.
Γερτὰ δοξάρια καὶ μακριὰ κοντάρια ἀπ' τὰ καράβια
ἀμέσως φέρνουμε, καὶ τρεῖς γενήκαμε παρέες·
χτυπᾶμε, καὶ μᾶς ἔδωσε ὁ θεὸς λαμπρὸ κυνήγι.
Μ' ἀκολουθοῦσαν δώδεκα καράβια· στὸ καθένα
ὡς ἐννιὰ γίδια πέσανε· σ' ἐμένα ἀφῆκαν δέκα.
Ὅλη τὴ μέρα, ὡς τοῦ ἡλιοῦ τὸ γέρμα, καθισμένοι
μὲ κρέας ξεφαντώναμε καὶ μὲ κρασὶ φλογάτο,
τὶ ἀκόμα βάσταε τὸ κρασὶ τὸ μαῦρο στὰ καράβια,
ποὺ μάζωξε ὁ καθένας μας πολὺ μὲς στὶς λαγῆνες,
σὰν πήραμε τὴν ἱερὴ τὴ χώρα τῶν Κικόνων.
Καὶ βλέπαμε ἀντικρὺ καπνὸ στὰ μέρη τῶν Κυκλώπων,

ἐγγὺς ἐόντων,
καπνόν τ᾽ αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν.
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ᾽ ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
"᾽ἄλλοι μὲν νῦν μίμνετ᾽, ἐμοὶ ἐρίηρες ἑταῖροι·
αὐτὰρ ἐγὼ σὺν νηί τ᾽ ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν
ἐλθὼν τῶνδ᾽ ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσιν,
ἦ ῥ᾽ οἵ γ᾽ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.᾽
"ὣς εἰπὼν ἀνὰ νηὸς ἔβην, ἐκέλευσα δ᾽ ἑταίρους
αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἀλλ᾽ ὅτε δὴ τὸν χῶρον ἀφικόμεθ᾽ ἐγγὺς ἐόντα,
ἔνθα δ᾽ ἐπ᾽ ἐσχατιῇ σπέος εἴδομεν ἄγχι θαλάσσης,
ὑψηλόν, δάφνῃσι κατηρεφές. ἔνθα δὲ πολλὰ
μῆλ᾽, ὄιές τε καὶ αἶγες, ἰαύεσκον· περὶ δ᾽ αὐλὴ
ὑψηλὴ δέδμητο κατωρυχέεσσι λίθοισι
μακρῇσίν τε πίτυσσιν ἰδὲ δρυσὶν ὑψικόμοισιν.
ἔνθα δ᾽ ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥα τὰ μῆλα
οἷος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδὲ

κι ἀκούγαμε μαζὶ μ' αὐτοὺς τὰ γιδοπρόβατά τους.
Κι ὁ ἥλιος σὰ βασίλεψε καὶ πλάκωσε σκοτάδι,
νὰ κοιμηθοῦμε γείραμε στῆς θάλασσας τὴν ἄκρη.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ συντυχιὰ τοὺς φώναξα, καὶ σ' ὁλουνούς τους εἶπα·
"Οἱ ἄλλοι ἐσεῖς νὰ μείνετε, συντρόφοι ἀγαπημένοι·
ἐγὼ μὲ τὸ καράβι μου καὶ τοὺς δικούς μου σέρνω,
νὰ πάω νὰ μάθω τί λογῆς ἀνθρῶποι ἐκεῖθε ζοῦνε,
νά 'ναι ἄραγες ἀδιάντροποι κι ἄγριοι κι ἀδικοπράχτες,
ἢ τάχα εἶναι φιλόξενοι, μὲ θεοφοβιὰ στὸ νοῦ τους."
Καὶ στὸ καράβι ἀνέβηκα, καὶ στοὺς συντρόφους μου εἶπα
νὰ λύσουνε τὶς γούμενες καὶ στὸ καράβι νά 'μπουν.
Κι αὐτοὶ ἔμπαιναν κι ἀραδιαστὰ καθίζανε στοὺς πάγκους,
καὶ τὰ νερὰ τ' ἀφρόασπρα μὲ τὰ κουπιὰ βαροῦσαν.
Στὸν τόπο σάνε φτάσαμε ποὺ ἀλάργα δὲ βρισκόταν,
βλέπουμε δίπλα στὸ γιαλὸ σπηλιὰ κατὰ τὴν ἄκρη,
δαφνόστεγη, ἀψηλή, ποὺ ἀρνιὰ ξενύχτιζαν καὶ γίδια,
κι αὐλὴ μὲ βαθορίζωτα λιθάρια τοιχωμένη
καὶ μ' ἀψηλόφουντα ἰδρυὰ καὶ πεῦκα ὁλοτριγύρω.
Ἄντρας ἐκεῖ θεόρατος λημέριαζε μονάχος,
ποὺ τὰ κοπάδια του ἔβοσκε σὲ ἀπόμακρα, καὶ μ' ἄλλους
δὲν ἔσμιγε, παρὰ ἔπλεχνε ἀδικιὲς στὴ

μετ᾽ ἄλλους
 πωλεῖτ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐὼν
ἀθεμίστια ἤδη.
καὶ γὰρ θαῦμ᾽ ἐτέτυκτο πελώριον, οὐδὲ ἐῄκει
 ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
 ὑψηλῶν ὀρέων, ὅ τε φαίνεται οἷον ἀπ᾽ ἄλλων.
"δὴ τότε τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους
 αὐτοῦ πὰρ νηί τε μένειν καὶ νῆα ἔρυσθαι,
αὐτὰρ ἐγὼ κρίνας ἑτάρων δυοκαίδεκ᾽ ἀρίστους
 βῆν· ἀτὰρ αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο
 ἡδέος, ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱός,
 ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει,
 οὕνεκά μιν σὺν παιδὶ περισχόμεθ᾽ ἠδὲ γυναικὶ
ἁζόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
 Φοίβου Ἀπόλλωνος. ὁ δέ μοι πόρεν ἀγλαὰ δῶρα·
 χρυσοῦ μέν μοι ἔδωκ᾽ ἐυεργέος ἑπτὰ τάλαντα,
 δῶκε δέ μοι κρητῆρα πανάργυρον, αὐτὰρ ἔπειτα
 οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας
ἡδὺν ἀκηράσιον, θεῖον ποτόν· οὐδέ τις αὐτὸν
 ἠείδη δμώων οὐδ᾽ ἀμφιπόλων ἐνὶ οἴκῳ,
 ἀλλ᾽ αὐτὸς ἄλοχός τε φίλη ταμίη τε μί᾽ οἴη.
 τὸν δ᾽ ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρόν,
 ἓν δέπας ἐμπλήσας ὕδατος ἀνὰ εἴκοσι μέτρα

μοναξιά του.

Τέρας θεόρατο ἤτανε, καὶ μὲ ἄντρα ψωμοφάγο
 δὲν ἔμοιαζε, παρὰ ἔμοιαζε δεντράτο κορφοβούνι,
 ποὺ μέσα στ' ἀψηλὰ βουνὰ μονάχο ξεχωρίζει.
 Τότες στοὺς ἄλλους μου ἀκριβοὺς συντρόφους παραγγέλνω
 ἐκεῖ νὰ καρτερήσουνε, τὸ πλοῖο γιὰ νὰ φυλάγουν,
καὶ δώδεκα διαλέγοντας συντρόφους, ἕναν κι ἕναν,
 ξεκίνησα μὲ ἀσκὶ τραγιοῦ, καλὸ κρασὶ γεμάτο.
 Μοῦ τό 'χε δώσει ὁ Μάρωνας, τοῦ Εὐανθέα ὁ γόνος,
 ἱερέας τοῦ Ἀπόλλωνα, τῆς Ἴσμαρος προστάτη,
 ποὺ αὐτόν, γυναίκα καὶ παιδὶ διαφέντεψα ἀπὸ σέβας,
τ' εἶχε τοῦ Φοίβου Ἀπόλλωνα τὸ φουντωμένο δάσο
 λημέρι του· καὶ μοῦ 'φερε μεγάλα δῶρα τότες.
 Μοῦ χάρισ' ἑφτὰ τάλαντα χρυσάφι δουλεμένο,
 κροντήρι, ἀσήμι μοναχό, καὶ δώδεκα λαγῆνες
 μοῦ γέμισε ἄσμιχτο κρασί, γλυκὸ πιοτὸ καὶ θεῖο,
 ποὺ δοῦλος δὲν τὸ γνώριζε στὸ σπίτι ἢ παρακόρη,
 μόνε ἡ γυναίκα του κι αὐτὸς, καὶ μιὰ κελάρισσά του.
 Καὶ γιὰ νὰ πιοῦνε τὸ γλυκὸ μαῦρο κρασί, ἕνα μόνο
 ποτήρι σὲ εἴκοσι ἔφτανε μέτρα νερὸ νὰ χύση,

χεῦ’, ὀδμὴ δ’ ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει
θεσπεσίη· τότ’ ἂν οὔ τοι ἀποσχέσθαι φίλον ἦεν.
τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ᾗα
κωρύκῳ· αὐτίκα γάρ μοι ὀίσατο θυμὸς ἀγήνωρ
ἄνδρ’ ἐπελεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκήν,
ἄγριον, οὔτε δίκας ἐὺ εἰδότα οὔτε θέμιστας.
"καρπαλίμως δ’ εἰς ἄντρον ἀφικόμεθ’, οὐδέ μιν ἔνδον
εὕρομεν, ἀλλ’ ἐνόμευε νομὸν κάτα πίονα μῆλα.
ἐλθόντες δ’ εἰς ἄντρον ἐθηεύμεσθα ἕκαστα.
ταρσοὶ μὲν τυρῶν βρῖθον, στείνοντο δὲ σηκοὶ
ἀρνῶν ἠδ’ ἐρίφων· διακεκριμέναι δὲ ἕκασται
ἔρχατο, χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
χωρὶς δ’ αὖθ’ ἕρσαι. ναῖον δ’ ὀρῷ ἄγγεα πάντα,
γαυλοί τε σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.
ἔνθ’ ἐμὲ μὲν πρώτισθ’ ἕταροι λίσσοντ’ ἐπέεσσιν
τυρῶν αἰνυμένους ἰέναι πάλιν, αὐτὰρ ἔπειτα
καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε καὶ ἄρνας
σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
ἀλλ’ ἐγὼ οὐ πιθόμην, ἦ τ’ ἂν πολὺ κέρδιον ἦεν,
ὄφρ’ αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.
οὐδ’ ἄρ’ ἔμελλ’ ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
"ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ

κι ἀπ' τὸ κροντήρι ἀνέβαινε τὸ μοσκοβολητό του,
θάμα μονάχο· καὶ κανεὶς νὰ τ' ἀρνηθῆ δὲν μπόρειε.
Γέμισ' ἀσκὶ τρανὸ μ' αὐτό, πῆρα μαζὶ καὶ σάκκο
προμήθειες, τὶ ἀπαρχῆς ἐγὼ τὸ μάντεψα στὸ νοῦ μου
πὼς ἄντρα δύναμη πολλὴ ζωσμένο θ' ἀνταμώσω,
ἄγριο, ποὺ μήτε τὸ σωστὸ μήτε τὸ δίκιο νιώθει.
Γλήγορα πᾶμε στὴ σπηλιά, μὰ ἐκεῖ δὲ βρήκαμέ τον,
παρὰ ἔβοσκε ἔξω στὶς βοσκὲς τὰ πλούσια του κοπάδια.
Σὰν μπήκαμε, κοιτάζαμε τὸ τί 'χε μὲς στὸ σπήλιο·
τὰ τυροβόλια ὁλόγεμα, καὶ μὲς στὶς μάντρες στοίβα
τ' ἀρνιὰ καὶ γίδια, ξέχωρα κλεισμένο τὸ κάθε εἶδος,
χώρια τὰ πρωτογέννητα, τὰ μεσιανὰ, τὰ τρίτα·
καὶ ἀγγειὰ ποὺ τὰ πλημμύριζε τυρόγαλο· καρδάρια
καὶ σκάφες, ὅλα διαλεχτά, ποὺ ἄρμεγε γάλα μέσα.
Τότε οἱ συντρόφοι μοῦ 'κρεναν καὶ μὲ παρακαλοῦσαν,
τυριὰ καὶ γιδοπρόβατα νὰ πάρουμε ἀπ' τὶς μάντρες,
καὶ στὸ γοργὸ καράβι μας γυρίζοντας μὲ βιάση,
πὰς στ' ἁρμυρὰ τὰ κύματα νὰ βγοῦμε· κι ἐγὼ τότες
δὲν ἄκουγα, ἂν καὶ θά 'τανε πολὺ καλύτερό μας,
μόνε ἤθελα κι αὐτὸν νὰ δῶ, καὶ δῶρα του νὰ λάβω.
Μὰ αὐτὸς δὲν ἦταν νὰ φανῆ πρόσχαρος στοὺς συντρόφους.
Καὶ σὰν ἀνάψαμε φωτιὰ καὶ κάναμε θυσία,

καὶ αὐτοὶ
 τυρῶν αἰνύμενοι φάγομεν, μένομέν τέ μιν ἔνδον
 ἥμενοι, ἦος ἐπῆλθε νέμων. φέρε δ᾽ ὄβριμον ἄχθος
 ὕλης ἀζαλέης, ἵνα οἱ ποτιδόρπιον εἴη,
ἔντοσθεν δ᾽ ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν·
 ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ᾽ ἐς μυχὸν ἄντρου.
 αὐτὰρ ὅ γ᾽ εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
 πάντα μάλ᾽ ὅσσ᾽ ἤμελγε, τὰ δ᾽ ἄρσενα λεῖπε θύρηφιν,
 ἀρνειούς τε τράγους τε, βαθείης ἔκτοθεν αὐλῆς.
αὐτὰρ ἔπειτ᾽ ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ᾽ ἀείρας,
 ὄβριμον· οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ᾽ ἄμαξαι
 ἐσθλαὶ τετράκυκλοι ἀπ᾽ οὐδέος ὀχλίσσειαν·
 τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.
 ἑζόμενος δ᾽ ἤμελγεν ὄις καὶ μηκάδας αἶγας,
πάντα κατὰ μοῖραν, καὶ ὑπ᾽ ἔμβρυον ἦκεν ἑκάστῃ.
 αὐτίκα δ᾽ ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος
 πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκεν,
 ἥμισυ δ᾽ αὖτ᾽ ἔστησεν ἐν ἄγγεσιν, ὄφρα οἱ εἴη
 πίνειν αἰνυμένῳ καί οἱ ποτιδόρπιον εἴη.
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
 καὶ τότε πῦρ ἀνέκαιε καὶ εἴσιδεν, εἴρετο δ᾽ ἡμέας·
 " ᾽Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ᾽ ὑγρὰ κέλευθα;

πήραμε φάγαμε τυρί, καὶ μέσα καθισμένοι
 προσμέναμε ὥσπου ἀπ' τὴ βοσκὴ ξανάρθε· κουβαλοῦσε
 ξύλα φορτιὸ τρομαχτικό, νὰ τά 'χη γιὰ τὸ δεῖπνο.

Σὰν τά 'ριξε μὲς στὴ σπηλιά, βαρὺ σηκῶσαν βρόντο,
 κι ἐμεῖς στὰ μέσα τῆς σπηλιᾶς φύγαμε φοβισμένοι.
 Μὲς στὴν ἁπλόχωρη σπηλιὰ τὰ πρόβατα μαζώνει,
 ὅσ' αὐτὸς ἄρμεγε· ὄξωθε τ' ἀρσενικά του ἀφῆκε,
 τράγους, κριάρια, στριμωχτὰ στοῦ αὐλόγυρου τὰ βάθια.
Σήκωσε τότες κι ἔβαλε θυρόπετρα μεγάλη,
 τόσο βαρειά, ποὺ εἰκοσιδυὸ δὲ θά 'σωναν ἁμάξια
 τετράτροχα καῖ δυνατὰ ἀπὸ χάμου νὰ τὴ σύρουν.
 Τέτοιο λιθάρι θεόρατο σὰν ἔβαλε στὴ θύρα,
 κάθισε, γίδες ἄρμεξε μαζὶ καὶ προβατίνες,
μὲ τάξη, καὶ τῆς καθεμιᾶς σιμὰ ἔβαλε τ' ἀρνί της.
 Ἀπ' τ' ἄσπρο γάλα τὸ μισὸ κατόπι ξεχωρίζει,
 τὸ πήζει, καὶ μὲς στὰ πλεχτὰ καλάθια τὸ μαζώνει.
 Τ' ἄλλο μισὸ τὸ φύλαξε μέσα στ' ἀγγειά, νὰ τό 'χη
 γιὰ δεῖπνο του σὰν ἤθελε, νὰ παίρνη καὶ νὰ πίνη.
Καὶ τὶς δουλειές του βιαστικὰ σὰν τέλειωσε, τὴ στιά του
 ἄναψε, καί, ὡς μᾶς ξάνοιξε, φωνάζει· "Ὦ ξένοι, ποιοί εἶστε;
 καὶ ποῦθε ταξιδέψατε τοὺς πελαγήσους δρόμους;

ἦ τι κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε,
οἷά τε ληιστῆρες, ὑπεὶρ ἅλα, τοί τ᾽ ἀλόωνται
ψυχὰς παρθέμενοι κακὸν
ἀλλοδαποῖσι φέροντες;"
"ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτε κατεκλάσθη φίλον ἦτορ,
δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.
ἀλλὰ καὶ ὥς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
" ᾽ἡμεῖς τοι Τροίηθεν ἀποπλαγχθέντες Ἀχαιοὶ
παντοίοις ἀνέμοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
οἴκαδε ἱέμενοι, ἄλλην ὁδὸν ἄλλα κέλευθα
ἤλθομεν· οὕτω που Ζεὺς ἤθελε μητίσασθαι.
λαοὶ δ᾽ Ἀτρεΐδεω Ἀγαμέμνονος εὐχόμεθ᾽ εἶναι,
τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον κλέος ἐστί·
τόσσην γὰρ διέπερσε πόλιν καὶ ἀπώλεσε λαοὺς
πολλούς. ἡμεῖς δ᾽ αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα
ἱκόμεθ᾽, εἴ τι πόροις ξεινήιον ἠὲ καὶ ἄλλως
δοίης δωτίνην, ἥ τε ξείνων θέμις ἐστίν.
ἀλλ᾽ αἰδεῖο, φέριστε, θεούς· ἱκέται δέ τοί εἰμεν,
Ζεὺς δ᾽ ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε,
ξείνιος, ὃς ξείνοισιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ.᾽
ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμείβετο νηλέι θυμῷ·
"νήπιός εἰς, ὦ ξεῖν᾽, ἢ τηλόθεν εἰλήλουθας,
ὅς με θεοὺς κέλεαι ἢ δειδίμεν ἢ

Τάχα δουλειὰ σᾶς ἔφερε, ἢ ἐδῶ κι ἐκεῖ πλανιέστε
στὶς θάλασσες, σὰν πειρατὲς ποὺ τριγυρνοῦν καὶ φέρνουν
μὲ τῆς ζωῆς τους κίντυνο ζημιὰ σὲ ξένον κόσμο;"
Εἶπε, κι ἐμᾶς μᾶς ἔκοψε μεμιὰς τὰ ἥπατά μας
τὸ μουγκρητό του τὸ βαρὺ κι ἡ ὄψη ἡ γιγαντένια.
Ὅμως τοῦ ἀπολογήθηκα κι αὐτὰ τὰ λόγια τοῦ εἶπα·
"Ἀπὸ τὴν Τροία ἐρχόμαστε, Ἀχαιοὶ ποὺ μύριοι ἀνέμοι
μᾶς πέταξαν στῆς θάλασσας τὰ τρίσβαθα τὰ πλάτια.
Πατρίδα θέλαμε, κι ἀλλοῦ μᾶς φέραν ἄλλοι δρόμοι·
τέτοιο τοῦ Δία στάθηκε τὸ θέλημα κι ἡ γνώμη.
Καὶ λέμε ἀπ' τοῦ Ἀγαμέμνονα τοῦ γιοῦ τοῦ Ἀτρέα τ' ἀσκέρι
πὼς εἴμαστε, ποὺ ἀκούστηκε στὰ πέρατα τοῦ κόσμου
μεγάλη χώρα παίρνοντας, πλῆθος λαὸ χαλνώντας.
Κι ἐμεῖς ποὺ ἐδῶ βρεθήκαμε, προσπέφτουμέ σου τώρα,
φιλοξενιὰ ἢ καὶ χάρισμα κανένα νὰ μᾶς δώσης,
σὰν ποὺ σὲ ξένους συνηθοῦν. Σεβάσου, ὦ δυνατέ μου,
καὶ τοὺς θεούς· ἱκέτες σου στεκόμαστε ὀμπροστά σου,
Ξένους κι ἱκέτες ἀγαπάει ὁ Δίας νὰ διαφεντεύη
ὁ θεὸς τῶν ξένων τῶν ἱερῶν, ποὺ πάει μαζί τους πάντα."
Ἔτσ' εἶπα, κι αὐτὸς ἄξαφνα μὲ κάκια μοῦ ἀντισκόβει·
"Γιά κλούβιος εἶσαι, ὦ ξένε μου, γιά μοῦ 'ρθες ἀπὸ πέρα,
καὶ νὰ ψηφῶ μοῦ λὲς θεοὺς καὶ νὰ τοὺς ἔχω

ἀλέασθαι·
οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν
οὐδὲ θεῶν μακάρων, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·
οὐδ᾽ ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην
οὔτε σεῦ οὔθ᾽ ἑτάρων, εἰ μὴ θυμός με κελεύοι.
ἀλλά μοι εἶφ᾽ ὅπῃ ἔσχες ἰὼν ἐυεργέα νῆα,
ἦ που ἐπ᾽ ἐσχατιῆς, ἦ καὶ σχεδόν, ὄφρα δαείω.᾽
"ὣς φάτο πειράζων, ἐμὲ δ᾽ οὐ λάθεν εἰδότα πολλά,
ἀλλά μιν ἄψορρον προσέφην δολίοις ἐπέεσσι·
" ᾽νέα μέν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων
πρὸς πέτρῃσι βαλὼν ὑμῆς ἐπὶ πείρασι γαίης,
ἄκρῃ προσπελάσας· ἄνεμος δ᾽ ἐκ πόντου ἔνεικεν·
αὐτὰρ ἐγὼ σὺν τοῖσδε ὑπέκφυγον αἰπὺν ὄλεθρον.᾽
"ὣς ἐφάμην, ὁ δέ μ᾽ οὐδὲν ἀμείβετο νηλέι θυμῷ,
ἀλλ᾽ ὅ γ᾽ ἀναΐξας ἑτάροις ἐπὶ χεῖρας ἴαλλε,
σὺν δὲ δύω μάρψας ὡς τε σκύλακας ποτὶ γαίῃ
κόπτ᾽· ἐκ δ᾽ ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.
τοὺς δὲ διὰ μελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον·
ἤσθιε δ᾽ ὡς τε λέων ὀρεσίτροφος, οὐδ᾽ ἀπέλειπεν,
ἔγκατά τε σάρκας τε καὶ ὀστέα μυελόεντα.
ἡμεῖς δὲ κλαίοντες ἀνεσχέθομεν Διὶ χεῖρας,
σχέτλια ἔργ᾽ ὁρόωντες, ἀμηχανίη δ᾽ ἔχε θυμόν.

φόβο·
τὸ Δία τὸν αἰγιδόσκεπο οἱ Κύκλωπες δὲν ψηφοῦνε,
μήτε τοὺς ἄλλους τοὺς θεούς, τ' εἴμαστ' ἀνώτεροί τους.
Δὲ θὰ μὲ κάνη ἡ ὄχτρητα τοῦ Δία νὰ σᾶς ἀφήσω,
ἢ ἐσένα ἢ τοὺς συντρόφους σου, σὰ δὲν τὸ θέλω ἀτός μου.
Λέγε μου ὡς τόσο, ποῦ ἄραξες τ' ὡριόφτιαστο καράβι;
σὲ κάποιαν ἄκρη, ἢ πιὸ κοντά; τὶ αὐτὸ νὰ ξέρω θέλω."
Αὐτὰ εἶπε δοκιμάζοντας, μὰ δὲ μὲ γέλαε ἐκεῖνος
ἐμένα τὸν πολύξερο, καὶ τοῦ ἀπαντῶ μὲ δόλο·
"'Ὁ τρανταχτὴς μοῦ τσάκισε τὸ πλοῖο, ὁ Ποσειδώνας,
πετώντας το κατάβραχα σὲ κάβο ἐδῶ τῆς γῆς σας·
οἱ ἀνέμοι ἀπὸ τὰ πέλαγα τὸ σπρώξανε, μὰ ἐτοῦτοι
μαζὶ μ' ἐμένα ξέφυγαν τὸ φοβερὸ τὸ τέλος."
Εἶπα, μὰ ἀπὸ τὴν κάκια του μιλιὰ δὲ βγάζει ἐκεῖνος·
μόν' χούμηξε, κι ἁπλώνοντας τὰ χέρια στοὺς συντρόφους,
ἅρπαξε δυό, καὶ σὰ σκυλιὰ κάτου στὴ γῆς τοὺς ρίχτει.
Κυλιοῦνταν χάμου τὰ μυαλά, καὶ μούσκευαν τὸ χῶμα.
Τοὺς πῆρε, τοὺς κομμάτιασε, τοὺς τοίμασε γιὰ δεῖπνο,
καὶ σὰ λιοντάρι τοῦ βουνοῦ τοὺς τρώει χωρὶς ν' ἀφήση
σπλάχνο, ψαχνό, γιά κόκκαλο γεμάτο ἀπὸ μεδούλι.
Κι ἐμεῖς στὸ Δία κλαίγοντας σηκώναμε τὰ χέρια,
τέτοια καμώματα φριχτὰ θωρώντας σαστισμένοι.

αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδὺν
ἀνδρόμεα κρέ᾽ ἔδων καὶ ἐπ᾽ ἄκρητον γάλα πίνων,
κεῖτ᾽ ἔντοσθ᾽ ἄντροιο τανυσσάμενος διὰ μήλων.
τὸν μὲν ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμὸν
ἆσσον ἰών, ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἦπαρ ἔχουσι,
χείρ᾽ ἐπιμασσάμενος· ἕτερος δέ με θυμὸς ἔρυκεν.
αὐτοῦ γάρ κε καὶ ἄμμες ἀπωλόμεθ᾽ αἰπὺν ὄλεθρον·
οὐ γάρ κεν δυνάμεσθα θυράων ὑψηλάων
χερσὶν ἀπώσασθαι λίθον ὄβριμον, ὃν προσέθηκεν.
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν Ἠῶ δῖαν.
"ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε πῦρ ἀνέκαιε καὶ ἤμελγε κλυτὰ μῆλα,
πάντα κατὰ μοῖραν, καὶ ὑπ᾽ ἔμβρυον ἦκεν ἑκάστῃ.
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
σὺν δ᾽ ὅ γε δὴ αὖτε δύω μάρψας ὡπλίσσατο δεῖπνον.
δειπνήσας δ᾽ ἄντρου ἐξήλασε πίονα μῆλα,
ῥηιδίως ἀφελὼν θυρεὸν μέγαν· αὐτὰρ ἔπειτα
ἂψ ἐπέθηχ᾽, ὡς εἴ τε φαρέτρῃ πῶμ᾽ ἐπιθείη.
πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα
Κύκλωψ· αὐτὰρ ἐγὼ λιπόμην κακὰ βυσσοδομεύων,
εἴ πως τισαίμην, δοίη δέ μοι εὖχος

Κι ὁ Κύκλωπας τὴ διάπλατη σὰ γέμισε κοιλιά του,
κρέατ' ἀνθρώπου τρώγοντας καὶ γάλα ἀγνὸ ρουφώντας,
μὲς στὴ σπηλιὰ ξαπλώθηκε σιμὰ στὰ πρόβατά του.
Τότες ἐγὼ στοχάστηκα μὲς στὴν τρανὴ ψυχή μου,
νὰ πάω κοντά, τὸ κοφτερὸ σπαθί μου νὰ τραβήξω,
καὶ νὰ τὸ μπήξω ὁλόϊσα στὰ στήθια, ἐκεῖ ποὺ ὁ φράχτης
βαστάζει τὸ συκώτι, ἀφοῦ τὸν ψάξω μὲ τὰ χέρια.
Μοῦ 'ρθε ὅμως ἄλλος στοχασμός, κι εἶπα ὄχι· τὶ μαζί του
κι ἐμεῖς θένα χανόμασταν, τὸ βράχο μὴ μπορώντας
τὸ θεόρατο νὰ σπρώξουμε, ποὺ ἔβαλε αὐτὸς στὴ θύρα.
Καὶ στεναχτὰ προσμέναμε τὴ θεία αὐγὴ νὰ φέξῃ.
Σὰ φάνη ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
φωτιὰ ἄναψε καὶ τὶς παχειὲς ἄρμεγε προβατίνες,
μὲ τάξη, καὶ τῆς καθεμιᾶς σιμὰ ἔβαζε τ' ἀρνί της.
Καὶ τὶς δουλειὲς τοῦ σπήλιου του σὰν τέλειωσε μὲ βιάση
ἁρπάζει πάλε δυὸ μαζί, καὶ γέμα του τοὺς κάνει.
Ἀπὸ τὴ θύρα τὸν τρανὸ τότες σηκώνει βράχο,
κι ὄξω ἀπ' τὸ σπήλιο τὰ παχιὰ σὰν πῆρε πρόβατά του,
τὸν ξαναθέτει, σκέπασμα σὰ νά 'ταν σαϊτοθήκης.
Σφυρίζοντας ὁ Κύκλωπας ἀνέβαζε στὰ ὄρη
τὰ πρόβατα· κι ἐγὼ στὸ νοῦ σκέδιο ὀχτρικὸ ζητοῦσα
νὰ γδικιωθῶ, κι ἡ Ἀθηνᾶ νὰ μοῦ χαρίση δόξα.

Ἀθήνη.
"ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ,
χλωρὸν ἐλαΐνεον· τὸ μὲν ἔκταμεν, ὄφρα φοροίη
αὐανθέν. τὸ μὲν ἄμμες ἐίσκομεν εἰσορόωντες
ὅσσον θ' ἱστὸν νηὸς ἐεικοσόροιο μελαίνης,
φορτίδος εὐρείης, ἥ τ' ἐκπεράᾳ μέγα λαῖτμα·
τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράασθαι.
τοῦ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστὰς
καὶ παρέθηχ' ἑτάροισιν, ἀποξῦναι δ' ἐκέλευσα·
οἱ δ' ὁμαλὸν ποίησαν· ἐγὼ δ' ἐθόωσα ἄκρον, ἄφαρ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κηλέῳ.
καὶ τὸ μὲν εὖ κατέθηκα κατακρύψας ὑπὸ κόπρῳ,
ἥ ῥα κατὰ σπείους κέχυτο μεγάλ' ἤλιθα πολλή·
αὐτὰρ τοὺς ἄλλους κλήρῳ πεπαλάσθαι ἄνωγον,
ὅς τις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας
τρῖψαι ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνοι.
οἱ δ' ἔλαχον τοὺς ἄν κε καὶ ἤθελον αὐτὸς ἐλέσθαι,
τέσσαρες, αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην.
ἐσπέριος δ' ἦλθεν καλλίτριχα μῆλα νομεύων.
αὐτίκα δ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
πάντα μάλ', οὐδέ τι λεῖπε βαθείης ἔκτοθεν αὐλῆς,

Καὶ νά, ποιὰ γνώμη φάνηκε καλύτερη στὸ νοῦ μου.
Μεγάλο χλωροκούτσουρο χάμου ἤτανε στὴ μάντρα,
ἐλιά, ποὺ ἐκεῖνος τό 'κοψε, σὰν ξεραθῆ νὰ τό 'χη
ραβδί του· καὶ μᾶς φάνηκε, τηρώντας το, μεγάλο
ὅσο κατάρτι καραβιοῦ τῶν εἴκοσι κουπιῶνε,
ἀπ' τὰ πλατιὰ τὰ φορτηγὰ ποὺ στὰ πελάγη τρέχουν.
Τόσο τρανὸ φαινότανε στὸ μάκρος καὶ στὸ πάχος.
Παίρνω καὶ κόβω ὡς μιὰν ὀργυιὰ κομμάτι ἀπὸ τὸ ξύλο,
καὶ νὰ τὸ πελεκήσουνε προστάζω τοὺς συντρόφους·
κι αὐτοὶ τὸ σιάξαν τότ' ἐγὼ στὴν ἄκρη τὸ μυτώνω,
καὶ σὰν τὸ καλοπύρωσα μὲ τῆς φωτιᾶς τὴ φλόγα,
τὸ ἀπίθωσα καὶ τό 'κρυψα στὴν κοπριὰ ἀποκάτου,
ποὺ κοίτονταν ἀμέτρητη στοίβα παντοῦ στὸ σπήλιο.
Καὶ λέω στοὺς συντρόφους μου νὰ ρίξουν κλῆρο, ποιοί τους
μαζί μου θὰ κοτήσουνε νὰ πάρουν νὰ τοῦ μπήξουν
μέσα στὸ μάτι τὸ λοστό, καθὼς τὸν πάρη ὁ ὕπνος.
Βγῆκαν ἐκεῖνοι ποὺ κι ἐγὼ ποθοῦσα νὰ διαλέξω·
τέσσερεις βγήκανε, κι ἐγὼ πέμπτος μαζί τους ἤμουν.
Σὰ βράδιασε, ἤρθε φέρνοντας τ' ὡριόμαλλο κοπάδι,
καὶ ἔβαλε μέσα τὰ παχιὰ τὰ πρόβατα στὸ σπήλιο,
ὅλα, χωρὶς κανένα τους στὴν ὄξω αὐλὴ ν' ἀφήση.

ἦ τι ὀισάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευσεν.
αὐτὰρ ἔπειτ᾽ ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ᾽ ἀείρας,
ἐζόμενος δ᾽ ἤμελγεν ὄις καὶ μηκάδας αἶγας,
πάντα κατὰ μοῖραν, καὶ ὑπ᾽ ἔμβρυον ἦκεν ἑκάστῃ.
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
σὺν δ᾽ ὅ γε δὴ αὖτε δύω μάρψας ὡπλίσσατο δόρπον.
καὶ τότ᾽ ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστάς,
κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο·
"Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα,
ὄφρ᾽ εἰδῇς οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει
ἡμετέρη. σοὶ δ᾽ αὖ λοιβὴν φέρον, εἴ μ᾽ ἐλεήσας
οἴκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκέτ᾽ ἀνεκτῶς.
σχέτλιε, πῶς κέν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο
ἀνθρώπων πολέων, ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας;"
"ὣς ἐφάμην, ὁ δ᾽ ἔδεκτο καὶ ἔκπιεν· ἥσατο δ᾽ αἰνῶς
ἡδὺ ποτὸν πίνων καὶ μ᾽ ἤτεε δεύτερον αὖτις·
"᾽δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα εἰπὲ
αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίρῃς·
καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει·
ἀλλὰ τόδ᾽ ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.᾽
"ὣς φάτ᾽, ἀτάρ οἱ αὖτις ἐγὼ πόρον

Ἤ κάτι ἀτός του νά 'νιωσε, ἢ θεὸς τόνε φωτοῦσε.

Σήκωσε τότες κι ἔβαλε τὴν πέτρα τὴ μεγάλη,
καὶ γίδες κάθισε ἄρμεξε μαζὶ καὶ προβατίνες,
μὲ τάξη, καὶ τῆς καθεμιᾶς σιμὰ ἔβαλε τ' ἀρνί της.
Καὶ τὶς δουλειὲς τοῦ σπήλιου του σὰν τέλειωσε μὲ βιάση,
ἁρπάζει πάλε δυὸ μαζὶ καὶ δεῖπνο του τοὺς κάνει.

Τότες ἐγὼ τὸν Κύκλωπα σιμώνω καὶ τοῦ κρένω,
μ' ἕνα καρδάρι ὁλόγεμο μαῦρο κρασὶ στὰ χέρια·
"Νά, πάρε, πιές, ὦ Κύκλωπα, ποὺ τρῶς ἀνθρώπου κρέας,
νὰ δῆς πιοτὸ ποὺ φύλαγα κρυμμένο στὸ καράβι
σοῦ τό 'φερα γιὰ στάξιμο, ἴσως καὶ δείξης σπλάχνια,
καὶ πίσω στείλης με, μὰ ἐσὺ λυσσᾶς καὶ δὲ χορταίνεις.
Καὶ ποιός ἀπ' τοὺς πολλοὺς θνητούς, σκληρέ, θὰ ξαναρχόταν
ἐδῶ, κατόπι ἀπ' τ' ἄνομα καμώματά σου ἐδαῦτα;"

Εἶπα, κι ἐκεῖνος μὲ ὄρεξη τὸ παίρνει καὶ τὸ πίνει,
καὶ τόσο τὸ γλυκάθηκε, ποὺ δεύτερο γυρεύει·
"Φέρε μου κι ἄλλο πρόθυμα, πές μου καὶ τ' ὄνομά σου,
νὰ σὲ φιλέψω δῶρο ἐγώ, ποὺ νὰ τὸ καμαρώνης.
Δίνει κι ἐδῶ στοὺς Κύκλωπες ἡ πλούσια γῆς σταφύλια
ζουμὶ γεμάτα, ποὺ ἡ Βροχὴ τοῦ Δία τὰ ὡριμάζει·
μὰ εἶναι τῆς ἀμβροσίας αὐτὸ καὶ τοῦ νεχτάρου στάμα."
Εἶπε, κι ἐγὼ ἀπ' τὸ φλογερὸ κρασί

αἴθοπα οἶνον.
τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ᾽ ἔκπιεν ἀφραδίῃσιν.
αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἦλυθεν οἶνος,
καὶ τότε δή μιν ἔπεσσι προσηύδων μειλιχίοισι·
"Κύκλωψ, εἰρωτᾷς μ᾽ ὄνομα κλυτόν, αὐτὰρ ἐγώ τοι
ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης.
Οὖτις ἐμοί γ᾽ ὄνομα· Οὖτιν δέ με κικλήσκουσι
μήτηρ ἠδὲ πατὴρ ἠδ᾽ ἄλλοι πάντες ἑταῖροι.᾽
"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμείβετο νηλέι θυμῷ·
"Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑτάροισιν,
τοὺς δ᾽ ἄλλους πρόσθεν· τὸ δέ τοι ξεινήιον ἔσται.
"ἦ καὶ ἀνακλινθεὶς πέσεν ὕπτιος, αὐτὰρ ἔπειτα
κεῖτ᾽ ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
ἥρει πανδαμάτωρ· φάρυγος δ᾽ ἐξέσσυτο οἶνος
ψωμοί τ᾽ ἀνδρόμεοι· ὁ δ᾽ ἐρεύγετο οἰνοβαρείων.
καὶ τότ᾽ ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ ἦλασα πολλῆς,
ἦος θερμαίνοιτο· ἔπεσσι δὲ πάντας ἑταίρους
θάρσυνον, μή τίς μοι ὑποδείσας ἀναδύῃ.
ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ὁ μοχλὸς ἐλάινος ἐν πυρὶ μέλλεν
ἄψεσθαι, χλωρός περ ἐών, διεφαίνετο δ᾽ αἰνῶς,
καὶ τότ᾽ ἐγὼν ἆσσον φέρον ἐκ πυρός, ἀμφὶ δ᾽ ἑταῖροι
ἵσταντ᾽· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.

ξανάδωσά του·
τρεῖς τόνε κέρασα φορές, καὶ τρεῖς τό 'πιε ὁ χαμένος.
Καὶ τὸ κρασὶ στοῦ Κύκλωπα τὰ φρένα σάνε μπῆκε,
τότες μὲ λόγια μαλακὰ τοῦ μίλησα καὶ τοῦ 'πα·
"Κύκλωπα, τ' ὄνομά μου θές ; Ἐγὼ σ' τὸ φανερώνω·
κι ἐσὺ τὸ δῶρο ποὺ ἔταξες νὰ μὲ φιλέψῃς τώρα.
Κανένας ὄνομα ἔχω ἐγώ· Κανένα μὲ φωνάζουν
κι ἡ μάνα μου κι ὁ κύρης μου, κι οἱ ἄλλοι μου οἱ συντρόφοι."
Ἔτσ' εἶπα, κι αὐτὸς ἄξαφνα μὲ κάκια ἀπολογιέται·
"Καὶ τὸν Κανέναν ὕστερα ἀπ' τοὺς ἄλλους τοὺς συντρόφους
θὰ φάω ἐγώ· μὰ πρῶτα αὐτοὺς· τὸ δῶρο σου αὐτὸ θά 'ναι."
Εἶπε, καὶ στρώθη ἀνάσκελα πεσμένος, τὸ χοντρό του
τὸ σβέρκο πλάγι γέρνοντας καθὼς κοιτόνταν, κι ὕπνος
τὸν πῆρε ἀκαταπόνετος, κι ἀπ' τὸ λαιμό του βγαῖναν
κρασιὰ κι ἀνθρώπινες μπουκιές, ποὺ ξέρναε μεθυσμένος.
Ἔχωσα τότες τὸ δαυλὸ στὴν ἀναμμένη στάχτη
νὰ πυρωθῆ, καὶ γκάρδιωνα μὲ λόγια τοὺς συντρόφους,
μὴν τύχη καὶ κανένας τους δειλιάση καὶ δὲν ἔρθη.
Ὅτι ἄρχιζε τὸ λιόξυλο νὰ καίη, χλωρὸ κι ἂν ἦταν,
καὶ σπιθοβόλαε κόκκινο, ἀπ' τὴ φωτιὰ τὸ σέρνω.
Ὁλόγυρα στεκόντανε οἱ συντρόφοι μου, καὶ θάρρος
μεγάλο κάποιος στὴν ψυχὴ θεὸς μᾶς εἶχε βάλει.

οἱ μὲν μοχλὸν ἑλόντες ἐλάινον, ὀξὺν ἐπ᾽ ἄκρῳ,
ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ᾽ ἐφύπερθεν ἐρεισθεὶς
δίνεον, ὡς ὅτε τις τρυπῷ δόρυ νήιον ἀνὴρ

τρυπάνῳ, οἱ δέ τ᾽ ἔνερθεν ὑποσσείουσιν ἱμάντι
ἀψάμενοι ἑκάτερθε, τὸ δὲ τρέχει ἐμμενὲς αἰεί.
ὣς τοῦ ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες
δινέομεν, τὸν δ᾽ αἷμα περίρρεε θερμὸν ἐόντα.
πάντα δέ οἱ βλέφαρ᾽ ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀυτμὴ
γλήνης καιομένης, σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ σκέπαρνον
εἰν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα
φαρμάσσων· τὸ γὰρ αὖτε σιδήρου γε κράτος ἐστίν
ὣς τοῦ σίζ᾽ ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ.
σμερδαλέον δὲ μέγ᾽ ὤμωξεν, περὶ δ᾽ ἴαχε πέτρη,
ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ᾽· αὐτὰρ ὁ μοχλὸν
ἐξέρυσ᾽ ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ.
τὸν μὲν ἔπειτ᾽ ἔρριψεν ἀπὸ ἕο χερσὶν ἀλύων,
αὐτὰρ ὁ Κύκλωπας μεγάλ᾽ ἤπυεν, οἵ ῥά μιν ἀμφὶς
ὤκεον ἐν σπήεσσι δι᾽ ἄκριας ἠνεμοέσσας.
οἱ δὲ βοῆς ἀίοντες ἐφοίτων ἄλλοθεν ἄλλος,
ἱστάμενοι δ᾽ εἴροντο περὶ σπέος ὅττι

Πῆραν αὐτοὶ τὸ σουβλερὸ τὸ λιόξυλο στὰ χέρια,
τὸ μπήξανε στὸ μάτι του, κι ἐγὼ ἀπὸ πάνω τότες
τὸ στριφογύριζα καθὼς ὁ ξυλουργὸς τρυπάνι
στριφογυρνάει σὲ καραβιοῦ δοκάρι, κι ἀποκάτου
τραβᾶν οἱ ἄλλοι ἀπὸ τὶς δυὸ τὶς ἄκρες τὸ δεμένο
λουρὶ· καὶ τὸ κουνοῦν γοργά, καὶ δός του αὐτὸ γυρίζει·
παρόμοια τὸ δαυλὸ κι ἐμεῖς τὸν πυρωμένο μέσα
στὸ μάτι του γυρνούσαμε, κι ἔτρεχε γύρω τὸ αἷμα.
Τὸ μάτι καίγουνταν, κι ὁ ἀχνὸς ματόφυλλα καὶ φρύδια
καψάλιζε, κι οἱ ρίζες τους ἀπὸ τὴν πύρα τρίζαν.
Πῶς ὅταν τὸ σκεπάρνι του γιὰ τὸ τρανὸ πελέκι
χώνει στὸ κρύο νερὸ χαλκιάς, χοχλοβοπίζει ἐκεῖνο,
σκληραίνοντας καὶ δύναμη στὸ σίδερο γεννώντας,
ἔτσι τὸ μάτι τσίριζε στὸ λιόξυλο τριγύρω.
Μούγκριζ᾽ ἐκεῖνος φοβερά, κι ἀχολογοῦσε ὁ βράχος,
καὶ φεύγαμ᾽ ἐμεῖς τρέμοντας σὰν ἔσυρε ἀπ᾽ τὸ μάτι
τὸ λιόξυλο μὲ τὰ αἵματα βαμμένο πέρα ὡς πέρα.
Τὸ πέταξε ἀπ᾽ τὰ χέρια του τρελλὸς ἀπὸ τὸν πόνο,
καὶ χούγιαξε φωνάζοντες τοὺς Κύκλωπες νὰ ρθοῦνε
ἀπ᾽ τὶς σπηλιὲς ποὺ φώλιαζαν πὰς στ᾽ ἄγρια κορφοβούνια.
Κι ἐκεῖνοι ἀκοῦσαν τὸν ἀχό, καὶ δῶθε κεῖθε ἐρχόνταν,
κι ἔξω ἀπ᾽ τὸ σπήλιο στέκοντας ρωτοῦσαν

ἑ κήδοι·	τί παθαίνει·
"᾽τίπτε τόσον, Πολύφημ᾽, ἀρημένος ὧδ᾽ ἐβόησας	“Τί κακὸ σοῦ 'ρθε κι ἔτσι δά, Πολύφημε, φωνάζεις,
νύκτα δι᾽ ἀμβροσίην καὶ ἀύπνους ἄμμε τίθησθα;	μέσα σὲ νύχτα ἀθάνατη, καὶ μᾶς χαλνᾶς τὸν ὕπνο ;
ἦ μή τίς σευ μῆλα βροτῶν ἀέκοντος ἐλαύνει;	Ἢ παίρνει σου τὰ πρόβατα κάποιος θνητὸς μὲ ζόρι,
ἦ μή τίς σ᾽ αὐτὸν κτείνει δόλῳ ἠὲ βίηφιν;"	ἢ σὲ σκοτώνει αὐτὸς μαθὲς μὲ δύναμη ἢ μὲ δόλο ;”
"τοὺς δ᾽ αὖτ᾽ ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·	Κι ὁ δυνατὸς Πολύφημος μέσαθε κράζει· “Ὦφίλοι,
᾽ὦ φίλοι, Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίηφιν.᾽	μὲ δόλο, ὄχι μὲ δύναμη· Κανένας ὁ φονιάς μου.”
"οἱ δ᾽ ἀπαμειβόμενοι ἔπεα πτερόεντ᾽ ἀγόρευον·	Κι αὐτοὶ τοῦ ἀπολογήθηκαν μὲ λόγια φτερωμένα·
εἰ μὲν δὴ μή τίς σε βιάζεται οἷον ἐόντα,	“Κανένας σὰ δὲ σ' ἄγγιξε καὶ μόνος σου σὰν εἶσαι,
νοῦσον γ᾽ οὔ πως ἔστι Διὸς μεγάλου ἀλέασθαι,	κακὸ ποὺ ὁ Δίας ὁ τρανὸς σοῦ στέλνει, δὲν ξεφεύγεις.
ἀλλὰ σύ γ᾽ εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.᾽	Μόν' κάλεσε τὸν κύρη σου, τὸ ρήγα Ποσειδώνα.”
"ὣς ἄρ᾽ ἔφαν ἀπιόντες, ἐμὸν δ᾽ ἐγέλασσε φίλον κῆρ,	Εἴπανε, κι ἔφυγαν κι ἐγὼ στὰ μέσα μου χαιρόμουν,
ὡς ὄνομ᾽ ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.	ποὺ τ' ὄνομα τοὺς γέλασε, κι ἡ περισσή μου γνώση.
Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι	Κι ὁ Κύκλωπας στενάζοντας ἀπ' τὸ βαρὺ τὸν πόνο,
χερσὶ ψηλαφόων ἀπὸ μὲν λίθον εἷλε θυράων,	ψάχνει καὶ πάει ὡς τὴν μπασιὰ καὶ τὸ λιθάρι σέρνει·
αὐτὸς δ᾽ εἰνὶ θύρῃσι καθέζετο χεῖρε πετάσσας,	καὶ κάθισε στὴ θύρα ὀμπρός, ἁπλώνοντας τὰ χέρια,
εἴ τινά που μετ᾽ ὄεσσι λάβοι στείχοντα θύραζε·	κάποιον νὰ πιάση ἂν ἔβγαινε στ' ἀρνιὰ κρυμμένος μέσα.
οὕτω γάρ πού μ᾽ ἤλπετ᾽ ἐνὶ φρεσὶ νήπιον εἶναι.	Τόσο ἄμυαλος πὼς ἤμουνα τὸ θάρρεψε στὸ νοῦ του.
αὐτὰρ ἐγὼ βούλευον, ὅπως ὄχ᾽ ἄριστα γένοιτο,	Ὡς τόσο ἐγὼ τρόπο σωστὸ ζητοῦσα γιὰ νὰ φέρω
εἴ τιν᾽ ἑταίροισιν θανάτου λύσιν ἠδ᾽ ἐμοὶ αὐτῷ	κακοῦ θανάτου γλυτωμὸ σὲ μένα καὶ στοὺς ἄλλους,
εὑροίμην· πάντας δὲ δόλους καὶ μῆτιν ὕφαινον	καὶ δόλους ἔπλεχνα πολλοὺς γιὰ χάρη τῆς ζωῆς μας,
ὡς τε περὶ ψυχῆς· μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.	γιατὶ μεγάλη συφορὰ μᾶς τριγυρνοῦσε τότες.

ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
ἄρσενες ὄιες ἦσαν ἐυτρεφέες, δασύμαλλοι,
καλοί τε μεγάλοι τε, ἰοδνεφὲς εἶρος ἔχοντες·
τοὺς ἀκέων συνέεργον ἐυστρεφέεσσι λύγοισιν,
τῇς ἔπι Κύκλωψ εὖδε πέλωρ, ἀθεμίστια εἰδώς,
σύντρεις αἰνύμενος· ὁ μὲν ἐν μέσῳ ἄνδρα φέρεσκε,
τὼ δ᾽ ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους.
τρεῖς δὲ ἕκαστον φῶτ᾽ ὄιες φέρον· αὐτὰρ ἐγώ γε--
ἀρνειὸς γὰρ ἔην μήλων ὄχ᾽ ἄριστος ἁπάντων,
τοῦ κατὰ νῶτα λαβών, λασίην ὑπὸ γαστέρ᾽ ἐλυσθεὶς
κείμην· αὐτὰρ χερσὶν ἀώτου θεσπεσίοιο
νωλεμέως στρεφθεὶς ἐχόμην τετληότι θυμῷ.
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν ᾿Ηῶ δῖαν.
"ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος ᾿Ηώς,
καὶ τότ᾽ ἔπειτα νομόνδ᾽ ἐξέσσυτο ἄρσενα μῆλα,
θήλειαι δὲ μέμηκον ἀνήμελκτοι περὶ σηκούς·
οὔθατα γὰρ σφαραγεῦντο. ἄναξ δ᾽ ὀδύνῃσι κακῇσι
τειρόμενος πάντων ὀίων ἐπεμαίετο νῶτα
ὀρθῶν ἑσταότων· τὸ δὲ νήπιος οὐκ ἐνόησεν,
ὥς οἱ ὑπ᾽ εἰροπόκων ὀίων στέρνοισι δέδεντο.
ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε
λάχνῳ στεινόμενος καὶ ἐμοὶ πυκινὰ

Καὶ νά, ποιὰ γνώμη φάνηκε ἡ καλύτερη στὸ νοῦ μου.
Εἶχε κριάρια ἐκεῖ παχιά, πυκνόμαλλα, μεγάλα,
ὡραῖα, καὶ ποὺ μαύριζε ἡ προβιά τους σὰ γιοφύλλι·
αὐτὰ σιγὰ μὲ λυγαριὲς καλοστριμμένες δένω,
ποὺ ὁ Κύκλωπας γιὰ στρῶμα του τὶς εἶχε ὁ θεομπαίχτης,
ὅλ᾽ ἀπὸ τρία· τὸ μεσιανὸ μ᾽ ἕν᾽ ἄντρα φορτωμένο,
καὶ τ᾽ ἄλλα ἀπὸ τὶς δυὸ μεριὲς νὰ τόνε διαφεντεύουν·
ἔτσι τὰ κάθε τριὰ ἀρνιὰ κι ἕνα ἄντρα κουβαλοῦσαν.
Πιάνω κι ἐγὼ τὸ πιὸ λαμπρὸ κριάρι ἀπὸ τὴ ράχη,
καὶ στὴν κοιλιά του χαμηλὰ τὴ μαλλιαρὴ κρεμιέμαι,
ἀπ᾽ τ᾽ ὥριο του μαλλὶ σφιχτὰ καὶ δυνατὰ πιασμένος.
᾽Εκεῖ βαριαστενάζαμε προσμένοντας νὰ φέξη.
Κι ἡ ροδοδάχτυλη ἡ Αὐγὴ σὰ φάνηκε ἀπ᾽ τὰ σκότη,
πρὸς τὴ βοσκὴ χουμίξανε τ᾽ ἀρσενικὰ κοπάδι,
κι ἀνάρμεγα βογγούσανε τὰ θηλυκὰ στὶς μάντρες,
τὶ σκάζαν τὰ μαστάρια τους· κι αὐτὸς τυραννισμένος
ἀπὸ τοὺς πόνους, ἔψαχνε τὶς ράχες τῶν προβάτων
ὀρθὰ καθὼς στεκόντανε· μὴ νιώθοντας ὁ κλούβιος
πὼς ὅλοι στὰ μαλλάτα τους τὰ στήθια ἦταν δεμένοι.
Προβάλλει ἀπ᾽ ὅλα πιὸ στερνὸ στὴ θύρα τὸ κριάρι,
μ᾽ ἐμένα τὸν παμπόνηρο καὶ τὸ μαλλὶ φορτιό

φρονέοντι.
τὸν δ᾽ ἐπιμασσάμενος προσέφη κρατερὸς Πολύφημος·
"᾽κριὲ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
ὕστατος; οὔ τι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν᾽ ἄνθεα ποίης
μακρὰ βιβάς, πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις,
πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονέεσθαι
ἑσπέριος· νῦν αὖτε πανύστατος. ἦ σύ γ᾽ ἄνακτος
ὀφθαλμὸν ποθέεις, τὸν ἀνὴρ κακὸς ἐξαλάωσε
σὺν λυγροῖς ἑτάροισι δαμασσάμενος φρένας οἴνῳ,
Οὖτις, ὃν οὔ πώ φημι πεφυγμένον εἶναι ὄλεθρον.
εἰ δὴ ὁμοφρονέοις ποτιφωνήεις τε γένοιο
εἰπεῖν ὅππῃ κεῖνος ἐμὸν μένος ἠλασκάζει·
τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλῃ
θεινομένου ῥαίοιτο πρὸς οὔδεϊ, κὰδ δέ κ᾽ ἐμὸν κῆρ
λωφήσειε κακῶν, τά μοι οὐτιδανὸς πόρεν Οὖτις.᾽
"ὣς εἰπὼν τὸν κριὸν ἀπὸ ἕο πέμπε θύραζε.
ἐλθόντες δ᾽ ἠβαιὸν ἀπὸ σπείους τε καὶ αὐλῆς
πρῶτος ὑπ᾽ ἀρνειοῦ λυόμην, ὑπέλυσα δ᾽ ἑταίρους.
καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα, πίονα δημῷ,
πολλὰ περιτροπέοντες ἐλαύνομεν, ὄφρ᾽ ἐπὶ νῆα
ἱκόμεθ᾽. ἀσπάσιοι δὲ φίλοις ἑτάροισι

του.
Καὶ ψάχνοντάς το ὁ δυνατὸς Πολύφημος τοῦ κρένει·
"Κριάρι μου καλό, γιατὶ στερνὸ ἀπ' τὸ σπήλιο βγαίνεις,
ἐσὺ ποὺ δὲν ἀπόμνησκες ποτὲς ἀπ' τ' ἄλλα πίσω,
μόν' πρῶτο τοὺς χλωροὺς ἀνθοὺς τοῦ γρασιδιοῦ νὰ κόψης
πηλάλαες, καὶ στὶς ρεματιὲς ροβόλαες πάντα πρῶτο,
καὶ νά 'ρθης πρῶτο τὸ βραδὺ βιαζόσουνα στὴ μάντρα;
σὺ καὶ τώρα μοῦ 'ρχεσαι στερνό· γιά τάχα τοῦ κυροῦ σου
κι ἐσὺ τὸ μάτι λαχταρεῖς, ποὺ μὲ κακούς συντρόφους
μοῦ τό 'βγαλε, σὰ ζάλισε μὲ τὸ κρασὶ τὸ νοῦ μου,
καταραμένος ἄνθρωπος, ἐκεῖνος ὁ Κανένας,
ποὺ ἐγὼ θαρρῶ ἀπὸ θάνατο κακὸ δὲ θὰ γλυτώση.
Ἂν εἶχες γνώμη ὅπως ἐγὼ καὶ μιλησιὰ σοῦ 'ρχόταν,
γιὰ νὰ μοῦ πῆς ποὺ κρύβεται καὶ δὲν τὸν φτάνει ἡ ὀργή μου,
ἐδῶ κι ἐκεῖ θὰ σκόρπαγαν σκασμένα τὰ μυαλά του
στὸ σπήλιο χάμου, καὶ μικρὴ θά 'χε ἡ ψυχή μου ἀνάσα
ἀπ' τὰ δεινὰ ποὺ ὁ ἄτιμος Κανένας μοῦ ἔχει φέρει."
Αὐτὰ σὰν εἶπε, τό 'σπρωξε καταόξω τὸ κριάρι.
Κι ἀπ' τὴ σπηλιὰ ἅμα βγήκαμε κι ἀπ' τῆς αὐλῆς τὸ γῦρο,
ξελύθηκα, καὶ ξέλυσα κατόπι καὶ τοὺς ἄλλους,
κι ἀπ' τὰ λιγνόποδα τ' ἀρνιά, πού ξύγγι ἦταν γεμάτα,
πολλὰ στὸ δρόμο ἁρπάζοντας γυρνοῦμε στὸ καράβι.
Χαρῆκαν σὰ μᾶς εἴδανε τοῦ καραβιοῦ οἱ

φάνημεν,
οἳ φύγομεν θάνατον, τοὺς δὲ στενάχοντο γοῶντες.
ἀλλ᾽ ἐγὼ οὐκ εἴων, ἀνὰ δ᾽ ὀφρύσι νεῦον ἑκάστῳ,
κλαίειν, ἀλλ᾽ ἐκέλευσα θοῶς καλλίτριχα μῆλα
πόλλ᾽ ἐν νηὶ βαλόντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ.
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἀλλ᾽ ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
καὶ τότ᾽ ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι·
"Κύκλωψ, οὐκ ἄρ᾽ ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους
ἔδμεναι ἐν σπῆι γλαφυρῷ κρατερῇφι βίηφι.
καὶ λίην σέ γ᾽ ἔμελλε κιχήσεσθαι κακὰ ἔργα,
σχέτλι᾽, ἐπεὶ ξείνους οὐχ ἅζεο σῷ ἐνὶ οἴκῳ
ἐσθέμεναι· τῷ σε Ζεὺς τίσατο καὶ θεοὶ ἄλλοι.᾽
"ὣς ἐφάμην, ὁ δ᾽ ἔπειτα χολώσατο κηρόθι μᾶλλον,
ἦκε δ᾽ ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο,
κὰδ δ᾽ ἔβαλε προπάροιθε νεὸς κυανοπρῳροιο.

ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·

τὴν δ᾽ αἶψ᾽ ἤπειρόνδε παλιρρόθιον φέρε κῦμα,
πλημυρὶς ἐκ πόντοιο, θέμωσε δὲ χέρσον ἱκέσθαι.
αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα κοντὸν

συντρόφοι,
ἐμᾶς ποὺ ξεγλυτώσαμε· τοὺς ἄλλους τοῦς θρηνοῦσαν.
Κι εὐτὺς ἐγὼ τοὺς ἔγνεψα ν' ἀφήσουνε τὶς κλάψες,
καὶ πρόσταξα τὰ ὡριόμαλλα τ' ἀρνιὰ μεμιὰς νὰ ρίξουν
στὸ πλοῖο, καὶ πρὸς τ' ἁρμυρὰ τὰ πέλαα νὰ τραβήξουν.
Καὶ μέσα εὐτὺς μπῆκαν αὐτοί, καθίσανε στοὺς πάγκους,
καὶ τὸν ἀστραφτερὸ γιαλὸ μὲ τὰ κουπιὰ βαροῦσαν.
Σὰν ἤμασταν ὅσο μακριὰ μπόρειε ἡ φωνὴ νὰ φτάση,
τότες ἐγὼ τοῦ Κύκλωπα πειραχτικὰ φωνάζω·
"Δὲ σοῦ 'ταν, Κύκλωπα, γραφτό, δειλοῦ θνητοῦ συντρόφους
νὰ φᾶς μὲς στὴ βαθειὰ σπηλιὰ μὲ τόση ἀγριωσύνη.
Μόνε γραφτό 'ταν τὰ ἔργα σου τὰ μαῦρα νὰ σὲ βροῦνε,
ποὺ δὲ φοβήθηκες, σκληρέ, στὴ στέγη σου τοὺς ξένους
νὰ φᾶς, κι ὁ Δίας κι οἱ θεοὶ σοῦ τὰ πλερῶσαν τώρα."
Εἶπα, κι ἐκείνου χόλιασε περσότερο ἡ ψυχή του,
καὶ ξεκολνώντας τὴν κορφὴ τρανοῦ βουνοῦ, τὴν παίρνει
κι ὀμπρὸς στὸ μελανόπλωρο καράβι τὴν τινάζει·
[καὶ κόντεψε τοῦ τιμονιοῦ τὴν ἄκρη νὰ βαρέση].
Κι ἡ θάλασσα τρικύμισε σὰν ἤρθε κάτω ἡ πέτρα·
κι εὐτὺς τὸ κῦμα τράβηξε στὰ πίσω τὸ καράβι,
φουσκονεριὰ ἀπ' τὸ πέλαγο, κι ὡς τὴ στεριὰ τὸ φέρνει,
Μὰ ἐγὼ κοντάρι ἁρπάζοντας μακρὺ τό 'σπρωξα ἀλάργα,

ὧσα παρέξ, ἑτάροισι δ᾽ ἐποτρύνας ἐκέλευσα
ἐμβαλέειν κώπῃς, ἵν᾽ ὑπὲκ κακότητα φύγοιμεν,
κρατὶ κατανεύων· οἱ δὲ προπεσόντες ἔρεσσον.
ἀλλ᾽ ὅτε δὴ δὶς τόσσον ἄλα πρήσσοντες ἀπῆμεν,
καὶ τότε δὴ Κύκλωπα προσηύδων· ἀμφὶ δ᾽ ἑταῖροι
μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
"᾽σχέτλιε, τίπτ᾽ ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;
ὃς καὶ νῦν πόντονδε βαλὼν βέλος ἤγαγε νῆα
αὖτις ἐς ἤπειρον, καὶ δὴ φάμεν αὐτόθ᾽ ὀλέσθαι.
εἰ δὲ φθεγξαμένου τευ ἢ αὐδήσαντος ἄκουσε,
σύν κεν ἄραξ᾽ ἡμέων κεφαλὰς καὶ νήια δοῦρα
μαρμάρῳ ὀκριόεντι βαλών· τόσσον γὰρ ἴησιν.᾽
"ὣς φάσαν, ἀλλ᾽ οὐ πεῖθον ἐμὸν μεγαλήτορα θυμόν,
ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ·
"Κύκλωψ, αἴ κέν τίς σε καταθνητῶν ἀνθρώπων
ὀφθαλμοῦ εἴρηται ἀεικελίην ἀλαωτύν,
φάσθαι Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι,
υἱὸν Λαέρτεω, ᾽Ιθάκῃ ἔνι οἰκί᾽ ἔχοντα.᾽
"ὣς ἐφάμην, ὁ δέ μ᾽ οἰμώξας ἠμείβετο μύθῳ·
᾽ὦ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ᾽ ἱκάνει.
ἔσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠύς τε μέγας τε,
Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ

καὶ στοὺς συντρόφους ἔγνεψα μὲ τὸ κεφάλι ἀμέσως,
προστάζοντας νὰ πιάσουνε κουπὶ γιὰ νὰ σωθοῦμε,
ἀπ' τὸ χαμό· καὶ στὸ κουπὶ μεμιὰς αὐτοὶ ριχτῆκαν.
Στὴ θάλασσα ὅμως διάστημα σὰ βγήκαμε ἄλλο τόσο,
ἐγὼ ἄλλη μιὰ τοῦ φώναξα τοῦ Κύκλωπα, ἂν κι οἱ ἄλλοι
μὲ λόγια παρακαλεστὰ μὲ μπόδιζαν καὶ κρέναν·
"Τέτοιον ἀγριάνθρωπο τί θές, καημένε, κι ἐρεθίζεις ;
ποὺ μιά του μοναχὴ πετριὰ μᾶς γύρισε τὸ πλοῖο
κατὰ στεριᾶς καὶ λέγαμε πὼς ἦρθε πιὰ ὁ χαμός μας.
Κι ἀνίσως τότες ἄκουγε λαλιὰ γιὰ φωνητό μας,
κομμάτια θὰ μᾶς ἔκανε κεφάλια καὶ καράβι,
μὲ κάποια του χοντρόπετρα· τόσο μακριὰ τὶς ρίχτει."
Εἶπαν, μὰ ἐγὼ ὁ τρανόψυχος δὲν ἤθελα ν' ἀκούσω,
μόν' ἄλλη μιὰ τοῦ φώναξα μὲ χολιασμένα σπλάχνα·
"Κύκλωπα, ἂν ἄνθρωπος θνητὸς κανένας σὲ ρωτήξη
πῶς ἔτυχε τὸ μάτι σου κακοτυφλιὰ νὰ πάθη,
τό 'χει τυφλώσει νὰ τοὺς πῆς ὁ κουρσευτὴς Δυσσέας,
,τοῦ Λαέρτη ὁ γιός, ποὺ βρίσκεται στὸ Θιάκι ἡ κατοικιά του."
Αὐτὰ εἶπα, καὶ μουγκρίζοντας ἀπολογήθη ἐκεῖνος·
"Ἀλλοίς, γιὰ δὲς πῶς τὰ παλιὰ μαντέματα μοῦ βγῆκαν,
Ἦταν ἐδῶ προφήτης μας παράξιος καὶ μεγάλος,
ὁ Τήλεμος τοῦ Εὐρύμου ὁ γιός, στὴ

ἐκέκαστο
καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσιν·
ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
χειρῶν ἐξ Ὀδυσῆος ἀμαρτήσεσθαι ὀπωπῆς.
ἀλλ᾽ αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην
ἐνθάδ᾽ ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκήν·
νῦν δέ μ᾽ ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς
ὀφθαλμοῦ ἀλάωσεν, ἐπεί μ᾽ ἐδαμάσσατο οἴνῳ.
ἀλλ᾽ ἄγε δεῦρ᾽, Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια θείω
πομπήν τ᾽ ὀτρύνω δόμεναι κλυτὸν ἐννοσίγαιον·
τοῦ γὰρ ἐγὼ πάϊς εἰμί, πατὴρ δ᾽ ἐμὸς γιατ' εἶμαι ἐκείνου ἐγὼ παιδί, καὶ κύρης μου
εὔχεται εἶναι.
αὐτὸς δ᾽, αἴ κ᾽ ἐθέλῃσ᾽, ἰήσεται, οὐδέ τις ἄλλος
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
αἴ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην
εὖνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω,
ὡς οὐκ ὀφθαλμόν γ᾽ ἰήσεται οὐδ᾽ ἐνοσίχθων.᾽
"ὣς ἐφάμην, ὁ δ᾽ ἔπειτα Ποσειδάωνι ἄνακτι
εὔχετο χεῖρ᾽ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
᾽κλῦθι, Ποσείδαον γαιήοχε κυανοχαῖτα,
εἰ ἐτεόν γε σός εἰμι, πατὴρ δ᾽ ἐμὸς εὔχεαι εἶναι,
δὸς μὴ Ὀδυσσῆα πτολιπόρθιον οἴκαδ᾽ ἱκέσθαι

μαντοσύνη πρῶτος,
ποὺ γέρασε μαντεύοντας στὴ χώρα τῶν Κυκλώπων
αὐτὰ ὅλα ἐκειὸς μοῦ τά 'λεγε πὼς θὰ γενοῦν μιὰ μέρα,
καὶ πὼς θὰ χάσω ἐγὼ τὸ φῶς ἀπ' τοῦ Ὀδυσσέα τὰ χέρια.
Μὰ πάντα ἐγὼ φαντάζομουν κάποιον τρανὸ λεβέντη,
πὼς θά 'ρθη ἐδῶ μὲ δύναμη μεγάλη ἁρματωμένος.
Κι ἄξαφνα τώρα ἕνας μικρὸς καὶ τιποτένιος νάνος,
δαμάζοντάς με μὲ κρασὶ τὸ μάτι μου στραβώνει.
Μὰ ἔλα, Ὀδυσσέα, γύρνα ἐδῶ, νὰ σὲ ξενοφιλέψω,
καὶ νὰ σοῦ κάμω προβοδὸ τὸ θεὸ τὸν κοσμοσείστη·
παινιέται.
Καὶ θὰ μὲ γιάνη ἂν θέλη, αὐτός, κι ὄχι ἄλλος μὲς στὸν κόσμο,
μήτε θεὸς μακαριστός, μήτε θνητὸς κανένας."
Εἶπε, κι ἐγὼ ἀποκρίθηκα· "Μακάρι νὰ δυνόμουν
νὰ σὲ στερήσω ἀπὸ ψυχὴ κι ἀπὸ ζωή, καὶ μέσα
στὰ μαῦρα λημεριάσματα νὰ σὲ γκρεμίσω τοῦ Ἅδη,
νὰ μὴν μπορῆ τὸ μάτι σου ν' ἀνοίξη μήτε ὁ Σείστης."
Εἶπα, κι αὐτὸς δεήθηκε στὸ μέγα Ποσειδώνα,
ἁπλώνοντας τὰ χέρια του στὰ ὁλόαστρα τὰ οὐράνια·
"Ὦ Ποσειδώνα, βασταχτὴ τῆς γῆς, καὶ μαυροχήτη,
συνάκουσέ με, ἂν σοῦ εἶμαι γιός, καὶ κύρης μου ἂν παινιέσαι·
κάμε ὁ Δυσσέας ὁ κουρσευτὴς νὰ μὴ γυρίση πίσω,

υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί᾽ ἔχοντα. [τοῦ Λαέρτη ὁ γιός, ποὺ βρίσκεται στὸ
ἀλλ᾽ εἴ οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι Θιάκι ἡ κατοικιά του],
οἶκον ἐυκτίμενον καὶ ἑὴν ἐς πατρίδα γαῖαν, Κι ἂν εἶν' τῆς μοίρας του γραφτὸ νὰ δῆ τοὺς ποθητούς του,
ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἄπο πάντας ἑταίρους, τὸ σπίτι τὸ καλόχτιστο καὶ τὴν πατρίδα ἐκεῖνος,
ἂς κακοφτάση ἀργά, χωρὶς κανένα σύντροφό του,
νηὸς ἐπ᾽ ἀλλοτρίης, εὕροι δ᾽ ἐν πήματα οἴκῳ.᾽ μὲ ξένο πλοῖο, καὶ συφορὲς νὰ βρῆ στὸ σπιτικό του,"
"ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε κυανοχαίτης. Εἶπε, καὶ τὸν συνάκουσε ὁ θεὸς ὁ μαυροχήτης.
αὐτὰρ ὅ γ᾽ ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας Καὶ τότες πιὸ θεόρατη ξανασηκώνει πέτρα,
ἧκ᾽ ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν᾽ ἀπέλεθρον, στριφογυρνάει την, καὶ μὲ ὁρμὴ τὴ ρίχτει γιγαντένια,
κὰδ᾽ δ᾽ ἔβαλεν μετόπισθε νεὸς κυανοπρῴροιο καὶ πίσω ἀπ' τὸ μαυρόπλωρο καράβι τὴν τινάζει,
τυτθόν, ἐδεύησεν δ᾽ οἰήιον ἄκρον ἱκέσθαι. καὶ κόντεψε τοῦ τιμονιοῦ τὴν ἄκρη νὰ βαρέση.
ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης· Κι ἡ θάλασσα τρικύμισε σὰν ἦρθε κάτω ἡ πέτρα,
τὴν δὲ πρόσω φέρε κῦμα, θέμωσε δὲ χέρσον ἱκέσθαι. [κι ἦρθε τὸ κῦμα κι ἔσπρωξε πέρ' ἀπ' τὴ γῆς τὸ πλοῖο].
"ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ᾽, ἔνθα περ ἄλλαι Καὶ στὸ νησὶ σὰ φτάσαμε ποὺ τ' ἄλλα μας καράβια
νῆες ἐύσσελμοι μένον ἀθρόαι, ἀμφὶ δ᾽ ἑταῖροι τὰ καλοσκάρωτα ἔμνησκαν, καὶ ποὺ οἱ συντρόφοι γύρω
ἧατ᾽ ὀδυρόμενοι, ἡμέας ποτιδέγμενοι αἰεί, καθόντανε καὶ κλαίγουνταν προσμένοντας μας πάντα,
νῆα μὲν ἔνθ᾽ ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν, ἴσια στὸν ἄμμο σύραμε καὶ ἀράξαμε τὸ πλοῖο,
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης. καὶ τότες βγήκαμε κι ἐμεῖς ἀπάνω στ' ἀκρογιάλι.
μῆλα δὲ Κύκλωπος γλαφυρῆς ἐκ νηὸς ἑλόντες Καὶ φέρνοντας τὰ πρόβατα τοῦ Κύκλωπα ἀπ' τὸ πλοῖο,
δασσάμεθ᾽, ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης. τὰ μοιραστήκαμε, μὴ βγῆ κανεὶς ἀδικημένος.
ἀρνειὸν δ᾽ ἐμοὶ οἴῳ ἐυκνήμιδες ἑταῖροι Μὰ στῶν ἀρνιῶν τὸ μοίρασμα μοῦ δώσανε
μήλων δαιομένων δόσαν ἔξοχα· τὸν δ᾽ ἐπὶ θινὶ οἱ λεβέντες,
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει, καὶ τὸ κριάρι ξέχωρα· καὶ τό 'σφαξα στὸν ἄμμο,
τοῦ Δία τοῦ μαυρονέφελου, ποὺ εἶν' ὅλων

ῥέξας μηρί᾽ ἔκαιον· ὁ δ᾽ οὐκ ἐμπάζετο βασιλέας,
ἱρῶν,
ἀλλ᾽ ὅ γε μερμήριξεν ὅπως καὶ τὰ μεριὰ τοῦ πρόσφερα· μὰ ἐκεῖνος
ἀπολοίατο πᾶσαι ἀψηφοῦσε
θυσίες, καὶ λογάριαζε τὰ πλοῖα μας ν' ἀφανίση
νῆες ἐύσσελμοι καὶ ἐμοὶ ἐρίηρες τὰ καλοσκάρωτα, μαζὶ μὲ τοὺς καλοὺς
ἑταῖροι. συντρόφους.
"ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον Ἐκεῖ λοιπὸν καθόμασταν ὁλήμερα ὡς τὸ
καταδύντα γέρμα,
ἤμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μὲ κρέατα καὶ μὲ κρασὶ γλυκὸ
μέθυ ἡδύ· φαγοποτώντας.
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας Κι ὁ ἥλιος σάνε βύθισε, κι ἁπλώθηκε σκοτάδι,
ἦλθε, νὰ κοιμηθοῦμε πέσαμε στὸ περιγιάλι ἀπάνω.
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι
θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη
Ἠώς, Αὐγούλα,
δὴ τότ᾽ ἐγὼν ἑτάροισιν ἐποτρύνας καὶ τότες τοὺς συντρόφους μου προστάζω
ἐκέλευσα στὰ καράβια,
αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε νὰ μποῦν καῖ τᾶ πρυμόσκοινα νὰ λύσουν. Κι
πρυμνήσια λῦσαι· αὐτοὶ μπῆκαν
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι κι ἀπὰς στούς πάγκους πήγανε καὶ κάθισαν
καθῖζον, ἀράδα,
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον καὶ τὸν ἀστραφτερὸ γιαλὸ μὲ τὰ κουπιὰ
ἐρετμοῖς. βαροῦσαν.
Καὶ πλέγαμε βαριόψυχοι, ποὺ ἂν κι
"ἔνθεν δὲ προτέρω πλέομεν ἤμασταν σωσμένοι,
ἀκαχήμενοι ἦτορ, τόσους συντρόφους χάσαμε καλοὺς κι
ἄσμενοι ἐκ θανάτοιο, φίλους ἀγαπημένους.
ὀλέσαντες ἑταίρους.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία κ

Τὰ περὶ Αἰόλου καὶ Λαιστρυγόνων καὶ Κίρκης.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

"Αἰολίην δ᾽ ἐς νῆσον ἀφικόμεθ᾽· ἔνθα Στῆς Αἰολίας τὸ νησὶ τότε ἤρθαμε, ποῦ
δ᾽ ἔναιεν ζοῦσε
Αἴολος Ἱπποτάδης, φίλος τοῦ Ἱππότη ὁ γιὸς ὁ Αἴολος, τῶν θεῶν
ἀθανάτοισι θεοῖσιν, ἀγαπημένος·
πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν νησὶ πλεούμενο· χαλκὸς τειχὶ τὸ περιζώνει,

πέρι τεῖχος
χάλκεον ἄρρηκτον, λισσὴ δ' ἀναδέδρομε πέτρη.
τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
ἔνθ' ὅ γε θυγατέρας πόρεν υἱάσιν εἶναι ἀκοίτις.
οἱ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
δαίνυνται, παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται,
κνισῇεν δέ τε δῶμα
περιστεναχίζεται αὐλῇ
ἤματα· νύκτας δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν
εὕδουσ' ἔν τε τάπησι καὶ ἐν τρητοῖσι λέχεσσι.
καὶ μὲν τῶν ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
μῆνα δὲ πάντα φίλει με καὶ ἐξερέεινεν ἕκαστα,
Ἴλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν·
καὶ μὲν ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ἤτεον ἠδ' ἐκέλευον
πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν.
δῶκε δέ μ' ἐκδείρας ἀσκὸν βοὸς ἐννεώροιο,
ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα·
κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
ἠμὲν παυέμεναι ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσι.
νηὶ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ
ἀργυρέῃ, ἵνα μή τι παραπνεύσῃ ὀλίγον περ·

γερὸ σὲ ὀρθὰ καὶ γλιστερὰ θεμελιωμένο βράχια.

Καὶ δώδεκα εἶχε αὐτὸς παιδιὰ μὲς στ' ὥριο του παλάτι,
ἔξη κοπέλλες, κι ἔξη γιοὺς, τῆς ὥρας παλληκάρια.
Στὶς ἔξη θυγατέρες του δίνει γαμπροὺς τοὺς γιούς του,
ποὺ ζοῦνε μὲ τὸν κύρη τους καὶ μὲ τὴν ἄξια μάνα,
καὶ μύρια χαίρουνται μαζὶ πιοτὰ καὶ καλοφάγια.

Ὁλήμερα γεμάτο ἀχὸ καὶ τσίκνα τὸ παλάτι,
κι ὁλονυχτὶς πλαγιάζουνε μὲ τὰ καλά τους ταίρια,
πάνω σὲ μαλακὰ χαλιὰ καὶ σκαλιστὰ κρεβάτια.
Σ' αὐτῶν τὴ χώρα φτάσαμε καὶ τὰ λαμπρὰ παλάτια.
Μήνα μὲ ξενοφίλευαν καὶ καθετὶς ρωτοῦσαν,
γιὰ τὸ Ἴλιο, γιὰ τοὺς Ἀχαιοὺς, τὰ πλοῖα, τὸ γυρισμό τους·
κι ἐγὼ τοῦ τὰ δηγόμουνα μὲ τὴ σειρά καθένα.
Μὰ σὰν τοῦ ζήτησα κι ἐγὼ νὰ μὲ ξεπροβοδώση,
ὄχι δὲν εἶπε, μόν' καλὴ προβόδωση μοῦ κάνει.
Ἔνταρε βόδι ἐννιάχρονο, καὶ μοῦ 'δωσε τ' ἀσκί του
μὲ κάθε ἀνέμου βουητεροῦ φυσήματα γεμάτο·
τὶ ὁ γιὸς τοῦ Κρόνου φύλακα τὸν εἶχε τῶν ἀνέμων,
νὰ παύη ἢ νὰ σηκώνη αὐτὸς ὅποιον ἀγέρα θέλει.
Καὶ μ' ἀσημένιο τό 'δεσε μὲς στὸ καράβι νῆμα,
ποὺ μήτε λίγο φύσημα ἀπεκεῖ νὰ μὴν ξεφεύγη·

αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ᾽ ἄρ᾽ ἔμελλεν
ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ᾽ ἀφραδίῃσιν.
"ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ,
τῇ δεκάτῃ δ᾽ ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα,
καὶ δὴ πυρπολέοντας ἐλεύσσομεν ἐγγὺς ἐόντες·
ἔνθ᾽ ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα,
αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων, οὐδέ τῳ ἄλλῳ
δῶχ᾽ ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν·
οἱ δ᾽ ἔταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
καί μ᾽ ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ᾽ ἄγεσθαι
δῶρα παρ᾽ Αἰόλου μεγαλήτορος Ἱπποτάδαο.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"᾽ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
ληίδος, ἡμεῖς δ᾽ αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες
οἴκαδε νισσόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες·
καὶ νῦν οἱ τάδ᾽ ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος. ἀλλ᾽ ἄγε θᾶσσον ἰδώμεθα ὅττι τάδ᾽ ἐστίν,
ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.᾽
"ὣς ἔφασαν, βουλὴ δὲ κακὴ νίκησεν

καὶ μοῦ ἔβγαλε τὸ Ζέφυρο γιὰ νὰ καταβοδώση
κι ἐμᾶς καῖ τᾶ καράβια μας· μὰ ὁ δρόμος νὰ τελειώση
δὲν ἔμελλε· τὶ ἀπ' ἀγνωσιὰ χαθήκαμε δική μας·
Μέρες ἐννιὰ ἀρμενίζαμε μερονυχτίς· στὶς δέκα
ἀρχίζει πιὰ καὶ φαίνουνταν ἡ γῆς ἡ πατρική μου,
καὶ τὶς φωτιὲς ξανοίγαμε ποὺ καῖγαν ἀντικρύ μας.
Τότες ἐγὼ γλυκόπεσα στὸν ὕπνο ἀποσταμένος,
ποὺ κανενὸς δὲν ἄφηνα τοῦ καραβιοῦ τὴ σκότα,
μόνε ἴδιος μου τὴν κράταγα, πιὸ γλήγορα νὰ 'ρθοῦμε·
κι ὅλοι οἱ συντρόφοι μου ἀρχινοῦν κι ἀναμεσά τους κρένουν,
πὼς τάχα μάλαμα ἔφερνα κι ἀσημικὸ μαζί μου,
τοῦ Αἰόλου τοῦ τρανόκαρδου τοῦ γιοῦ τοῦ Ἱππότη δῶρο.
Καὶ γύρισε καὶ μίλησε τοῦ πλαγινοῦ του κάποιος.
"Γιὰ δῆτε πῶς τὸν ἀγαποῦν παντοῦ καὶ τὸν τιμοῦνε,
σ' ὅποιους ἀνθρώπους ἔρχεται καὶ σ' ὅποια χώρα βγαίνει.
Ἀπ' τὴν Τρωάδα θησαυροὺς πολλοὺς κι ὡραίους φέρνει,
κι ἐμεῖς, ποὺ τὸ ἴδιο κάναμε ταξίδι ὅπως ἐκεῖνος,
γυρίζουμε στὸν τόπο μας μὲ τ' ἀδειανὰ τὰ χέρια.
Καὶ τώρα δὲς τί ὁ Αἴολος τοῦ χάρισε γιὰ ἀγάπη·
ἂς πᾶμε κι ἂς κοιτάξουμε τί νά 'ναι τάχα ἐτοῦτα,
πόσο χρυσάφι μὲς στ' ἀσκὶ καὶ πόσο ἀσήμι φέρνει."
Εἶπαν, καὶ νίκησε ἡ κακὴ βουλὴ μὲς στοὺς

ἑταίρων·
ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ᾽ ἐκ πάντες ὄρουσαν.
τοὺς δ᾽ αἶψ᾽ ἁρπάξασα φέρεν πόντονδε θύελλα
κλαίοντας, γαίης ἄπο πατρίδος. αὐτὰρ ἐγώ γε
ἐγρόμενος κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ,
ἦ ἀκέων τλαίην καὶ ἔτι ζωοῖσι μετείην.
ἀλλ᾽ ἔτλην καὶ ἔμεινα, καλυψάμενος δ᾽ ἐνὶ νηὶ
κείμην. αἱ δ᾽ ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
αὖτις ἐπ᾽ Αἰολίην νῆσον, στενάχοντο δ᾽ ἑταῖροι.
"ἔνθα δ᾽ ἐπ᾽ ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ᾽ ὕδωρ,
αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.
αὐτὰρ ἐπεὶ σίτοιό τ᾽ ἐπασσάμεθ᾽ ἠδὲ ποτῆτος,
δὴ τότ᾽ ἐγὼ κήρυκά τ᾽ ὀπασσάμενος καὶ ἑταῖρον
βῆν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ᾽ ἐκίχανον
δαινύμενον παρὰ ἦ τ᾽ ἀλόχῳ καὶ οἷσι τέκεσσιν.
ἐλθόντες δ᾽ ἐς δῶμα παρὰ σταθμοῖσιν ἐπ᾽ οὐδοῦ
ἑζόμεθ᾽· οἱ δ᾽ ἀνὰ θυμὸν ἐθάμβεον ἔκ τ᾽ ἐρέοντο·
"᾽πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχραε δαίμων;
ἦ μέν σ᾽ ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ᾽ ἀφίκοιο
πατρίδα σὴν καὶ δῶμα καὶ εἴ πού τοι φίλον ἐστίν.᾽
"ὣς φάσαν, αὐτὰρ ἐγὼ μετεφώνεον ἀχνύμενος κῆρ·

συντρόφους.
Λῦσαν τ' ἀσκί, καὶ ξέσπασαν παντῆς λογῆς ἀνέμοι,
καὶ στρόβιλος τοὺς τράβηξε μακριὰ ἀπὸ τὴν πατρίδα
στὰ πέλαγα, καὶ κλαίγανε· κι ἐγὼ ξυπνῶ καὶ βλέπω,
καὶ μοναχός μου ἀνάδευα μέσα στὸν ἄξιο νοῦ μου,
γιά ἀπὸ τὸ πλοῖο νὰ ριχτῶ καὶ νὰ χαθῶ στὸ κῦμα,
γιά νὰ ὑποφέρω ἀμίλητα καὶ ζωντανὸς νὰ μείνω.
Κι εἶπα νὰ μείνω ζωντανός, καὶ στὸ καράβι μέσα
κοιτόμουν ὁλοσκέπαστος· καὶ στὸ νησὶ τοῦ Αἰόλου
οἱ ἀνέμοι μᾶς ξανάσπρωξαν, κι οἱ ἄλλοι ἀναστενάζαν.
Βγήκαμε τότες, πήραμε νερό, κι ἡ συντροφιά μου
καθίσαν κι ἔφαγαν κοντὰ στὰ γλήγορα καράβια.
Κι ἀπὸ φαγὶ κι ἀπὸ πιοτὸ σὰ χόρτασε ἡ καρδιά μας,
πῆρα μαζί μου κήρυκα, κι ἀπ' τοὺς συντρόφους ἕναν,
κι ὡς στοῦ Αἰόλου πήγαμε τὰ ξακουστὰ παλάτια·
τὸν ηὗρα καὶ τρωγόπινε μὲ σύγκοιτη καὶ τέκνα.
Ἅμα ἤρθαμε, καθίσαμε κοντὰ στοὺς παραστάτες,
πὰς στὸ κατώφλι· ἀπόρησαν αὐτοὶ καὶ μὲ ρωτοῦσαν·
"Πῶς ἦρθες ; τί κακοτυχιὰ σὲ βρῆκε, ὦ Ὀδυσσέα ;
Πρόθυμα ἐμεῖς σὲ στείλαμε στῆς γῆς σου τὰ λημέρια,
καὶ στὰ παλάτια, κι ὅπου ἀλλοῦ λαχτάραγε ἡ καρδιά σου."
Εἶπαν κι ἐγὼ ἀποκρίθηκα μὲ τὴν ψυχὴ θλιμμένη·

"ἄασάν μ᾽ ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος
σχέτλιος. ἀλλ᾽ ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.᾽
"ὣς ἐφάμην μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν,
οἱ δ᾽ ἄνεῳ ἐγένοντο· πατὴρ δ᾽ ἠμείβετο μύθῳ·
"᾽ἔρρ᾽ ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων·
οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ᾽ ἀποπέμπειν
ἄνδρα τόν, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν·
ἔρρε, ἐπεὶ ἄρα θεοῖσιν ἀπεχθόμενος τόδ᾽ ἱκάνεις.᾽
"ὣς εἰπὼν ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ.
τείρετο δ᾽ ἀνδρῶν θυμὸς ὑπ᾽ εἰρεσίης ἀλεγεινῆς
ἡμετέρῃ ματίῃ, ἐπεὶ οὐκέτι φαίνετο πομπή.
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ,
ἑβδομάτῃ δ᾽ ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
ἠπύει εἰσελάων, ὁ δέ τ᾽ ἐξελάων ὑπακούει.
ἔνθα κ᾽ ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς,
τὸν μὲν βουκολέων, τὸν δ᾽ ἄργυφα μῆλα νομεύων·
ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
ἔνθ᾽ ἐπεὶ ἐς λιμένα κλυτὸν ἦλθομεν, ὃν περὶ πέτρη
ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν,
ἀκταὶ δὲ προβλῆτες ἐναντίαι

"Κακοὶ συντρόφοι μ' ἔβλαψαν, κι ὕπνος σκληρὸς ἀντάμα·
μὰ ἐσεῖς ποὺ δύναμη ἔχετε, γλυτῶστε μας, ὦ φίλοι."
Μὲ τέτοια λόγια μαλακὰ τοὺς μίλησα, μὰ ἐκεῖνοι
ἄλαλοι μείνανε ὅλοι τους, κι ἀπάντησε ὁ πατέρας·
"Γκρεμίσου, κακορίζικε, μεμιὰς ἀπ' τὸ νησί μου·
καλὸ δὲν τό 'χω νὰ δεχτῶ καὶ νὰ ξεπροβοδώσω
ἄνθρωπο ποὺ οἱ μακαριστοὶ θεοὶ τὸν κατατρέχουν.
Γκρεμίσου, τὶ θεῶν ὀργὴ σ' ἔχει ὡς ἐδῶ σταλμένο,"
Εἶπε, καὶ μ' ἔδιωξε ἀπ' ἐκεῖ κι ἐγὼ βαριοθλιβόμουν.
Καὶ βγήκαμε ἀρμενίζοντας μὲ τὴν καρδιὰ καημένη.
Καὶ μὲ σκιαγμένο οἱ ἄντρες νοῦ βαριὰ λαμνοκοποῦσαν,
τοῦ κάκου, τὶ δὲ φαίνονταν τοῦ γυρισμοῦ ἡ ἐλπίδα.
Ἓξ μέρες ἀρμενίζαμε νύχτα καὶ μέρα τὸ ἴδιο,
στὶς ἑφτὰ μέρες φτάνουμε στῆς Λάμος τ' ὥριο κάστρο,
στὴν ἀψηλὴ Τηλέπυλο, τῶ Λαιστρυγόνων χώρα,
ποὺ βοσκὸς μπαίνει καὶ βοσκὸ ποὺ βγαίνει συντυχαίνει.
Ἄγρυπνος ἄνθρωπος μιστοὺς δυὸ ἐκεῖ μποροῦσε νά 'χη,
τὸν ἕναν βόδια βόσκοντας, κι ἀρνιὰ λευκὰ τὸν ἄλλον
τὶ οἱ δρόμοι βρίσκουνται κοντὰ τῆς νύχτας καὶ τῆς μέρας.
Στ' ὥριο λιμάνι μπήκαμε ποὺ βράχοι τὸ τειχίζουν
τετράψηλοι κι ἀπὸ τὴ μιὰ πλευρὰ κι ἀπὸ τὴν ἄλλη,
κι ἄκρες προβάλλουν πεταχτὲς ἀντίκρυ ἡ

ἀλλήλῃσιν
ἐν στόματι προύχουσιν, ἀραιὴ δ᾽ εἴσοδός ἐστιν,
ἔνθ᾽ οἵ γ᾽ εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
αἰ μὲν ἄρ᾽ ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
πλησίαι· οὐ μὲν γάρ ποτ᾽ ἀέξετο κῦμά γ᾽ ἐν αὐτῷ,
οὔτε μέγ᾽ οὔτ᾽ ὀλίγον, λευκὴ δ᾽ ἦν ἀμφὶ γαλήνη·
αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
αὐτοῦ ἐπ᾽ ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας·
ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.
ἔνθα μὲν οὔτε βοῶν οὔτ᾽ ἀνδρῶν φαίνετο ἔργα,
καπνὸν δ᾽ οἷον ὁρῶμεν ἀπὸ χθονὸς ἀίσσοντα.
δὴ τότ᾽ ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι ἰόντας,
οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ᾽ ἅμ᾽ ὀπάσσας.
οἱ δ᾽ ἴσαν ἐκβάντες λείην ὁδόν, ᾗ περ ἅμαξαι
ἄστυδ᾽ ἀφ᾽ ὑψηλῶν ὀρέων καταγίνεον ὕλην,
κούρῃ δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ,
θυγατέρ᾽ ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
ἡ μὲν ἄρ᾽ ἐς κρήνην κατεβήσετο καλλιρέεθρον
Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον·
οἱ δὲ παριστάμενοι προσεφώνεον ἔκ τ᾽ ἐρέοντο
ὅς τις τῶνδ᾽ εἴη βασιλεὺς καὶ οἷσιν ἀνάσσοι·

μιὰ τῆς ἄλλης
στὴ θάλασσα, κι εἶναι στενὸ τοῦ λιμανιοῦ τὸ ἔμπα·
κεῖ μέσα φέρανε ὅλοι τους τὰ δίπλωρα καράβια.
Κοντὰ κοντὰ τὰ δέσανε μὲς στὸ βαθιὸ λιμιώνα,
τὶ κῦμα ἐκεῖ δὲ φούσκωνε μικρὸ μήτε μεγάλο,
παρὰ γαλήνη ἁπλώνονταν ὁλόλευκη παντοῦθε.
Ἐγὼ μονάχος ἄραξα τὸ μαῦρο πλοῖο μου ἔξω
κατὰ τὴν ἄκρη, κι ἔδεσα στοὺς βράχους τὰ παράγγια,
κι ἀνέβηκα καὶ στάθηκα στ' ἀψήλου ν' ἀγναντέψω·
μὰ μήτε ἀντρῶνε φαίνονταν μήτε βοδιῶν σημάδια,
μόνε καπνὸ ἀγναντεύαμε κι ἀνέβαινε ἀπὸ χάμου.
Τότες συντρόφους ἔστειλα νὰ πᾶνε καὶ νὰ μάθουν
τί λογῆς ζοὺν σ' αὐτὴ τὴ γῆς σιταροφάγοι ἀνθρῶποι·
διάλεξα δυό, καὶ κήρυκα τοὺς ἔδωσα γιὰ τρίτο.
Κι αὐτοὶ τὸ δρόμο πήρανε τὸν ἴσιο, ποὺ τ' ἁμάξια
στὴ χώρα ἀπ' τ' ἀψηλὰ βουνὰ τὰ ξύλα κατεβάζαν.
Κόρη ἀνταμώνουν ποὺ ἔπαιρνε νερὸ ἀπ' τὴ χώρα ἀπόξω,
τοῦ Λαιστρυγόνα βασιλιᾶ τὴ ζουλεμένη κόρη.
Στὴν Ἀρτακία κατέβαινε, τὴν κρουσταλλένια βρύση,
πού φέρνανε ἀπ' ἐκεῖ νερὸ στὴ χώρα· αὐτοῦ σταθῆκαν,
τῆς μίλησαν, καὶ ρώτηξαν ποιὸς νά 'τανε τοῦ τόπου
ὁ βασιλιάς, καὶ τάχα ποιούς ὅριζε αὐτὸς ἀνθρώπους.

ἡ δὲ μάλ᾽ αὐτίκα πατρὸς
ἐπέφραδεν ὑψερεφὲς δῶ.
οἱ δ᾽ ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα,
τὴν δὲ γυναῖκα
εὗρον, ὅσην τ᾽ ὄρεος κορυφήν, κατὰ σὰν κορφοβούνι θεόρατη, κι ἡ ὄψη της
δ᾽ ἔστυγον αὐτήν.
ἡ δ᾽ αἶψ᾽ ἐξ ἀγορῆς ἐκάλει κλυτὸν
Ἀντιφατῆα,
ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο
λυγρὸν ὄλεθρον.
αὐτίχ᾽ ἕνα μάρψας ἑτάρων
ὡπλίσσατο δεῖπνον·
τὼ δὲ δύ᾽ ἀίξαντε φυγῇ ἐπὶ νῆας
ἱκέσθην.
αὐτὰρ ὁ τεῦχε βοὴν διὰ ἄστεος· οἱ
δ᾽ ἀίοντες
φοίτων ἴφθιμοι Λαιστρυγόνες
ἄλλοθεν ἄλλος,
μυρίοι, οὐκ ἀνδρεσσιν ἐοικότες,
ἀλλὰ Γίγασιν.
οἵ ῥ᾽ ἀπὸ πετράων ἀνδραχθέσι
χερμαδίοισιν
βάλλον· ἄφαρ δὲ κακὸς κόναβος
κατὰ νῆας ὀρώρει
ἀνδρῶν τ᾽ ὀλλυμένων νηῶν θ᾽ ἅμα
ἀγνυμενάων·
ἰχθῦς δ᾽ ὡς πείροντες ἀτερπέα
δαῖτα φέροντο.
ὄφρ᾽ οἱ τοὺς ὄλεκον λιμένος
πολυβενθέος ἐντός,
τόφρα δ᾽ ἐγὼ ξίφος ὀξὺ
ἐρυσσάμενος παρὰ μηροῦ
τῷ ἀπὸ πείσματ᾽ ἔκοψα νεὸς
κυανοπρῴροιο.
αἶψα δ᾽ ἐμοῖς ἑτάροισιν ἐποτρύνας
ἐκέλευσα
ἐμβαλέειν κώπῃς, ἵν᾽ ὑπὲκ
κακότητα φύγοιμεν·
οἱ δ᾽ ἅλα πάντες ἀνέρριψαν,
δείσαντες ὄλεθρον.
ἀσπασίως δ᾽ ἐς πόντον ἐπηρεφέας
φύγε πέτρας
νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες

Κι ἐκείνη εὐτὺς τοὺς ἔδειξε τὰ σπίτια τοῦ
γονιοῦ της.
Καὶ βρῆκαν τὴ γυναίκα του μὲς στὰ τρανὰ
παλάτια,
τρομάρα.
Φωνάζει αὐτὴ ἀπ' τὴν ἀγορὰ μεμιὰς τὸν
Ἀντιφάτη,
τὸν ἄντρα της, κι αὐτὸς φριχτὸ ξολοθρεμὸ
ποθώντας,
ἁρπάζει κάνει δεῖπνο του τὸν ἕν' ἀπ' τοὺς
συντρόφους.
Οἱ ἄλλοι οἱ δυὸ πετάχτηκαν καὶ δρόμο στὰ
καράβια.
Τότες ἐκεῖνος χούγιαξε στὴ χώρα, κι οἱ
ἀντρειωμένοι
οἱ Λαιστρυγόνες χούμιξαν ὁλοῦθε σὰν
ἀκοῦσαν,
ἀρίθμητοι, καὶ μοιάζανε Γίγαντες, κι ὄχι
ἀνθρῶποι.
Πέτρες, ἑνὸς ἀντρὸς φορτιὸ τὴν καθεμιά,
τινάζαν
ἀπὸ τὰ βράχια, κι ἔφερναν ἀχὸ στὰ πλοῖα
μεγάλο,
τὶ οἱ ναῦτες ξολοθρεύονταν καὶ τὰ καράβια
σπάζαν.
Σὰν ψάρια τοὺς καμάκιζαν κι ἄθλιο φαγὶ
τοὺς κάναν.
Κι ὅσο ἀφανίζονταν αὐτοὶ μὲς στὸ βαθιὸ
λιμιώνα,
ἐγὼ τὸ κοφτερὸ σπαθὶ τραβῶ ἀπὸ τὸ
πλευρό μου,
καὶ κόβω τὰ πρυμόσκοινα τοῦ μαύρου
καραβιοῦ μου.
Νὰ πέσουν τότες στὸ κουπὶ προστάζω τοὺς
συντρόφους,
τὸ χάρο νὰ ξεφύγουμε· κι αὐτοὶ καθίζουν
ὅλοι,
κι ἀναταράζουν τὰ νερὰ μὲ φόβο καὶ
τρομάρα.
Φεύγει ἀπ' τοὺς βράχους μιὰ χαρὰ τοὺς
κρεμαστούς, καὶ βγαίνει
στὴ θάλασσα τὸ πλοῖο μου· τ' ἄλλα

αὐτόθ᾽ ὄλοντο.
"ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Αἰαίην δ᾽ ἐς νῆσον ἀφικόμεθ᾽· ἔνθα δ᾽ ἔναιε
Κίρκη ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
ἄμφω δ᾽ ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο
μητρός τ᾽ ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
ἔνθα δ᾽ ἐπ᾽ ἀκτῆς νηὶ κατηγαγόμεσθα σιωπῇ
ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
ἔνθα τότ᾽ ἐκβάντες δύο τ᾽ ἤματα καὶ δύο νύκτας
κείμεθ᾽ ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ᾽ Ἠώς,
καὶ τότ᾽ ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ
καρπαλίμως παρὰ νηὸς ἀνήιον ἐς περιωπήν,
εἴ πως ἔργα ἴδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην.
ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης,
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
μερμήριξα δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
χαθῆκαν ὅλα.
Καὶ πλέγαμε βαριόψυχοι, ποὺ ἂν κι ἤμαστε σωσμένοι
τόσους συντρόφους χάσαμε καλοὺς κι ἀγαπημένους.

Στὴν Α�a τότες ἤρθαμε, νησὶ ποὺ κατοικοῦσε
ἡ Κίρκη, ἡ ὡριόμαλλη θεά, κι ἡ ἀνθρωπολαλοῦσα,
τοῦ Αἰήτη τοῦ κακόβουλου ἡ φοβερή αὐταδέρφη.
Γονιοί τους καὶ τῶν δυονῶν ὁ φωτιστής ὁ Ἥλιος
κι ἡ Πέρση, ποὺ τοῦ Ὠκεανοῦ παινιόταν θυγατέρα.

Ἐκεῖ τὸ ἀράξαμε σιγὰ στὴν ἄκρη τὸ καράβι,
μὲς σὲ λιμάνι ἀπάνεμο, καὶ θεὸς μᾶς ὁδηγοῦσε.
Βγήκαμε τότες μείναμε δυὸ μέρες καὶ δυὸ νύχτες,
τὶ ὁ ἀποσταμὸς τὴν ἔτρωγε κι ὁ πόνος τὴν καρδιά μας.
Τὴν τρίτη σὰ μᾶς ἔφερε τὴ μέρα ἡ χρυσαυγούλα,

πῆρα τὸ κοφτερὸ σπαθὶ καὶ τὸ κοντάρι τότες,
κι ἀπ' τὸ καράβι κίνησα κι ἀνέβηκα τ' ἀψήλου,
ἴσως κι ἀνθρώπων ἔργα ἰδῶ κι ἀκούσω τὴ λαλιά τους.
Σὲ βράχου στάθηκα κορφή, κι ἀγνάντια μου τηρώντας,
ἀπ' τὴν ἁπλόχωρη τὴ γῆς καπνὸ θωρῶ καὶ βγαίνει,
μέσ' ἀπ' τὰ δάση τὰ πυκνά, στῆς Κίρκης τὰ παλάτια.
Καὶ τότες συλλογιόμουνα κι ἀνάδευα στὸ νοῦ μου,
ἐκεῖ ποὺ μαῦρο εἶδα καπνὸ νὰ πάγω καὶ νὰ μάθω.
Κι αὐτὸ μοῦ φάνη πιὸ σωστό· νὰ σύρω πρῶτα κάτου

πρῶτ᾽ ἐλθόντ᾽ ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
δεῖπνον ἑταίροισιν δόμεναι προέμεν τε πυθέσθαι.
ἀλλ᾽ ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
ἦκεν. ὁ μὲν ποταμόνδε κατήιεν ἐκ νομοῦ ὕλης
πιόμενος· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο.
τὸν δ᾽ ἐγὼ ἐκβαίνοντα κατ᾽ ἄκνηστιν μέσα νῶτα
πλῆξα· τὸ δ᾽ ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε,
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, ἀπὸ δ᾽ ἔπτατο θυμός.
τῷ δ᾽ ἐγὼ ἐμβαίνων δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
εἴασ᾽· αὐτὰρ ἐγὼ σπασάμην ῥῶπάς τε λύγους τε,
πεῖσμα δ᾽, ὅσον τ᾽ ὄργυιαν, ἐυστρεφὲς ἀμφοτέρωθεν
πλεξάμενος συνέδησα πόδας δεινοῖο πελώρου,
βῆν δὲ καταλοφάδεια φέρων ἐπὶ νῆα μέλαιναν
ἔγχει ἐρειδόμενος, ἐπεὶ οὔ πως ἦεν ἐπ᾽ ὤμου
χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
κὰδ᾽ δ᾽ ἔβαλον προπάροιθε νεός, ἀνέγειρα δ᾽ ἑταίρους
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
"ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ᾽ ἀχνύμενοί περ
εἰς Ἀίδαο δόμους, πρὶν μόρσιμον

στὸ γοργὸ πλοῖο καὶ φαγὶ νὰ δώσω τῶ συντρόφων,
κι ἀπὲ νὰ στείλω μέρος τους νὰ πᾶνε καὶ νὰ μάθουν.
Ὅτι ἔφτανα πρὸς τὸ γυρτὸ καράβι, λὲς καὶ κάποιος
θεὸς νὰ μὲ σπλαχνίστηκε τὸν ἔρμο, κι ἕνα λάφι
μοῦ στέλνει ἀψηλοκέρατο, παχύ, στὸ δρόμο ἀπάνω,
ποὺ ἀπὸ τοῦ δάσου τὴ βοσκὴ κατέβαινε στὸ ρέμα
νὰ ξεδιψάση, ποὺ τοῦ ἡλιοῦ ἡ πυράδα τό 'χε ἀνάψει.
Κεῖ ποὺ ἔβγαινε, τὸ βάρεσα στὸ ραχοκόκκαλο του,
κι ἀπὸ τὴν ἄλλη πέρασε τὸ χάλκινο κοντάρι.
Πέφτει βογγώντας καταγῆς, καὶ πέταξε ἡ πνοή του.
Τὸ πάτησα, κι ἀπ' τὴν πληγὴ τραβώντας τὸ κοντάρι,
τὸ στρώνω χάμου, καὶ σκοινὶ μὲ λυγαριὲς καὶ βοῦρλα
ὡς μιὰν ὀργυιὰ σὰν ἔστριψα, μὲ τέχνη ἀπ' ἄκρη ὡς ἄκρη,
καλόδεσα τοῦ θεότρανου τοῦ ζώου μαζὶ τὰ πόδια,
καὶ στὸ καράβι τὸ 'φερα ἀπ' το σβέρκο φορτωμένος
μὲ τὸ κοντάρι ἀκούμπισμα, τὶ ἀλλιῶς δὲ θὰ δυνόμουν
μὲ τὸ ἕνα χέρι νὰ βαστῶ τέτοιο θεριὸ στὸν ὦμο.
Μπρὸς στὸ καράβι τό 'ριξα, καὶ σήκωσα τοὺς φίλους,
καθένα τους σιμώνοντας καὶ καλοπιάνοντας τους·
"Ἂν καὶ θλιβόμαστε, παιδιά, δὲν κατεβαίνουμε ὅμως
στοῦ Ἅδη ἀκόμα τοὺς βυθοὺς πρὶν ἔρθη ἡ

ἦμαρ ἐπέλθῃ·
ἀλλ᾽ ἄγετ᾽, ὄφρ᾽ ἐν νηὶ θοῇ βρῶσίς τε πόσις τε,
μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.᾽
"ὣς ἐφάμην, οἱ δ᾽ ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο,
ἐκ δὲ καλυψάμενοι παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο
θηήσαντ᾽ ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
χεῖρας νιψάμενοι τεύχοντ᾽ ἐρικυδέα δαῖτα.
ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ᾽ ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
"᾽κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
ὦ φίλοι, οὐ γάρ τ᾽ ἴδμεν, ὅπῃ ζόφος οὐδ᾽ ὅπῃ ἠώς,
οὐδ᾽ ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ᾽ ὑπὸ γαῖαν,
οὐδ᾽ ὅπῃ ἀννεῖται· ἀλλὰ φραζώμεθα θᾶσσον
εἴ τις ἔτ᾽ ἔσται μῆτις. ἐγὼ δ᾽ οὔκ οἴομαι εἶναι.
εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν
νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·
αὐτὴ δὲ χθαμαλὴ κεῖται· καπνὸν δ᾽ ἐνὶ μέσσῃ

μαύρη ἡ ὥρα.
᾽Ελᾶτε, κι ὅσο βρίσκεται στὸ πλοῖο μας φαγοπότι,
ἂς θυμηθοῦμε τὸ φαΐ, κι ἂς μὴ μᾶς δέρνη ἡ πεῖνα."
Εἶπα, κι αὐτοὶ μ' ἀκούσανε, ξεσκέπασαν τὰ μάτια,
κι ἀπάνου στὴν ἀκρογιαλιὰ θαμάζανε τὸ λάφι,
κεῖνο τὸ θεότρανο θεριό. Σὰν τό εἰδαν καὶ χαρῆκαν,
χερονιφτῆκαν κι ἔστρωσαν ἀρχοντικὸ τραπέζι.
Καὶ τότε ἐκεῖ καθόμασταν ὁλήμερα ὡς τὸ γέρμα,
μ' ἄσωστο κρέας, μὲ γλυκὸ κρασὶ φαγοποτώντας·
μά ὁ ἥλιος σὰ βασίλεψε κι ἀπλώθηκε σκοτάδι,
τότες κι ἐμεῖς πλαγιάσαμε στὸ περιγιάλι ἀπάνω.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
κι ὅλους σὲ σύναξη ἔφερα, καὶ μίλησά τους κι εἶπα·
"Ὅσος κι ἂν εἶναι ὁ πόνος σας, συντρόφοι, ἀκούσετέ με.
Ποῦ 'ναι ἡ αὐγὴ δὲν ξέρουμε, καὶ ποῦ 'ναι τὸ σκοτάδι,
καὶ ποῦ βουτάει κάτω ἀπ' τὴ γῆς ὁ φωτιστὴς ὁ Ἥλιος,
καὶ πάλε ποῦ σηκώνεται· μὰ ἐλᾶτε κι ἂς σκεφτοῦμε
ἂν κάποιος τρόπος βρίσκεται· δὲ βλέπω ἐγὼ κανέναν.
Ἀνέβηκα στὸ ξάγναντο ποὺ εἶναι ὅλο βράχια καὶ εἶδα,
νησὶ ποὺ ἀτέλειωτα κρατοῦν πέλαα στεφανωμένο·
νησὶ στρωμένο χαμηλά, μὰ ξάνοιγα στὴ μέση

ἔδρακον ὀφθαλμοῖσι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.᾽
"ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ
μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο
Κύκλωπός τε βίης μεγαλήτορος, ἀνδροφάγοιο.
κλαῖον δὲ λιγέως θαλερὸν κατὰ δάκρυ χέοντες·
ἀλλ᾽ οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
"αὐτὰρ ἐγὼ δίχα πάντας ἐυκνήμιδας ἑταίρους
ἠρίθμεον, ἀρχὸν δὲ μετ᾽ ἀμφοτέροισιν ὄπασσα·
τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ᾽ Εὐρύλοχος θεοειδής.
κλήρους δ᾽ ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα·
ἐκ δ᾽ ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
βῆ δ᾽ ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ᾽ ἑταῖροι
κλαίοντες· κατὰ δ᾽ ἄμμε λίπον γοόωντας ὄπισθεν.
εὗρον δ᾽ ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ·
ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες,
τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ᾽ ἔδωκεν.
οὐδ᾽ οἵ γ᾽ ὡρμήθησαν ἐπ᾽ ἀνδράσιν, ἀλλ᾽ ἄρα τοί γε
οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
ὡς δ᾽ ὅτ᾽ ἂν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
σαίνωσ᾽, αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ,
ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες

καπνὸ ποὺ μέσ' ἀπ' τὰ πυκνὰ τὰ δάσια ξεκινοῦσε."
Εἶπα, κι αὐτοὺς τοὺς κόπηκε ἡ καρδιά, τι ἀνιστοροῦσαν
τὰ ὅσα ὁ Λαιστρυγόνας πρὶν τοὺς ἔκαμε Ἀντιφάτης,
κι ὁ ἀντροφάγος Κύκλωπας μὲ τὴ σκληρὴ τὴ γνώμη,
καὶ δάκρυα ἀρχίσανε πικρὰ νὰ χύνουν καὶ νὰ κλαῖνε.
Μὰ τί ὄφελος τοὺς ἔφερνε τὸ τόσο μοιρολόγι;
Τότ' ἐγὼ χώρισα σὲ δυὸ παρέες τοὺς συντρόφους,
καὶ δυὸ τούς ἔβαλ' ἀρχηγούς· ἐγὼ στὴ μιὰ παρέα,
καὶ τὸ θεόμοιαστο ὅρισα Εὐρύλοχο στὴν ἄλλη.
Μέσα σὲ κράνος χάλκινο τινάξαμε τοὺς κλήρους,
κι ὁ κλῆρος τοῦ τρανόψυχου τοῦ Εὐρύλοχου πετιέται.
Κίνησε αὐτὸς μὲ εἰκοσιδυὸ συντρόφους, ποὺ ὅλοι κλαῖγαν,
κι ἐμεῖς ποὺ πίσω μείναμε θρηνούσαμε τὸ ἴδιο.
Καὶ βρῆκαν σὲ ἀνοιχτοτοπιά, στῆς λαγκαδιᾶς τὴ μέση,
χτισμένα μὲ τὸ μάρμαρο τῆς Κίρκης τὰ παλάτια.
Βουνήσους λύκους βλέπανε τριγύρω καὶ λιοντάρια,
ποὺ τά 'χε ἡ Κίρκη μὲ κακὰ βοτάνια μαγεμένα·
μὰ ἀπάνω τους δὲ χούμιζαν, μόν' τὶς μακριὲς οὐρές τους
κουνώντας χοροπήδαγαν καὶ τοὺς καλοδεχόνταν.
Πῶς τὰ σκυλιά, ὅταν ἔρχεται ἀπὸ τραπέζι ὁ ἀφέντης,
τὸν καλοδέχουνται, γλυκὰ λιγούδια καρτερώντας,
ἔτσι τὰ δυνατόνυχα λιοντάρια αὐτὰ κι οἱ

ἠδὲ λέοντες
σαῖνον· τοὶ δ’ ἔδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.

ἔσταν δ’ ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο,
Κίρκης δ’ ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,
ἱστὸν ἐποιχομένης μέγαν ἄμβροτον, οἷα θεάων
λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται.
τοῖσι δὲ μύθων ἦρχε Πολίτης ὄρχαμος ἀνδρῶν,
ὅς μοι κήδιστος ἑτάρων ἦν κεδνότατός τε·
"ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν
καλὸν ἀοιδιάει, δάπεδον δ’ ἄπαν ἀμφιμέμυκεν,
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.’
"ὣς ἄρ’ ἐφώνησεν, τοὶ δὲ φθέγγοντο καλεῦντες.
ἡ δ’ αἶψ’ ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
καὶ κάλει· οἱ δ’ ἅμα πάντες ἀιδρείῃσιν ἕποντο·
Εὐρύλοχος δ’ ὑπέμεινεν, ὀισάμενος δόλον εἶναι.
εἶσεν δ’ εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε,
ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν
οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
φάρμακα λύγρ’, ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ’ ἔπειτα
ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐέργνυ.

λύκοι
χαιρόνταν σειώντας τὴν οὐρά· μὰ ἐκεῖνοι φοβηθῆκαν,
τέτοια θεριὰ παράξενα καὶ τρομερὰ θωρώντας.
Στῆς ὡριοπλέξουδης θεᾶς τὰ ξώθυρα καθίζουν,
κι ἀκοῦν τὴν Κίρκη μέσαθε ποὺ γλυκοτραγουδοῦσε,
μεγάλο φαίνοντας πανὶ κι ἀχάλαστο, σὰν πού 'ναι
τῶν θεῶν τὰ ἔργα τὰ ψιλὰ καὶ τὰ λαμπρὰ καὶ τὰ ὥρια,
Τότ' ὁ Πολίτης ὁ ἀρχηγός, ποὺ ἀπ' ὅλους τοὺς συντρόφους
μοῦ 'τανε φίλος πιὸ πιστός, γυρίζει καὶ τοὺς κρένει·
“Παιδιά, πανὶ ἐκεῖ φαίνοντας κάποια θεὰ ἢ γυναίκα
μὲ γλύκα τραγουδάει πολλή, κι ἀχολογάει ὁ πύργος.
Ἂς τῆς φωνάξουμε.” Κι αὐτοὶ τῆς φώναξαν ν' ἀκούση.

Τρέχει στὴ θύρα τὴ λαμπρὴ κι ἀνοίγει τότε ἡ Κίρκη,
καὶ τοὺς καλεῖ· καὶ μπήκανε χωρὶς νὰ στοχαστοῦνε·
ὅμως δὲν μπῆκε ὁ Εὐρύλοχος, φοβώντας κάποιο δόλο.
Τοὺς πῆρε καὶ τοὺς κάθισε σὲ θρόνους καὶ καθέδρες·
τυρὶ κι ἀλεύρια καὶ ξανθὸ μέλι τοὺς ἀναδεύει
μὲ κρασὶ Πράμνειο, κι ἔσμιξε κακόχυμα βοτάνια,
ποὺ πίνοντας τὴν πατρικὴ τὴ γῆς τους νὰ ξεχάσουν.
Καὶ σὰν τοὺς κέρασε, κι αὐτοὶ σὰν ἤπιαν, τότ' ἐκείνη
χτυπώντας τους μὲ τὸ ραβδὶ τοὺς κλεῖ στὶς χοιρομάντρες·

οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.
ὣς οἱ μὲν κλαίοντες ἐέρχατο, τοῖσι δὲ Κίρκη
πάρ ῥ᾽ ἄκυλον βάλανόν τε βάλεν καρπόν τε κρανείης
ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.
"Εὐρύλοχος δ᾽ αἶψ᾽ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν
ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.
οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος ἱέμενός περ,
κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
δακρυόφιν πίμπλαντο, γόον δ᾽ ὠίετο θυμός.
ἀλλ᾽ ὅτε δή μιν πάντες ἀγασσάμεθ᾽ ἐξερέοντες,
καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
"᾽Ἤιομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ᾽ Ὀδυσσεῦ·
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλὰ
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ᾽ ἄειδεν,
ἢ θεὸς ἠὲ γυνή· τοὶ δὲ φθέγγοντο καλεῦντες.
ἡ δ᾽ αἶψ᾽ ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
καὶ κάλει· οἱ δ᾽ ἅμα πάντες ἀιδρείῃσιν ἕποντο·
αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀισάμενος δόλον εἶναι.
οἱ δ᾽ ἅμ᾽ ἀιστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
ἐξεφάνη· δηρὸν δὲ καθήμενος

κι ἄξαφνα χοίρου κάνουνε φωνή, κορμί, κεφάλι
καὶ τρίχες, καὶ μονάχα ὁ νοῦς τοὺς ἔμενε σὰν πρῶτα.
᾽Εκεῖ κλεισμένοι κλαίγανε, καὶ γιὰ νὰ φᾶνε ἡ Κίρκη
τοὺς ἔρριχνε πρινόκαρπους, ἀκράνια, βαλανίδια,
συνηθᾶνε.
Τότες ὁ Εὐρύλοχος γυρνάει στὸ μελανὸ καράβι,
νὰ πῇ τὴν ἔρμη συφορὰ ποὺ βρῆκε τοὺς συντρόφους.
Μὰ ὁ πόνος τὸν συνέπνιγε, καὶ λόγο δὲ δυνόταν
νὰ βγάλη, παρὰ γέμιζαν τὰ μάτια του ἀπὸ δάκρυα,
κι ὁ νοῦς του ἄλλο δὲν ἤξερε παρὰ τὸ μοιρολόγι.
Μὰ ἐμεῖς τόνε ρωτούσαμε ὁλοένα σαστισμένοι,
καὶ τότες τὸν ξολοθρεμὸ μᾶς ξήγησε τῶν ἄλλων
"Σὰν ποὺ εἶπες, ὦ Ὀδυσσέα λαμπρέ, κινήσαμε στὰ δάσια,
καὶ βρήκαμε ἀνοιχτοτοπιά, στῆς λαγκαδιᾶς τὴ μέση,
ποὺ ἤτανε μαρμαρόχτιστο κι ἀστραφτερὸ παλάτι.
Ἔφαινε κάποια ἐκεῖ πανὶ καὶ γλυκοτραγουδοῦσε,
θεὰ ἢ γυναίκα· τότε αὐτοὶ φωνάξανε ν' ἀκούση.
Τρέχει στὴ θύρα τὴ λαμπρὴ κι ἀνοίγει τους ἐκείνη
καὶ τοὺς καλεῖ· καὶ μπήκανε χωρὶς νὰ στοχαστοῦνε·
ὅμως ἐγὼ βαστάχτηκα φοβώντας κάποιο δόλο.
Ὅλοι τους χάθηκαν, καὶ πιὰ μήτ' ἕνας τους δὲ φάνη,
ἂν κι ἐγὼ καθόμουν ἐκεῖ πολλὴ ὥρα

ἐσκοπίαζον.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
ὤμοιιν βαλόμην, μέγα χάλκεον, ἀμφὶ δὲ τόξα·
τὸν δ᾽ ἄψ ἠνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
αὐτὰρ ὅ γ᾽ ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων
καί μ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
"᾽μή μ᾽ ἄγε κεῖσ᾽ ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ᾽ αὐτοῦ.
οἶδα γάρ, ὡς οὔτ᾽ αὐτὸς ἐλεύσεαι οὔτε τιν᾽ ἄλλον
ἄξεις σῶν ἑτάρων. ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον
φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Εὐρύλοχ᾽, ἦ τοι μὲν σὺ μέν᾽ αὐτοῦ τῷδ᾽ ἐνὶ χώρῳ
ἔσθων καὶ πίνων κοίλῃ παρὰ νηὶ μελαίνῃ·
αὐτὰρ ἐγὼν εἶμι, κρατερὴ δέ μοι ἔπλετ᾽ ἀνάγκη.᾽
"ὣς εἰπὼν παρὰ νηὸς ἀνήιον ἠδὲ θαλάσσης.
ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλον ἰὼν ἱερὰς ἀνὰ βήσσας
Κίρκης ἵξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,
ἔνθα μοι Ἑρμείας χρυσόρραπις ἀντεβόλησεν
ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικώς,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη·
ἔν τ᾽ ἄρα μοι φῦ χειρί, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"᾽πῇ δὴ αὖτ᾽, ὦ δύστηνε, δι᾽ ἄκριας ἔρχεαι οἷος,

καρτερώντας."
Αὐτὰ εἶπε, κι ἐγὼ κρέμασα τρανὸ σπαθὶ στοὺς ὤμους
χαλκένιο, ἀσημοκάρφωτο, καὶ πῆρα τὸ δοξάρι,
καὶ πάλι νά 'ρθη πρόσταξα, τὸ δρόμο νὰ μοῦ δείξη.
Μὰ αὐτὸς τὸ γόνα μου ἔπιασε καὶ μὲ παρακαλοῦσε,
κι ἔτσι λαλοῦσε κλαίγοντας μὲ λόγια φτερωμένα·
"Ἄσε μ' ἐμένα, ὦ διόθρεφτε· μὲ τὸ στανιὸ ἐκεῖ πέρα
μὴ μὲ τραβᾶς· σοῦ λέω ἐγὼ πὼς μήτ' ἐσὺ δὲ θά 'ρθης,
μήτε θὰ φέρης ἄλλονε· κι ἂς φύγουμ' ἀπ' ἐδῶθε
μ' ἐτούτους, ὅσο 'ναι καιρὸς ἀκόμα νὰ σωθοῦμε."
Ἔτσ' εἶπε, κι ἐγὼ γύρισα κι ἀπολογιὰ τοῦ κάνω·
"Κάθισ' ἐσὺ, ὦ Εὐρύλοχε, σ' αὐτὸν ἐδῶ τὸν τόπο,
στὸ κούφιο μαυροκάραβο κοντὰ νὰ τρῶς νὰ πίνης·
ἐγὼ θὰ πάω, ἀβάσταχτη δύναμη ἐκεῖ μὲ σπρώχνει."
Εἶπα, κι ἀπ' τὸ καράβι εὐτὺς κι ἀπ' τὸ γιαλὸ ἀνεβαίνω.
Κι ὅτι ἔμπαινα μὲς στὸ ἱερὸ λαγκάδι, καὶ νὰ φτάσω
στοὺς τρανοὺς πύργους κόντευα τῆς μάγισσας τῆς Κίρκης,
πηγαίνοντας μ' ἀντάμωσε ὁ Ἑρμῆς ὁ χρυσοράβδης,
μοιάζοντας νέο ποὺ ἀρχίζανε τὰ γένεια του νὰ δρώνουν,
ποὺ τότες δὰ καὶ φαίνεται χαριτωμένη ἡ νιότη.
Κι ἐκεῖνος μὲ χερόπιασε, καὶ φώναξέ με κι εἶπε·
"Τί πάλε μέσα στὰ βουνὰ μόνος γυρνᾶς, καημένε,

χώρου ἄιδρις ἐών; ἕταροι δέ τοι οἵδ᾽ ἐνὶ Κίρκης
ἔρχαται ὥς τε σύες πυκινοὺς κευθμῶνας ἔχοντες.
ἦ τοὺς λυσόμενος δεῦρ᾽ ἔρχεαι; οὐδέ σέ φημι
αὐτὸν νοστήσειν, μενέεις δὲ σύ γ᾽, ἔνθα περ ἄλλοι.
ἀλλ᾽ ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω.
τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων ἐς δώματα Κίρκης
ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλάλκῃσιν κακὸν ἦμαρ.
πάντα δέ τοι ἐρέω ὀλοφώια δήνεα Κίρκης.
τεύξει τοι κυκεῶ, βαλέει δ᾽ ἐν φάρμακα σίτῳ.
ἀλλ᾽ οὐδ᾽ ὣς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
φάρμακον ἐσθλόν, ὅ τοι δώσω, ἐρέω δὲ ἕκαστα.
ὁππότε κεν Κίρκη σ᾽ ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκῃ ἐπαΐξαι, ὥς τε κτάμεναι μενεαίνων.
ἡ δέ σ᾽ ὑποδείσασα κελήσεται εὐνηθῆναι·
ἔνθα σὺ μηκέτ᾽ ἔπειτ᾽ ἀπανήνασθαι θεοῦ εὐνήν,
ὄφρα κέ τοι λύσῃ θ᾽ ἑτάρους αὐτόν τε κομίσσῃ·
ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο,
μή σ᾽ ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃ.᾽
"ὣς ἄρα φωνήσας πόρε φάρμακον ἀργεϊφόντης
ἐκ γαίης ἐρύσας, καί μοι φύσιν

τοῦ τόπου ἀνήξερος; Ἐκεῖ, μὲς στοὺς βαθιοὺς κρυψῶνες,
τῆς Κίρκης, οἱ συντρόφοι σου σὰ χοῖροι εἶναι κλεισμένοι.
Ἢ μήπως ἔρχεσαι νὰ μπῆς καὶ νὰ τοὺς λευτερώσης;
Μὰ δὲ θὰ ξαναβγῆς, θαρρῶ, παρὰ κι ἐσὺ θὰ μείνης.
Ἐγὼ ὅμως θέλω ἀπὸ κακὸ νὰ σὲ γλυτώσω τέτοιο.
Νά· ἔμπα μ' ἐτοῦτο τὸ καλὸ βοτάνι στὰ παλάτια
τῆς Κίρκης, κι ἀπὸ τὴν κακὴ θὰ σὲ φυλάη τὴν ὥρα.
Ὅλες τὶς μαῦρες τέχνες της θὰ σοῦ τὶς πῶ ἐγὼ τώρα.
Χυλὸ θὰ φτιάξη, καὶ κακὸ βοτάνι θὰ τοῦ σμίξη,
μὰ τὸ καλὸ βοτάνι ποὺ σοῦ δίνω, δὲ θ' ἀφήση
νὰ πιάσουνε τὰ μάγια της· τώρ' ἂς σοῦ πῶ καὶ τ' ἄλλα.
Ἅμα ἔρθη ἡ Κίρκη μὲ μακρὺ ραβδὶ νὰ σὲ βαρέση,
ἀπ' τὸ πλευρό σου τράβα ἐσὺ τὸ κοφτερὸ σπαθί σου,
καὶ ρίξου της σὰ νὰ ζητᾶς μ' αὐτὸ νὰ τὴ σπαράξης,
Θὰ φοβηθῆ, καὶ θὰ σοῦ πῆ μαζί της νὰ πλαγιάσης.
Τότες ἐσὺ μὴν ἀρνηθῆς μὲ τὴ θεὰ νὰ σμίξης,
κι ἔτσι νὰ σὲ καλονοιαστῆ, νὰ λύση καὶ τοὺς ἄλλους.
Μὰ πρῶτα ἂς κάμη τῶν θεῶν τὸν ὅρκο τὸ μεγάλο,
πὼς δὲ θὰ βάλη ἄλλο κακὸ στὸ νοῦ της, νὰ μὴν τύχη
κι ἅμα σὲ δῆ γυμνό, ἀντρειὰ καὶ δύναμη σοῦ πάρη."
Εἶπε, καὶ τράβηξε ἀπ' τὴ γῆς ὁ Ἀργοφονιὰς βοτάνι
καὶ δίνοντάς το μοῦ 'δειξε τὸ κάθε φυσικό

αὐτοῦ ἔδειξε.
ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ᾽ ὀρύσσειν
ἀνδράσι γε θνητοῖσι, θεοὶ δέ τε πάντα δύνανται.
Ἑρμείας μὲν ἔπειτ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
νῆσον ἀν᾽ ὑλήεσσαν, ἐγὼ δ᾽ ἐς δώματα Κίρκης
ἤια, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
ἔστην δ᾽ εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
ἡ δ᾽ αἶψ᾽ ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
καὶ κάλει· αὐτὰρ ἐγὼν ἐπόμην ἀκαχήμενος ἦτορ.
εἶσε δέ μ᾽ εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
τεῦχε δέ μοι κυκεῶ χρυσέῳ δέπαι, ὄφρα πίοιμι,
ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ᾽ ἐνὶ θυμῷ.
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ᾽ ἔθελξε,
ῥάβδῳ πεπληγυῖα ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
᾽ἔρχεο νῦν συφεόνδε, μετ᾽ ἄλλων λέξο ἑταίρων.᾽
"ὣς φάτ᾽, ἐγὼ δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκῃ ἐπήιξα ὥς τε κτάμεναι μενεαίνων.
ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε καὶ λάβε γούνων,
καί μ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·

του.
Ἡ ρίζα του κατάμαυρη, τὸ λούλουδο σὰ γάλα,
μῶλυ τὸ λὲν οἱ ἀθάνατοι, καὶ δὲν τὸ ξερριζώνει
ἄνθρωπος εὔκολα· οἱ θεοὶ μποροῦν ὅμως τὰ πάντα.

Τότες ἀνέβηκε ὁ Ἑρμῆς ἀπὸ τὸ δεντρονήσι
στὸν ἀψηλόκορμο Ὄλυμπο, κι ἐγὼ κατὰ τὸν πύργο
τῆς Κίρκης μὲ βαρειὰ καρδιὰ ξεκίνησα. Σὰν ἦρθα,
καὶ στάθηκα στὰ πρόθυρα τῆς θεᾶς τῆς σγουρομάλλας,
τῆς φώναξα, καὶ μ' ἄκουσε, καὶ τὶς φωτόλαμπρές της
θύρες ἀνοίγοντας αὐτὴ μὲ προσκαλοῦσε νά 'μπω·
καὶ πῆγα ἐγὼ κατόπι της μὲ ταραγμένα στήθια.
Σὲ ἀργυροκάρφωτο θρονὶ μὲ κάθισε ἄμα μπῆκα,
ὡραῖο καὶ περίτεχνο, μ' ἀκουμποπόδι ὀμπρός μου,
καὶ μοῦ 'δωσε χυλὸ νὰ πιῶ μὲς σὲ χρυσὸ ποτήρι,
ρίχνοντας μέσα βότανα, καὶ μαῦρα μελετώντας.
Σὰν πῆρα κι ἤπια, καὶ τῆς θεᾶς τὰ μάγια δὲν μὲ πιάσαν,
μὲ βάρεσε μὲ τὸ ραβδί, καὶ φώναξε με κι εἶπε·
"Στὴ χοιρομάντρα ἔλα κι ἐσὺ, νὰ σμίξης μὲ τοὺς ἄλλους."
Εἶπε, κι ἐγὼ τὸ κοφτερὸ τραβῶ σπαθὶ ἀπ' τὴ μέση,
καὶ χύνομαι, σὰ νά 'θελα μ' αὐτὸ νὰ τὴ σπαράξω.
Ἔσκουξε αὐτή, καὶ σκύβοντας τὰ γόνατά μου πιάνει
καὶ κλαίγονταν καὶ μοῦ 'κρενε μὲ λόγια φτερωμένα·

"᾽τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
θαῦμά μ᾽ ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ᾽ ἐθέλχθης·
οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ᾽ ἀνέτλη,
ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
ἦ σύ γ᾽ Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις ἀργεϊφόντης,
ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηὶ μελαίνῃ.
ἀλλ᾽ ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶι δ᾽ ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβείομεν, ὄφρα μιγέντε
εὐνῇ καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽ὦ Κίρκη, πῶς γάρ με κέλεαι σοὶ ἤπιον εἶναι,
ἥ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους,
αὐτὸν δ᾽ ἐνθάδ᾽ ἔχουσα δολοφρονέουσα κελεύεις
ἐς θάλαμόν τ᾽ ἰέναι καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
ὄφρα με γυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃς.
οὐδ᾽ ἂν ἐγώ γ᾽ ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀπώμνυεν, ὡς ἐκέλευον.
αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσέν τε τελεύτησέν

"Ποιός εἶσ' ἐσὺ, κι ὁ τόπος σου, καὶ ποιά τὰ γονικά σου;
Παράξενο, βοτάνια μου νὰ πιῆς, καὶ νὰ μὴν πιάσουν.
Ἄλλος θνητὸς δὲ βάσταξε κανένας ὡς τὰ τώρα,
μιὰς κι ἤπιε, κι ἀπ' τὰ χείλη του περάσαν τὰ πιοτά μου.
Μὰ ἐσένα ὁ νοῦς σου ἀμάγευτος στὰ σωθικά σου μνήσκει.
Ἀλήθεια ὁ πολυσόφιστος ἐσὺ Ὀδυσσέας θά 'σαι,
ποὺ ὁ χρυσοράβδης πάντα Ἑρμῆς μοῦ τό 'λεγε πὼς θά 'ρθη,
ἀπὸ τὴν Τροία γυρίζοντας μὲ τὸ γοργὸ καράβι.
Μὲς στὸ φηκάρι τὸ σπαθὶ ξανάβαλέ μου, κι ἔλα
νὰ πᾶμε στὸ κρεβάτι μου μαζὶ ν' ἀγκαλιαστοῦμε,
καὶ στῆς ἀγάπης τὰ φιλιὰ νὰ βροῦμε μπιστοσύνη."
Αὐτὰ σὰ μίλησε ἡ θεά, γυρίζω καὶ τῆς κρένω·
"Ὤ Κίρκη, πῶς ζητᾶς ἐγὼ νὰ σοῦ φερθῶ μὲ γλύκα,
ποὺ χοίρους στὰ παλάτια σου τοὺς φίλους μου ἔχεις κάμει,
κι ἐμένα ἐδῶ κρατώντας με πονηρευτὰ καλεῖς με
στὸ θάλαμό σου, τάχα ἐκεῖ μαζί σου νὰ πλαγιάσω,
κι ἔτσι, σὰ γυμνωθῶ, ἀντρειὰ καὶ δύναμη μοῦ πάρης;
Μὰ ἐγὼ πὰς στὸ κρεβάτι σου δὲ δέχουμαι ν' ἀνέβω,
ἂ δὲν θελήσης, ὦ θεὰ, βαρὺ νὰ κάμης ὅρκο,
πὼς ἄλλο ἀγνάντια μου κακὸ στὸ νοῦ σου δὲ θὰ βάλης."
Εἶπα, κι αὐτὴ μοῦ ὁρκίστηκε καθὼς ἐγὼ ζητοῦσα.
Κι ἅμα τὸν ὅρκον ἄμωσε καὶ πῆρε ὁ ὅρκος

τε τὸν ὅρκον,
καὶ τότ᾽ ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.
"ἀμφίπολοι δ᾽ ἄρα τέως μὲν ἐνὶ μεγάροισι πένοντο
τέσσαρες, αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι·
γίγνονται δ᾽ ἄρα ταί γ᾽ ἔκ τε κρηνέων ἀπό τ᾽ ἀλσέων
ἔκ θ᾽ ἱερῶν ποταμῶν, οἵ τ᾽ εἰς ἅλαδε προρέουσι.
τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλὰ
πορφύρεα καθύπερθ᾽, ὑπένερθε δὲ λῖθ᾽ ὑπέβαλλεν·
ἡ δ᾽ ἑτέρη προπάροιθε θρόνων ἐτίταινε τραπέζας
ἀργυρέας, ἐπὶ δέ σφι τίθει χρύσεια κάνεια·
ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα
ἡδὺν ἐν ἀργυρέῳ, νέμε δὲ χρύσεια κύπελλα·
ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει καὶ πῦρ ἀνέκαιε
πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ᾽ ὕδωρ.
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
ἔς ῥ᾽ ἀσάμινθον ἔσασα λό᾽ ἐκ τρίποδος μεγάλοιο,
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων.
αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ᾽ ἐλαίῳ,
ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν ἠδὲ χιτῶνα,
εἶσε δέ μ᾽ εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου
καλοῦ δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·

τέλος,
τότες ἀπάνω στ' ὡριο της ἀνέβηκα κρεβάτι,
Ὡς τόσο συγυρίζανε μὲς στὰ παλάτια οἱ βάγιες.
Τέσσερεις ἦταν, κι εἴχανε τῶν παλατιῶν τὴν ἔννοια·
ἀπὸ βρυσοῦλες καὶ δεντρὰ τὴ φύτρα τους κρατοῦσαν,
κι ἀπ' τὰ ποτάμια τὰ ἱερὰ ποὺ στοὺς γιαλοὺς κυλιοῦνται.
Μιὰ σκέπαζε ὅλα τὰ θρονιὰ μὲ πορφυρένιες σκέπες,
πανώριες, μὲ ἀποκάτουθε λινόφαντα ἁπλωμένα·
τραπέζια ἡ ἄλλη ἀσημωτὰ μπρὸς στὰ θρονιὰ τραβοῦσε,
κι ἀπάνω τους ἀράδιαζε χρυσόπλεχτα πανέρια·
ἡ τρίτη μέσα στ' ἀργυρὸ ἀνακάτωνε κροντήρι
γλυκὸ κρασί, καὶ μοίραζε μαλαματένια τάσια·
καὶ φέρνει ἡ τέταρτη νερό, καὶ τὶς φωτιὲς ἀνάβει
κάτου ἀπὸ τρίποδα τρανό, καὶ τὸ νερὸ ζεσταίνει.
Καὶ τὸ νερὸ σὰν ἔβρασε στ' ἀστραφτερὸ λεβέτι,
τὸ πῆρε, σὐχλιο τό 'καμε, καλόδεχτο νὰ γίνῃ,
καὶ βάζοντάς με σὲ λουτρό, περνάει κεφάλι κι ὤμους,
καὶ τὴ βαρειὰ τὴν κούραση σηκώνει ἀπ' τὸ κορμί μου.
Σὰ μ' ἔλουσε καὶ μ' ἄλειψε μὲ τὸ παχὺ τὸ λάδι,
καὶ μ' ὥρια χλαίνα μ' ἔντυσε καὶ μὲ χιτώνα ἡ κόρη,
μὲ πῆρε καὶ μὲ κάθισε σ' ἀργυροκάρφωτη ἔδρα,
περίτεχνη καὶ πλουμιστή, μ' ἀκουμποπόδι ὀμπρός μου·

χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων.
ἐσθέμεναι δ᾽ ἐκέλευεν· ἐμῷ δ᾽ οὐχ ἥνδανε θυμῷ,
ἀλλ᾽ ἧμην ἀλλοφρονέων, κακὰ δ᾽ ὄσσετο θυμός.
"Κίρκη δ᾽ ὡς ἐνόησεν ἔμ᾽ ἥμενον οὐδ᾽ ἐπὶ σίτῳ
χεῖρας ἰάλλοντα, κρατερὸν δέ με πένθος ἔχοντα,
ἄγχι παρισταμένη ἔπεα πτερόεντα προσηύδα·
" ᾽τίφθ᾽ οὕτως, Ὀδυσεῦ, κατ᾽ ἄρ᾽ ἔζεαι ἶσος ἀναύδῳ,
θυμὸν ἔδων, βρώμης δ᾽ οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀίεαι· οὐδέ τί σε χρὴ
δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
πρὶν λύσασθ᾽ ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
ἀλλ᾽ εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις,
λῦσον, ἵν᾽ ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους.᾽
"ὣς ἐφάμην, Κίρκη δὲ διὲκ μεγάροιο βεβήκει
ῥάβδον ἔχουσ᾽ ἐν χειρί, θύρας δ᾽

[καὶ μπρίκι γιὰ τὸ νίψιμο μοῦ φέρνει τότε ἡ βάγια,
ὡριο, χρυσὸ καὶ χύνει μου στὴν ἀργυρὴ λεγένη
γιὰ νὰ πλυθῶ, καὶ στρώνει μου τὸ γυαλιστὸ τραπέζι.
Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,
κι ἀπὸ τὰ καλοφάγια της μοῦ πρόσφερε περίσσια,]
καὶ νὰ γευτῶ μὲ κάλεσε· μὰ ἐγὼ δὲν μπόρουν ἦταν
ὁ νοῦς μου ἀλλοῦ, καὶ πρόβλεπε πολλὰ δεινὰ ἡ ψυχή μου.
Τηρώντας με νὰ κάθουμαι, καὶ χέρι νὰ μὴ βάζω
στὸ φαΐ, παρὰ νὰ φαίνουμαι σὲ θλίψη βυθισμένος,
σιμώνει ἡ Κίρκη, καὶ μιλάει μὲ φτερωμένα λόγια·
"Τί κάθεσαι μαθὲς βουβός, καὶ τρῶς τὰ σωθικά σου,
καὶ δὲν ἀγγίζεις μήτε φαΐ, μήτε πιοτὸ, Ὀδυσσέα ;
ἢ δόλους ὑποψιάζεσαι καινούργιους ; Μὰ κατόπι
ἀπ' τὸ βαρὺ τὸν ὅρκο μου, δὲν ἔχεις νὰ φοβᾶσαι."
Ἔτσ' εἶπε· καὶ γυρίζω ἐγὼ καὶ τῆς ἀπολογιέμαι·
"Ποιός ἄντρας, Κίρκη, γνωστικὸς θά 'χε καρδιὰ νὰ παίρνη
φαΐ ἢ πιοτὸ πρὶν τοὺς καλοὺς συντρόφους του γλυτώση,
καὶ γλυτωμένους πρὶν τοὺς δῆ μὲ τὰ δικά του μάτια ;
Μὰ ὁλόψυχα ἐσὺ ἂν ποθῆς νὰ πιῶ ἐδῶ καὶ νὰ φάγω,
λῦσ' τους, νὰ δοῦν τὰ μάτια μου τ' ἀγαπητά μου ἀδέρφια."
Εἶπε, κι ἀπ' τὰ παλάτια της ἡ θεὰ περνάει καὶ βγαίνει,
ραβδὶ κρατώντας, κι ἔρχεται, τὴ

ἀνέῳξε συφειοῦ,
ἐκ δ᾽ ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
οἱ μὲν ἔπειτ᾽ ἔστησαν ἐναντίοι, ἡ δὲ δι᾽ αὐτῶν
ἐρχομένη προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.
τῶν δ᾽ ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
ἄνδρες δ᾽ ἂψ ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν,
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
ἔγνωσαν δέ μ᾽ ἐκεῖνοι ἔφυν τ᾽ ἐν χερσὶν ἕκαστος.
πᾶσιν δ᾽ ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
σμερδαλέον κονάβιζε· θεὰ δ᾽ ἐλέαιρε καὶ αὐτή.
"ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
κτήματα δ᾽ ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
αὐτὸς δ᾽ ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐμοί γ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ,
βῆν δ᾽ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
εὗρον ἔπειτ᾽ ἐπὶ νηὶ θοῇ ἐρίηρας ἑταίρους
οἴκτρ᾽ ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
ὡς δ᾽ ὅτ᾽ ἂν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας,

χοιρομάντρα ἀνοίγει.
Τοὺς ἔβγαλε, καὶ μοιάζανε θρεφτάρια ἐννιὰ χρονῶνε.
Ἀγνάντια της σταθήκανε, κι ἀπὸ σιμὰ περνώντας
ἡ Κίρκη, μ' ἄλλο βότανο τοὺς ἄλειψε ἕναν ἕναν.
Ἀπ' τὰ κορμιά τους χύθηκαν ὅλες οἱ τρίχες τότες,
πού 'χαν φυτρώσει μὲ τῆς θεᾶς τὸ βλαβερὸ βοτάνι,
κι ἄνθρωποι ξαναγένηκαν καλύτεροι ἀπ' τὰ πρῶτα,
στὴ νιότη καὶ στ' ἀνάστημα, στὴν ὁμορφιά, στή χάρη,
Καὶ μὲ εἶδαν καὶ μὲ γνώρισαν, καὶ μοῦ 'πιασαν τὸ χέρι,
καὶ κλαῖγαν μὲ καρδιόπονο, καὶ μέσα στὰ παλάτια
ἀχολογοῦσε ἡ κλάψα τους, ποὺ ὡς κι ἡ θεὰ λυπήθη.
Σιμά μου τότες στάθηκε ἡ λαμπρὴ θεὰ καὶ μοῦ 'πε·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
ξεκίνα τώρα στὸ γιαλὸ καὶ στὸ γοργὸ καράβι,
Τραβῆξτε πρῶτα στὴ στεριὰ τὸ πλοῖο· ἐκεῖ μαζῶξτε
μὲς στὶς σπηλιὲς τὰ πράματα καὶ τ' ἄρμενα σας ὅλα,
κι ὕστερα γύρνα φέρνοντας μαζί σου τοὺς συντρόφους,"
Αὐτά εἶπε· κι ἡ ἀντρίκια μου ψυχὴ δὲν ἔλεγε ὄχι·
καὶ πῆγα κατὰ τὸ γοργὸ καράβι στ' ἀκρογιάλι,
καὶ βρῆκα ἐκεῖ τοὺς ἀκριβοὺς συντρόφους στὸ καράβι,
νὰ δέρνουνται καὶ νὰ θρηνοῦν ἀχνοὶ καὶ δακρυσμένοι.
Κι ὡς τὰ μοσκάρια στὸ μαντρὶ τὴν ὥρα ποὺ γυρίζουν

ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται,
πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ᾽ ἔτι σηκοὶ
ἴσχουσ᾽, ἀλλ᾽ ἀδινὸν μυκώμεναι ἀμφιθέουσι·
μητέρας· ὣς ἔμ᾽ ἐκεῖνοι ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
δακρυόεντες ἔχυντο· δόκησε δ᾽ ἄρα σφίσι θυμὸς
ὡς ἔμεν, ὡς εἰ πατρίδ᾽ ἱκοίατο καὶ πόλιν αὐτὴν
τρηχείης Ἰθάκης, ἵνα τ᾽ ἔτραφεν ἠδ᾽ ἐγένοντο.
καί μ᾽ ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·
" ᾽σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν,
ὡς εἴ τ᾽ εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
ἀλλ᾽ ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.᾽
"ὣς ἔφαν, αὐτὰρ ἐγὼ προσέφην μαλακοῖς ἐπέεσσι·
᾽νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσομεν ἠπειρόνδε,
κτήματα δ᾽ ἐν σπήεσσι πελάσσομεν ὅπλα τε πάντα·
αὐτοὶ δ᾽ ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
ὄφρα ἴδηθ᾽ ἑτάρους ἱεροῖς ἐν δώμασι Κίρκης
πίνοντας καὶ ἔδοντας· ἐπητανὸν γὰρ ἔχουσιν.᾽
"ὣς ἐφάμην, οἱ δ᾽ ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
Εὐρύλοχος δέ μοι οἷος ἐρύκανε πάντας ἑταίρους·
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"᾽ἆ δειλοί, πόσ᾽ ἴμεν; τί κακῶν ἱμείρετε τούτων;
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ

ἀπ' τὸ γρασίδι στὴν αὐλὴ χορτάτες οἱ ἀγελάδες,
ὅλα μαζὶ χοροπηδοῦν μπροστά τους, ποὺ κι ἡ στάνη
δὲν τὰ χωρεῖ, κι ἀνέπαυα γύρω στὶς μάνες τρέχουν
μουγκρίζοντας, ἔτσι κι αὐτοὶ σὰ μ' εἴδανε κοντά τους,
χουμίζανε δακρύζοντας· καὶ φάνηκε στὸ νοῦ τους,
σὰ νά 'ρθανε στὸν τόπο τους, στὸ πετρωτὸ τὸ Θιάκι,
ἐκεῖ ποὺ γεννηθήκανε κι ἐκεῖ ποὺ ἀνατραφῆκαν.
Θρηνώντας τότες μοῦ 'πανε μὲ φτερωμένα λόγια·
"Ὅ γυρισμός σου, ὦ διόθρεφτε, τόση χαρὰ μᾶς δίνει,
ὅση τὸ Θιάκι ἃ βλέπαμε, τὸ ποθητὸ νησί μας.
Καὶ τώρα πές μας τὸ χαμὸ τῶν ἄλλω μας συντρόφων."
Καὶ τοὺς ἀπολογήθηκα μὲ μαλακὰ ἐγὼ λόγια·
"Πρῶτα τὸ πλοῖο ἂς σύρουμε στὴ γῆς, κι ἂς κουβαλᾶμε
μὲς στὶς σπηλιὲς τὰ πράματα καὶ τ' ἄρμενά μας ὅλα·
κι ἐσεῖς μαζί μου νά 'ρθετε κατόπι τοιμαστῆτε,
στῆς θεᾶς τῆς Κίρκης τὰ ἱερὰ παλάτια, γιὰ νὰ δῆτε
τοὺς φίλους ποὺ φαγοποτοῦν, τὶ ἔχουν ἐκεινοι ἀπ' ὅλα."
Εἶπα, κι ἐκεῖνοι ἀκούσανε τὰ λόγια μου.
Ἕνας ὅμως,
ὁ Εὐρύλοχος, μοῦ μπόδιζε τοὺς ἄλλους τοὺς συντρόφους,
καὶ φώναζέ τους, κι ἔλεγε μὲ λόγια φτερωμένα·
"Ποῦ πᾶτε, ὦ κακορίζικοι, τί συφορὲς ζητᾶτε,
καὶ θέτε νὰ μαζεύεστε στῆς Κίρκης τὰ

κεν ἅπαντας
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,
οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ,
ὥς περ Κύκλωψ ἔρξ', ὅτε οἱ μέσσαυλον ἵκοντο
ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἴπετ' Ὀδυσσεύς·
τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.'
"ὣς ἔφατ', αὐτὰρ ἐγώ γε μετὰ φρεσὶ μερμήριξα,
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
τῷ οἱ ἀποπλήξας κεφαλὴν οὐδάσδε πελάσσαι,
καὶ πηῷ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι
μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
"'διογενές, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
αὐτοῦ πὰρ νηί τε μένειν καὶ νῆα ἔρυσθαι·
ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.'
"ὣς φάμενοι παρὰ νηὸς ἀνήιον ἠδὲ θαλάσσης.
οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηὶ λέλειπτο,
ἀλλ' ἔπετ'· ἔδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.
"τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
ἐνδυκέως λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλεν ἠδὲ χιτῶνας·
δαινυμένους δ' ἐὺ πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον φράσσαντό τ' ἐσάντα,

παλάτια,
ποὺ χοίρους θὰ μᾶς κάμη αὐτὴ καὶ λύκους καὶ λιοντάρια,
νὰ τῆς φυλᾶμε τὸ λαμπρὸ παλάτι μὲ τὸ ζόρι,
σὰν ποὺ ἔκαμε καὶ ὁ Κύκλωπας στὴ μάντρα του ὅταν μπῆκαν
μέσα οἱ σύντρόφοι μας κι αὐτὸς ὁ ἀπόκοτος Δυσσέας,
ποὺ ἀπὸ τὴν τρέλλα του κι αὐτοὶ χαθήκανε καὶ πᾶνε."
Εἶπε, κι ἐμένα μέσα μου μοῦ 'ρθε ἔτσι νὰ τραβήξω
ἀπ' τὸ παχύ μου τὸ μερὶ τὴν κοφτερὴ τὴ σπάθα,
μιὰ νὰ τοῦ δώσω, καὶ στὴ γῆς νὰ πέση ἡ κεφαλή του,
κι ἂς ἦτανε καὶ συγγενὴς στενός μου· μὰ οἱ συντρόφοι
μὲ κράταγαν ἀπὸ παντοῦ μιλώντας μου μὲ γλύκα·
"Ἂς τὸν ἀφήσουμε πιὰ αὐτόν, θεογέννητε, ἂν ὁρίζης,
νὰ μείνη στὸ κατάγιαλο καὶ νὰ φυλάη τὸ πλοῖο·
κι ἐμᾶς στῆς Κίρκης τὰ ἱερὰ παλάτια ὁδήγησέ μας."
Κι ἀπ' τὸ καράβι ἀνέβηκαν, κι ἀπ' τοῦ γιαλοῦ τὴν ἄκρη,
καὶ πίσω μήτ' ὁ Εὐρύλοχος δὲν ἔμεινε, μόν' πῆγε
κι αὐτός, γιατί φοβήθηκε τὰ τρομερά μου λόγια.
Τοὺς ἄλλους πάλε φίλους μας μὲς στὰ παλάτια ἡ Κίρκη
τοὺς ἔλουσε, τοὺς ἄλειψε μὲ τὸ παχὺ τὸ λάδι,
τοὺς φόρεσε ὅλους μὲ κρουστὲς χλαμύδες καὶ χιτῶνες·
καὶ μέσα ἐκεῖ τοὺς βρήκαμε ποὺ τρώγανε καὶ πίναν.
Καὶ βλέποντας καθένας τους καὶ νιώθοντας τὸν ἄλλον,
στενάζανε καὶ κλαίγανε, ποὺ ἀχολογοῦσε ὁ

κλαῖον ὀδυρόμενοι, περὶ δὲ στεναχίζετο δῶμα.
ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
"᾽μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
ἠμὲν ὅσ᾽ ἐν πόντῳ πάθετ᾽ ἄλγεα ἰχθυόεντι,
ἠδ᾽ ὅσ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου.
ἀλλ᾽ ἄγετ᾽ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης ᾽Ιθάκης. νῦν δ᾽ ἀσκελέες καὶ ἄθυμοι,
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι, οὐδέ ποθ᾽ ὕμιν
θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ ἦ μάλα πολλὰ πέποσθε.᾽
"ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐνιαυτὸς ἔην, περὶ δ᾽ ἔτραπον ὧραι
μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα μακρὰ τελέσθη,
καὶ τότε μ᾽ ἐκκαλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι·
"᾽δαιμόνι᾽, ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι
οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.᾽
"ὣς ἔφαν, αὐτὰρ ἐμοί γ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον

πύργος.

Στάθηκε ὀμπρός μου ἡ τρίχαρη θεὰ καὶ μοῦ 'πε τότες·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
μὴν κλαῖτε καὶ μὴ δέρνεστε· κι ἐγὼ τὸ ξέρω πόσα
μέσα στὶς ἄγριες θάλασσες παθήματα σας ἦρθαν,
καὶ πόσα βάσανα στὴ γῆς ἀπὸ ἄδικους ἀνθρώπους.

Ἐλᾶτε τώρα στὸ φαΐ καὶ στὸ κρασὶ καθίστε,
ὡσπου νὰ ψυχοπιάσουνε τὰ σπλάχνα σας, καὶ νά 'στε
σὰν τότες ποὺ τ' ἀφήσατε τὸ πετρωτό σας Θιάκι,
κι ὄχι σὰν τώρα μισεροὶ καὶ παραπονεμένοι,
ποὺ ὅλο θυμᾶστε τ' ἄπειρα φριχτὰ πλανέματά σας,
κι ὁ νοῦς σας ἀπὸ τὰ πολλὰ δεινὰ χαρὰ δὲν ξέρει."

Αὐτά εἶπε, κι ἡ λεβέντικη, τὴν ἄκουσε ἡ ψυχή μας.
Καὶ μείναμε γλεντίζοντας ὁλάκερο ἕνα χρόνο
μὲ τὰ περίσσια κρέατα καὶ τὸ γλυκὸ κρασί της.
Μὰ ὁ χρόνος σάνε γύρισε μὲ τῶ μηνῶν τὸ διάβα,
κι οἱ μέρες μεγαλώνανε, τότε οἱ καλοὶ συντρόφοι
μὲ πήρανε παράμερα καὶ μίλησαν καὶ μοῦ 'παν·
"Καιρὸς πιὰ τὴν πατρίδα μας νὰ θυμηθῆς, καημένε,
γραφτό σου ἂν εἶναι νὰ σωθῆς καὶ ν' ἀξιωθῆς νᾶ φτάσης
στὸ σπίτι σου τ' ὡριόχτιστο, στὴν πατρική σου χώρα."

Αὐτά εἶπαν, καὶ ἡ λεβέντικη τοὺς ἄκουσε

καταδύντα
ἥμεθα, δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
οἱ μὲν κοιμήσαντο κατὰ μέγαρα σκιόεντα.
αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς περικαλλέος εὐνῆς

γούνων ἐλλιτάνευσα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·

"᾽ὦ Κίρκη, τέλεσόν μοι ὑπόσχεσιν ἥν περ ὑπέστης,
οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔσσυται ἤδη,
ἠδ᾽ ἄλλων ἑτάρων, οἵ μευ φθινύθουσι φίλον κῆρ
ἀμφ᾽ ἔμ᾽ ὀδυρόμενοι, ὅτε που σύ γε νόσφι γένηαι.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
μηκέτι νῦν ἀέκοντες ἐμῷ ἐνὶ μίμνετε οἴκῳ.
ἀλλ᾽ ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
εἰς Ἀίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο,
μάντηος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια,
οἴῳ πεπνῦσθαι, τοὶ δὲ σκιαὶ ἀίσσουσιν.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ·

ψυχή μου,
[Καὶ τότε ἐκεῖ καθόμασταν ὁλήμερα ὡς τὸ γέρμα,
μ' ἄσωστο κρέας, μὲ γλυκὸ κρασὶ φαγοποτώντας·
μὰ ὁ ἥλιος σὰ βασίλεψε κι ἁπλώθηκε σκοτάδι,
οἱ ἄλλοι στὰ βαθιοΐσκιωτα πλαγιάσανε παλάτια.]
Κι ἐγὼ στῆς Κίρκης τὸ λαμπρὸ ἀνεβαίνοντας κρεβάτι,
τὰ γόνατά της ἔπιασα καὶ τὴν παρακαλοῦσα,
κι ἄκουγε αὐτὴ τὰ φτερωτὰ ποὺ τῆς λαλοῦσα λόγια.·
"Ὦ Κίρκη, αὐτὸ ποὺ μοῦ 'ταξες καιρὸς νὰ τὸ τελέσης·
στεῖλε με πιὰ στὸν τόπο μου· τὸ λαχταρεῖ ἡ ψυχή μου,
τὸ λαχταροῦν κι οἱ φίλοι μου, ποὺ τὴν καρδιὰ μοῦ τρῶνε,
κι ὁλόγυρα μου δέρνουνται κάθε ὥρα ποὺ ἐσὺ λείπεις."
Αὐτὰ εἶπα, κι ἡ πανέμορφη θεὰ μοῦ ἀπολογιέται·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
δὲ θέλω πιὰ νὰ μένετε μὲ τὸ στανιὸ κοντά μου.
Ὅμως κι ἕν' ἄλλο πρῶτα ἐσεῖς θὰ κάμετε ταξίδι·
στῆς Περσεφόνης τῆς σκληρῆς καὶ στοῦ Ἅδη τὰ λημέρια
θὰ πᾶτε, τὰ μελλούμενα ν' ἀκοῦστε ἀπ' τὸ Θηβαῖο
τὸν Τειρεσία, τὸν τυφλὸ μάντη ποὺ ὁ νοῦς του ἀκόμα
κρατιέται, τὶ κι ἂν πέθανε, τὴ γνώση ἡ Περσεφόνη
τοῦ φύλαξε, καὶ δὲ γυρνάει σὰν ἴσκιος μὲ τοὺς ἄλλους."
Αὐτὰ σὰν εἶπε, ἐμένανε ραγίστηκε ἡ καρδιά μου·

κλαῖον δ᾽ ἐν λεχέεσσι καθήμενος, οὐδέ νύ μοι κῆρ
ἤθελ᾽ ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενος τ᾽ ἐκορέσθην,
καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
"᾽ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
εἰς Ἄϊδος δ᾽ οὔ πώ τις ἀφίκετο νηὶ μελαίνῃ.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηὶ μελέσθω,
ἱστὸν δὲ στήσας, ἀνά θ᾽ ἱστία λευκὰ πετάσσας
ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρῃσιν.
ἀλλ᾽ ὁπότ᾽ ἂν δὴ νηὶ δι᾽ Ὠκεανοῖο περήσῃς,
ἔνθ᾽ ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
μακραί τ᾽ αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι,
νῆα μὲν αὐτοῦ κέλσαι ἐπ᾽ Ὠκεανῷ βαθυδίνῃ,
αὐτὸς δ᾽ εἰς Ἀίδεω ἰέναι δόμον εὐρώεντα.
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
Κώκυτός θ᾽, ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων·
ἔνθα δ᾽ ἔπειθ᾽, ἥρως, χριμφθεὶς πέλας, ὡς σε κελεύω,
βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν

καὶ στὸ κλινάρι κάθισα καὶ τό 'ριξα στὸ κλάμα,
καὶ μήτε ζωὴ μήτε ἥλιου φῶς δὲν ἤθελε ἡ ψυχή μου,
Μὰ σὰ χαμοκυλίστηκα καὶ χόρτασα τὸ κλάμα,
πάλε τῆς ξαναμίλησα καὶ ρώτηξά την κι εἶπα·
"Καὶ ποιὸς τὸ δρόμο αὐτὸ θὰ ρθῆ καὶ θὰ μᾶς δείξη, ὦ Κίρκη ;
Δὲν πῆγε μὲ πλεούμενο κανεὶς στὸν Ἅδη ἀκόμα."
Αὐτὰ εἶπα, κι ἡ πανέμορφη θεὰ μοῦ ἀπολογιέται·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
γιὰ ὁδηγητὴ μὴ νοιάζεσαι τοῦ μαύρου καραβιοῦ σου·
στῆσ' τὸ κατάρτι, τέντωσε τ' ἄσπρα πανιά, καὶ κάθου·
θὰ σοῦ φυσήξη μιὰ ὁ Βοριᾶς, κι ἐκεῖ τὸ πλοῖο θὰ φέρη,
Μὰ τὸ βαθὺ καθὼς διαβῆς Ὠκεανὸ καὶ φτάσης
στὸν ἄγριον ὄχτο καὶ στ' ἀχνὰ τῆς Περσεφόνης δάσια,
μὲ τὶς ἰτιὲς τὶς ἄκαρπες καὶ τὶς ψηλὲς τὶς λεῦκες,
ἄραξ' ἐκεῖ τὸ πλοῖο σου στοῦ Ὠκεανοῦ τὴν ἄκρη,
καὶ στοῦ Ἅδη κίνησε νὰ πᾶς τ' ἀραχνιασμένο σπίτι,
Ἐκεῖ ὁ Πυριφλεγέθοντας στοῦ Ἀχέροντα τὸ ρέμα
κυλιέται μὲ τὸν Κωκυτὸ ποὺ πέφτει ἀπὸ τὴ Στύγα,
κι ὁ βράχος ποὺ βαρύβροντα τὰ δυὸ ποτάμια σμίγουν.
Σὰ φτάσης, ὦ ἥρωα, κοντὰ στὸν τόπο ποὺ ἱστορῶ σου,
σκάψε ὡς μιὰ πήχη λάκκο ἐκεῖ τοῦ μάκρου καὶ τοῦ πλάτου
καὶ χῦσε ὁλόγυρα σταλιὲς στοὺς πεθαμένους

νεκύεσσιν,
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέι οἴνῳ,
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν,
Τειρεσίῃ δ' ἀπάνευθεν ὄιν ἱερευσέμεν οἴῳ
παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.

αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
ἔνθ' ὄιν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν
εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι
ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
μῆλα, τὰ δὴ κατάκειτ' ἐσφαγμένα νηλέι χαλκῷ,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ καὶ προσευκὲς νὰ κάμουνε στοὺς δυὸ θεούς,
θεοῖσιν,
ἰφθίμῳ τ' Ἀίδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο
πυθέσθαι.
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,

ὅλους,
πρῶτα μελόνερο, ὕστερα γλυκὸ κρασί, καὶ τρίτο
πάλε νερό· καὶ μὲ λευκὸ πασπάλιζέ τα ἀλεύρι·
καὶ λέγοντας πολλὲς εὐκὲς στ' ἀδύναμα κεφάλια
των πεθαμένων, τάξε τους πὼς ἅμα ἐρθῆς στὸ Θιάκι
στείρα δαμάλα διαλεχτὴ στὸν πύργο σου θὰ σφάξης,
καὶ πὼς θ' ἀνάψης τους πυρὰ γεμάτη ὡραῖα δῶρα,
καὶ χώρια ἀρνὶ κατάμαυρο τοῦ Τειρεσία θὰ κόψης,
τοῦ κοπαδιοῦ τὸ πιὸ καλό. Καὶ σὰν παρακαλέσης
μὲ προσευχὲς τὰ δοξαστὰ τῶν πεθαμένων πλήθια,
σφαχτὸ κριάρι πρόσφερε καὶ μαύρη προβατίνα
γυρνώντας τα πρὸς τὸ Ἔρεβος· μὰ γύρνα ἐσὺ ἀποκεῖθε,
κι ἀντίκρυζε τοῦ ποταμοῦ τοὺς ὄχτους· τότες θά 'ρθουν
αὐτοῦ σιμά σου πάμπολλες ψυχὲς τῶν πεθαμένων,
Βάλε καὶ τοὺς συντρόφους σου νὰ γδάρουν καὶ νὰ κάψουν
τ' ἀρνια ποὺ τά 'χει ἀλύπητο μαχαίρι ἐκεῖ ριγμένα,
καὶ προσευκὲς νὰ κάμουνε στοὺς δυὸ θεούς,
στὸν Ἅδη
τὸ φοβερό, καὶ στὴ σκληρὴ συνάμα Περσεφόνη·
κι ἐσὺ, ἀπ' τὴ μέση σέρνοντας τὸ κοφτερὸ σπαθί σου,
κάθου, καὶ διῶχνε τῶ νεκρῶν τ' ἀδύναμα κεφάλια
μακριὰ ἀπ' τὸ αἷμα, ὡς ν' ἀκουστῆ τοῦ Τειρεσία ὁ λόγος,
Κι εὐτὺς ὁ μάντης θὰ φανῆ καὶ θὰ σοῦ πῆ, ὦ ἀφέντη,

ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.'
"ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἦλυθεν Ἠώς.
ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσεν·
αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἔννυτο νύμφη,
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ
καλὴν χρυσείην, κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.
αὐτὰρ ἐγὼ διὰ δώματ' ἰὼν ὤτρυνον ἑταίρους
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
"'μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον,
ἀλλ' ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.'
"ὣς ἐφάμην, τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
οὐδὲ μὲν οὐδ' ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους.
Ἐλπήνωρ δέ τις ἔσκε νεώτατος, οὔτε τι λίην
ἄλκιμος ἐν πολέμῳ οὔτε φρεσὶν ἦσιν ἀρηρώς·
ὅς μοι ἄνευθ' ἑτάρων ἱεροῖς ἐν δώμασι Κίρκης,
ψύχεος ἱμείρων, κατελέξατο οἰνοβαρείων.
κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας
ἐξαπίνης ἀνόρουσε καὶ ἐκλάθετο φρεσὶν ἦσιν
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσεν· ἐκ δέ οἱ αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ' τοῦ δρόμου τὰ μετρήματα, καὶ ποῦθε θὰ περάσης
τὰ πέλαα τὰ πολύψαρα στὴ γῆς σου νὰ γυρίσης,"

Αὐτὰ εἶπε, κι ἡ χρυσόθρονη σὰν πρόβαλε ἡ Αὐγούλα,
μὲ πῆρε καὶ μὲ φόρεσε χιτώνα καὶ χλαμύδα·
κι ἴδια της φόρεμα ἔβαλε περίλαμπρο, μεγάλο,
ψιλόφαντο καὶ λιμπιστό· κατόπι ὡριὸ ζουνάρι
ὁλόχρυσο στὴ μέση της, καὶ σκέπη στὸ κεφάλι,

Τότες στοὺς πύργους μπῆκα ἐγώ, κι ἕνα ἕνα τοὺς συντρόφους
παρακινοῦσα ἀπὸ κοντὰ μὲ λόγια μελωμένα.
"Μὴν πιὰ βαθιὰ ἀνεσαίνετε μὲς στὸ γλυκὸ τὸν ὕπνο,
μόν' πᾶμε· ἡ Κίρκη ἡ δέσποινα μοῦ ὁρμήνεψε τὸ δρόμο."
Τοὺς εἶπα, κι ἡ λεβέντικη μὲ ὑπάκουσε ψυχή τους,
Μὰ κι ἀποκεῖθε ἀπείραχτους δὲν πῆρα τοὺς συντρόφους·
κάποιος, ὁ Ἐλπήνορας, μικρός, κι ὄχι ἄντρας στοὺς πολέμους,
μήτε καὶ στὰ μυαλὰ γερός, παράμερα ἀπ' τοὺς ἄλλους
εἶχε πλαγιάσει στὴ σκεπὴ τῶν παλατιῶν τῆς Κίρκης,
δροσιὰ νὰ βρῆ μὲ τοῦ κρασιοῦ τὸ βάρος ζαλισμένος.
Μὰ ἀκούγοντας τὸ σάλαγο ποὺ φεύγανε οἱ συντρόφοι,
πετιέται ἀπάνω· ἀστόχησε νὰ κατεβῆ ἀπ' τὴ σκάλα
ξανὰ τὴν ἀψηλή, κι ὀμπρὸς ἴσια τραβώντας πέφτει
ἀπὸ τὴ στέγη· ὁ σβέρκος του ἔσπασε ἀπ' τὰ σφοντύλια,
κι ἀμέσως στοῦ Ἅδη τοὺς βυθοὺς κατέβηκε ἡ

Ἄϊδόσδε κατῆλθεν.
"ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον·
᾽φάσθε νύ που οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
ἔρχεσθ᾽· ἄλλην δ᾽ ἦμιν ὁδὸν τεκμήρατο Κίρκη,
εἰς Ἀίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.᾽
"ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
ἑζόμενοι δὲ κατ᾽ αὖθι γόων τίλλοντό τε χαίτας·
ἀλλ᾽ οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
"ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
ἤομεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες,
τόφρα δ᾽ ἄρ᾽ οἰχομένη Κίρκη παρὰ νηὶ μελαίνῃ
ἀρνειὸν κατέδησεν ὄιν θῆλύν τε μέλαιναν,
ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
ὀφθαλμοῖσιν ἴδοιτ᾽ ἠ ἔνθ᾽ ἠ ἔνθα κιόντα;

ψυχή του.
Στὸ δρόμο ποὺ πηγαίναμε τοὺς εἶπα αὐτὰ τὰ λόγια·
"Θὰ λέτε δὰ στὰ σπίτια μας καὶ στὴν καλὴ πατρίδα
πὼς πᾶμε· ὅμως μᾶς ὅρισε ἄλλο ταξίδι ἡ Κίρκη,
στῆς Περσεφόνης τῆς σκληρῆς καὶ στοῦ Ἅδη τὰ λημέρια,
τοὺς λόγους γιὰ ν' ἀκούσουμε τοῦ μάντη Τειρεσία."
Αὐτὰ εἶπα, καὶ στὰ λόγια μου ραγίστηκε ἡ καρδιά τους·
καὶ κάθισαν καὶ κλαίγανε, μαδώντας τὰ μαλλιά τους,
μὰ τί ὄφελος τοὺς ἔφερνε τὸ τόσο μοιρολόγι;
Σὰν ἤρθαμε στ' ἀκρόγιαλο καὶ στὸ γοργὸ καράβι,
βαριοθλιμμένοι, καὶ πικρὰ χύνοντας δάκρυα ἀκόμα,
στὸ μαυροκάραβο ἔρχεται καὶ κριάρι δένει ἡ Κίρκη,
μὲ προβατίνα ὁλόμαυρη, κι ἀγνώριστη διαβαίνει.
Καὶ ποιός ἀγνάντεψε θεὸ χωρὶς αὐτὸς νὰ θέλη,
γιά κατεδῶθε ξεκινάει, γιά κατακεῖθε φεύγει;

Ὁμήρου Ὀδύσσεια

Ραψωδία λ

Νέκυια.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

"αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ᾽ ἱστὸν τιθέμεσθα καὶ ἱστία νηὶ μελαίνῃ,
ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν,
Καὶ στὸ γιαλὸ σὰν ἤρθαμε καὶ στὸ γοργὸ καράβι,
πρῶτα ἀπ' τὴ γῆς τὰ σύραμε στὴν ὥρια κυματοῦσα,
καὶ τὸ κατάρτι στήσαμε καὶ τὰ πανιά του ἀπάνω,
καὶ πήραμε καὶ βάλαμε τὰ πρόβατα· καὶ

ἂν δὲ καὶ αὐτοὶ
βαίνομεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες.
ἡμῖν δ᾽ αὖ κατόπισθε νεὸς κυανοπρῴροιο
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη εὐπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
ἡμεῖς δ᾽ ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
ἥμεθα· τὴν δ᾽ ἄνεμός τε κυβερνήτης τ᾽ ἴθυνε.
τῆς δὲ πανημερίης τέταθ᾽ ἱστία ποντοπορούσης·
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.
"ἡ δ᾽ ἐς πείραθ᾽ ἵκανε βαθυρρόου Ὠκεανοῖο.
ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ᾽ αὐτοὺς
ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,
οὔθ᾽ ὁπότ᾽ ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
οὔθ᾽ ὅτ᾽ ἂν ἂψ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανόθεν προτράπηται,
ἀλλ᾽ ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.
νῆα μὲν ἔνθ᾽ ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα
εἱλόμεθ᾽· αὐτοὶ δ᾽ αὖτε παρὰ ῥόον Ὠκεανοῖο
ᾖομεν, ὄφρ᾽ ἐς χῶρον ἀφικόμεθ᾽, ὃν φράσε Κίρκη.
"ἔνθ᾽ ἱερήια μὲν Περιμήδης Εὐρύλοχός τε
ἔσχον· ἐγὼ δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
βόθρον ὄρυξ᾽ ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,

μέσα
κι ἐμεῖς θλιμμένοι μπήκαμε πικρὰ χύνοντας δάκρυα.
Καὶ πίσω ἀπ' τὸ μαυρόπλωρο καράβι στέλνει ἡ Κίρκη
ἡ φοβερὴ κι ἡ ὡριόμαλλη κι ἡ ἀνθρωπολαλοῦσα,
πρύμο καλὸ καὶ φιλικὸ ποὺ τὰ πανιὰ φουσκῶναν.
Καὶ τ' ἄρμενα σὰ σιάξαμε, καθίσαμε, κι ὁδήγα
ὁ ἀγέρας τὸ καράβι μας μαζὶ μὲ τὸν ποδότη.
Μὲ τεντωμένα τὰ πανιὰ ἀρμενίζαμε ὁλημέρα,
μὰ ὁ ἥλιος σὰ βασίλεψε κι ἀπόσκιωναν οἱ δρόμοι,
στοῦ τρίσβαθου βρεθήκαμε τοῦ Ὠκεανοῦ τὶς ἄκρες,
ἐκεῖ ποὺ τῶν Κιμμεριωτῶν εἶν' ὁ λαὸς κι ἡ χώρα,
ποὺ καταχνιὰ καὶ σύγνεφα γιὰ πάντα τοὺς σκεπάζουν,
καὶ τοῦ ἥλιου τοῦ χρυσόλαμπρου δὲν τοὺς θωροῦν οἱ ἀχτίδες,
μήτε πρὸς τ' ἀστερόσπαρτα σὰν ἀνεβαίνη οὐράνια,
μήτ' ἀπ' τὰ ὕψη τ' οὐρανοῦ στὴ γῆς σὰν κατεβαίνη,
μόνε τοὺς ἄμοιρους φριχτὴ πλακώνει πάντα νύχτα.

Ἤρθαμε αὐτοῦ κι ἀράξαμε, καὶ βγάλαμε τ' ἀρνιά μας,
καὶ τότες ἀκλουθήσαμε τοῦ Ὠκεανοῦ τὸ ρέμα,
ὡσπου στὸ μέρος φτάσαμε ποὺ ἡ Κίρκη εἶχε ὁρμηνέψει.

Ἐκεῖ σφαχτὰ ὁ Εὐρυλοχος κι ὁ Περιμήδης φέραν,
κι ἐγὼ ἔσυρα τὸ κοφτερὸ σπαθὶ ἀπὸ τὸ πλευρό μου,
κι ἔσκαψα λάκκο ὡς πήχη μιά, τοῦ μάκρου καὶ τοῦ πλάτου·

ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσι,
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέι οἴνῳ,
τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνον.
πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν,
Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄιν ἱερευσέμεν οἴῳ
παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.
τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,
ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο
ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων.
νύμφαι τ᾽ ἠίθεοί τε πολύτλητοί τε γέροντες
παρθενικαί τ᾽ ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,
πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε᾽ ἔχοντες·
οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ἥρει.
δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέι χαλκῷ,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ

καὶ χύνω ὁλόγυρα σταλιὲς στοὺς πεθαμένους ὅλους,
πρῶτα μελόνερο, ὕστερα γλυκὸ κρασί, καὶ τρίτο
πάλε νερό· καὶ μὲ λευκὸ τὰ πασπαλίζω ἀλεύρι·
καὶ λέγοντας πολλὲς εὐκὲς στ' ἀδύναμα κεφάλια
τῶν πεθαμένων, ἔταξα πὼς ἅμα ἐρθῶ στὸ Θιάκι
στείρα δαμάλα διαλεχτὴ στὸν πύργο μου θὰ σφάξω,
καὶ πὼς θ' ἀνάψω τους πυρὰ γεμάτη ὡραῖα δῶρα,
καὶ χώρια ἀρνὶ κατάμαυρο τοῦ Τειρεσία θὰ κόψω,
τοῦ κοπαδιοῦ τὸ πιὸ καλό. Καὶ τῶν νεκρῶν τὰ πλήθια
μὲ τάματα καὶ προσευκὲς θερμοπαρακαλώντας,
πῆρα τ' ἀρνιὰ καὶ τά 'σφαξα στὸ λάκκο· καὶ τὸ αἷμα
ἔτρεχε ὁλόμαυρο. Ἄρχισαν τῶν πεθαμένων τότες
καὶ μαζευόνταν οἱ ψυχὲς ἀπ' τὸ Ἔρεβος τὸ μαῦρο,
νύφες ἀντάμα κι ἄγουροι, τυραννισμένοι γέροι,
παρθένες κόρες τρυφερές, νεοθλιμμένες ὅλες,
κι ἄντρες πολλοὶ ἀπὸ χάλκινα κοντάρια λαβωμένοι,
νεκροὶ ποὺ εἶχανε τ' ἅρματα μὲ τὸ αἷμα τους βαμμένα
κι ἐδῶθε ἐκεῖθε ἀρίθμητοι γύρω στὸ λάκκο ἐρχόνταν,
μὲ ἀχὸ πολύ, καὶ μ' ἔπιανε χλωμὸς ἐμένα φόβος.
Τότε εἶπα στοὺς συντρόφους μου νὰ γδάρουν καὶ νὰ κάψουν
τ' ἀρνιὰ ποὺ τά 'χε ἀλύπητο μαχαίρι ἐκεῖ ριγμένα,
καὶ προσευκὲς νὰ κάμουνε στοὺς δυὸ θεοὺς,

θεοῖσιν,
ἰφθίμῳ τ᾽ Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἥμην, οὐδ᾽ εἴων νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
"πρώτη δὲ ψυχὴ ᾽Ελπήνορος ἦλθεν ἑταίρου·
οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.
τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'"Ελπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηὶ μελαίνῃ.
"ὣς ἐφάμην, ὁ δέ μ᾽ οἰμώξας ἠμείβετο μύθῳ·
᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος.
Κίρκης δ᾽ ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ᾽ Ἄϊδόσδε κατῆλθε.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ᾽ ἀλόχου καὶ πατρός, ὅ σ᾽ ἔτρεφε τυτθὸν ἐόντα,

στὸν Ἅδη
τὸ φοβερό, καὶ στὴ σκληρὴ συνάμα Περσεφόνη·
κι ἐγώ, ἀπ' τὴ μέση σέρνοντας τὸ κοφτερὸ σπαθί μου,
τῶν πεθαμένων ἔδιωχνα τ' ἀδύναμα κεφάλια,
μακριὰ ἀπ' τὸ αἷμα, ὡς ν' ἀκουστῆ τοῦ Τειρεσία ὁ λόγος.
Πρώτη τοῦ ᾽Ελπήνορα ἡ ψυχὴ μᾶς ἦρθε, τοῦ συντρόφου,
τί ἀκόμα μὲς στὴ μαύρη γῆς δὲν ἤτανε θαμμένος,
ποὺ ἐμεῖς τὸ σῶμα ἀφήκαμε στῆς Κίρκης τὰ παλάτια,
ἄκλαυτο κι ἄθαφτο, γιατὶ μᾶς ἔβιαζε ἄλλος μόχτος.
Τὸν εἶδα, καὶ δακρύσανε τὰ μάτια μου ἀπ' τὸν πόνο
καὶ φώναξά τον, κι εἶπα του μὲ φτερωμένα λόγια·
"᾽Ελπήνορα, πῶς ἔφτασες μὲς στὰ βαθιὰ σκοτάδια
πεζός, κι ἐμένα πρόκαμες, ποὺ μὲ καράβι ἐρχόμουν;"
Εἶπα, καὶ βαριοστέναξε κι ἀπολογήθη ἐκεῖνος·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
θεοῦ κατάρα, καὶ πιοτὸ περίσσιο μ' ἀφανίσαν·
ἀστόχησα, σὰν πλάγιασα στῆς Κίρκης τὰ παλάτια,
κι ἀντὶς ξανὰ ἀπ' τήν ἀψηλὴ νὰ κατεβῶ τὴ σκάλα,
ἐγὼ μπροστά μου ὁλόϊσα τράβηξα κι ἀπ' τὴ στέγη
κάτου ἔπεσα, κι ὁ σβέρκος μου ἔσπασε ἀπ' τὰ σφοντύλια,
κι ἀμέσως στοῦ Ἅδη τοὺς βυθοὺς κατέβηκε ἡ ψυχή μου.
Μὰ τώρα, στ' ὄνομα ἐκεινῶν ποὺ ἀκόμα ἐδῶ δὲν ἦρθαν,

Τηλεμάχου θ', ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀίδαο
νῆσον ἐς Αἰαίην σχήσεις ἐυεργέα νῆα·
ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο.
μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοι ἔστιν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
ἀνδρὸς δυστήνοιο καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν,
τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ' ἐμοῖς ἑτάροισιν.'
"ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.'
"νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
ἥμεθ', ἐγὼ μὲν ἄνευθεν ἐφ' αἵματι φάσγανον ἴσχων,
εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευεν·
"ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς κατατεθνηυίης,
Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντίκλεια,
τὴν ζωὴν κατέλειπον ἰὼν εἰς Ἴλιον ἱρήν.
τὴν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ·
ἀλλ' οὐδ' ὣς εἴων προτέρην,

τῆς σύγκοιτης, καὶ τοῦ γονιοῦ ποὺ σ' ἔθρεφε μικρούλη,
καὶ τοῦ Τηλέμαχου, ποὺ ἐκεῖ μονάχο τὸν ἀφῆκες,—
γιατὶ ξέρω, γυρίζοντας ἀπ' τοῦ Ἅδη τὰ λημέρια,
στῆς Αἴας πάλε τὸ νησὶ θ' ἀράξης τὸ καράβι,
—
παρακαλῶ σε, ὦ βασιλιά, θυμήσου με σὰ φτάσης,
μὴ φύγης κι ἄκλαυτο, ἄθαφτο μ' ἀφήσης ἐκεῖ πέρα,
καὶ γίνω αἰτία νὰ ὀργιστῆ κανένας θεὸς μαζί σου.
Μόν' πάρε με καὶ κάψε με μαζὶ μὲ τ' ἄρματά μου,
καὶ βάλε στὸν ἀφρόλευκο γιαλὸ κοντὰ μνημούρι,
νὰ μὲ πονοῦν τὸν ἄμοιρο κατόπι ὅσοι τὸ βλέπουν
κάμε μου αὐτά, καὶ τὸ κουπὶ στὸ μνῆμα ἀπάνω στῆσε
τὸ ἴδιο ποὺ ζώντας ἔλαμνα μαζὶ μὲ τοὺς συντρόφους."
Εἶπε, κι ἐγὼ τοῦ μίλησα κι ἀπολογήθηκά του·
"'Όλα, ὅσα μοῦ 'πες, ἄμοιρε, σωστὰ θὰ σοῦ τὰ κάμω,"
Τέτοιες κουβέντες θλιβερὲς κάναμε ὁ ἕνας τοῦ ἄλλου,
ἐγὼ ἀπ' τὴ μιὰ τὴ σπάθα μου κρατώντας στὸ αἷμ' ἀπάνω,
τὸ φάντασμα τοῦ Ἐλπήνορα λαλώντας ἀπ' τὴν ἄλλη.
Κι ἦρθε σιμὰ τότε ἡ ψυχὴ τῆς πεθαμένης μάνας,
τοῦ ἀντρόψυχου τοῦ Αυτόλυκου ἡ θυγατέρα Ἀντίκλεια,
ποὺ τὴν ἀφῆκα ζωντανὴ σὰ μίσευα στὴν Τροία.
Τὴν εἶδα ἐγὼ καὶ δάκρυσα, καὶ πόνεσε ἡ καρδιά μου·
ὡς τόσο δὲν τὴν ἄφηνα τὸ αἷμα νὰ ζυγώση,

πυκινόν περ ἀχεύων,
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.

"ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο
χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν·

'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
ἤλυθες, ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον;
ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω.'
"ὣς φάτ', ἐγὼ δ' ἀναχασσάμενος ξίφος ἀργυρόηλον
κουλεῷ ἐγκατέπηξ'. ὁ δ' ἐπεὶ πίεν αἷμα κελαινόν,
καὶ τότε δή μ' ἐπέεσσι προσηύδα μάντις ἀμύμων·
"'νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ·
τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀίω
λήσειν ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἔτι μέν κε καὶ ὣς κακά περ πάσχοντες ἵκοισθε,
αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
ὁππότε κε πρῶτον πελάσῃς ἐυεργέα νῆα
Θρινακίῃ νήσῳ, προφυγὼν ἰοειδέα πόντον,
βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.

ὅσο πολὺ κι ἂν θλίβομουν, πρὶ μοῦ μιλήση ὁ μάντης.

Καὶ τοῦ Θηβαίου ἦρθε σιμὰ ἡ ψυχὴ τοῦ Τειρεσία,
καὶ κράταε τὸ χρυσὸ ραβδί· μὲ γνώρισε, καὶ μοῦ 'πε·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
τί ἀφῆκες, ὦ κακόμοιρε, τὸ φῶς τοῦ ἥλιου κι ἦρθες
νὰ δῆς νεκροὺς κι αὐτὸν ἐδῶ, τὸν ἄχαρο τὸν κόσμο ;
Φεύγα ἀπ' τὸ λάκκο, μέριασε τὸ κοφτερὸ σπαθί σου,
αἷμα νὰ πιῶ, καὶ νὰ σοῦ πῶ κατόπι τὴν ἀλήθεια."
Εἶπε, κι ἐγὼ τραβήχτηκα, καὶ στὸ φηκάρι χώνω
τ' ἀργυροκάρφωτο σπαθί· κι αἷμα σὰν ἤπιε μαῦρο,
ὁ μέγας μάντης λάλησε κι αὐτὰ τὰ λόγια μοῦ 'πε·
"Γλυκειὰ πατρίδα μελετᾶς, θεόλαμπρε Ὀδυσσέα·
ὅμως σὲ μάχεται ὁ θεός· θαρρῶ πὼς δὲν ξεφεύγεις
τὸν Κοσμοσείστη, ποὺ θυμὸ γιὰ σένα μέσα του ἔχει,
καὶ βράζει ἀπὸ τὴ μάνητα, ποὺ τύφλωσες τὸ γιό του.
Μὰ πάλε ὅσα κι ἂν πάθετε, θὰ φτάσετε ἂν θελήσης,
νὰ βασταχτῆς, κι ἐσὺ κι αὐτοὶ οἱ συντρόφοι σου, ἅμα πᾶτε
στῆς Θρινακίας τὸ νησὶ μὲ τὸ καλόφτιαστό σου
καράβι, πίσω ἀφήνοντας τὰ μενεξιὰ πελάγη·
θὰ βρῆτε ἐκεῖ νὰ βόσκουνε τὰ πρόβατα καὶ βόδια
τοῦ Ἥλιου, ποὺ ἀποπάνωθε βλέπει κι ἀκούει τὰ πάντα.

τὰς εἰ μέν κ᾽ ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
καί κεν ἔτ᾽ εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ᾽ ὄλεθρον,
νηί τε καὶ ἑτάροις. αὐτὸς δ᾽ εἴ πέρ κεν ἀλύξῃς,
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
νηὸς ἐπ᾽ ἀλλοτρίης· δήεις δ᾽ ἐν πήματα οἴκῳ,
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσι
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
ἀλλ᾽ ἦ τοι κείνων γε βίας ἀποτίσεαι ἐλθών·
αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξέι χαλκῷ,
ἔρχεσθαι δὴ ἔπειτα λαβὼν εὐῆρες ἐρετμόν,
εἰς ὅ κε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ᾽ ἄρα τοί γ᾽ ἴσασι νέας φοινικοπαρῄους
οὐδ᾽ εὐήρε᾽ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει·
ὁππότε κεν δή τοι συμβλήμενος ἄλλος ὁδίτης
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
καὶ τότε δὴ γαίῃ πήξας εὐῆρες ἐρετμόν,
ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ᾽ ἐπιβήτορα κάπρον,

Αὐτὰ ἂν ἀφήσης ἄβλαβα, κι ἂν θὲς τὸ γυρισμό σου,
ὅσο πολλὰ κι ἂν πάθετε πάλε στὸ Θιάκι πᾶτε·
μὰ ἂν τὰ πειράξῃς, πρόσμενε ξολοθρεμὸ στὸ πλοῖο
καὶ στοὺς συντρόφους κι ἴδιος σου ἂ σωθῆς, θὰ κακοφτάσῃς
ἀργά, μὲ δίχως σύντροφο, καὶ μὲ καράβι ξένο.
Καὶ θά 'βρῃς μὲς στὸ σπίτι σου μεγάλα κακοπάθια·
ἄντρες ἀπόκοτους θὰ βρῆς νὰ καταλοῦν τὸ βιός σου,
μὲ δῶρα τ' ὥριο ταίρι σου νὰ πάρουν πολεμώντας.
Ὅμως γι' αὐτὰ θὰ γδικιωθῆς, σοῦ λέω ἐγώ, σὰ φτάσῃς·
κι ἀφοῦ μὲς στὰ παλάτια σου χαλάσῃς τοὺς μνηστῆρες,
μὲ ἀπάτη ἢ κι ὁλοφάνερα μὲ κοφτερὸ λεπίδι,
θὰ σύρῃς τότε παίρνοντας τὸ δυνατὸ κουπί σου,
νὰ πᾶς στὴ χώρα τῶν ἀντρῶν ποὺ θάλασσα δὲν ξέρουν,
καὶ ποὺ φαΐ δὲν συνηθοῦν νὰ τρῶνε ἁλατισμένο,
καὶ μήτε κοκκινόπλωρα καράβια αὐτοὶ γνωρίζουν,
μήτε τὰ δυνατὰ κουπιά, πού 'ναι φτερὰ τῶν πλοίων.
Νά, καὶ σημάδι ξάστερο, ποὺ δὲ θὰ σοῦ ξεφύγῃ·
σὰν ἀνταμώσῃς ἄλλονε στὸ δρόμο ταξιδιώτη,
καὶ λέει δικράνι πὼς βαστᾶς στὸν ὦριο σου τὸν ὦμο,
τότες τὸ δυνατὸ κουπὶ μπῆξε στὴ γῆς, καὶ κάμε
καλόδεχτες θυσίες ἐκεῖ στὸ ρήγα Ποσειδώνα,
κριάρι, ταῦρο σφάζοντας, κι ἀγριόχοιρο βαρβάτο·

οἴκαδ᾽ ἀποστείχειν ἔρδειν θ᾽ ἱερᾶς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ᾽ ἐξείης. θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
γήραι ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται. τὰ δέ τοι νημερτέα εἴρω.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
"Τειρεσίη, τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
μητρὸς τήνδ᾽ ὁρόω ψυχὴν κατατεθνηυίης·
ἡ δ᾽ ἀκέουσ᾽ ἧσται σχεδὸν αἵματος, οὐδ᾽ ἐὸν υἱὸν
ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι.
εἰπέ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα;"
"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπεν·
"ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐπὶ φρεσὶ θήσω.
ὅν τινα μέν κεν ἐᾷς νεκύων κατατεθνηώτων
αἵματος ἆσσον ἴμεν, ὁ δέ τοι νημερτὲς ἐνίψει·
ᾧ δέ κ᾽ ἐπιφθονέῃς, ὁ δέ τοι πάλιν εἶσιν ὀπίσσω.᾽
"ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϊδος εἴσω
Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ᾽ ἔλεξεν·
αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, ὄφρ᾽ ἐπὶ μήτηρ
ἦλυθε καὶ πίεν αἷμα κελαινεφές·

καὶ γύρνα στὴν πατρίδα σου ἑκατοβοδιὲς νὰ κάμης
ἱερὲς γιὰ τοὺς ἀθάνατους ποὺ ὁρίζουνε τὰ οὐράνια,
μὲ τὴ σειρὰ τοῦ καθενοῦ· κι ὁ θάνατος θὰ σοῦ 'ρθη
ὄξω ἀπὸ θάλασσα, ἀλαφρός, καὶ θὰ σε γλυκοπάρη
μὲς στὰ καλὰ γεράματα, ποὺ ὁλόγυρα οἱ λαοί σου
θὰ χαίρουνται καλοτυχιά. Σοῦ 'πα ὅλη τὴν ἀλήθεια."
Αὐτὰ εἶπε, κι ἐγὼ γύρισα κι ἀπολογήθηκά του·
"Ἔτσι θὰ τά 'χουνε οἱ θεοὶ κλωσμένα, ὦ Τειρεσία.
Μὰ πές μου τώρα ξάστερα κι αὐτό· τῆς πεθαμένης
μανούλας μου, νά, τὴν ψυχὴ ἐδῶ βλέπω καθισμένη
σιμὰ στὸ αἷμα ἀμίλητη, καὶ δὲ γυρνάει, τοῦ γιου της
νὰ δῆ τὴν ὄψη ἀγνάντια της, καὶ νὰ τοῦ προσμιλήση.
Πῶς ἄραγες θὰ μ' ἔνιωθε πὼς εἶμαι τὸ παιδί της;"
Εἶπα, κι ὁ μάντης γύρισε κι ἀπολογήθη ἀμέσως·
"Εὔκολο πρᾶμα θὰ σοῦ πῶ, καὶ κράτα το στὸ νοῦ σου·
ὅποιον ἀπ' τοὺς νεκροὺς νὰ ρθῆ σιμὰ στὸ αἷμα ἀφήσης,
αὐτὸς ἀλήθειες θὰ σοῦ πῆ· μὰ ὅποιονε ἐσὺ διώχνεις,
αὐτὸς τραβιέται μακριὰ καὶ ξαναφεύγει πίσω."
Σὰν εἶπε αὐτά, κι ὁρμήνεψε τὴ μοῖρα ὁ Τειρεσίας,
στὸν Ἅδη ξαναγύρισε· ὡς τόσο ἐγὼ στεκόμουν
ὡσότου ἡ μάνα ζύγωσε καὶ μαῦρο ρούφηξε αἷμα·
καὶ τότ' εὐτὺς μὲ γνώρισε καὶ μοῦ 'κρενε

αὐτίκα δ᾽ ἔγνω,
καί μ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
"᾽τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
ᾨκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
πεζὸν ἐόντ᾽, ἢν μή τις ἔχῃ ἐυεργέα νῆα.
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ᾽ ἱκάνεις
νηί τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
εἰς Ἰθάκην, οὐδ᾽ εἶδες ἐνὶ μεγάροισι γυναῖκα;"
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽μῆτερ ἐμή, χρειώ με κατήγαγεν εἰς Ἀίδαο
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο·
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς
γῆς ἐπέβην, ἀλλ᾽ αἰὲν ἔχων ἀλάλημαι ὀιζύν,
ἐξ οὗ τὰ πρώτισθ᾽ ἑπόμην Ἀγαμέμνονι δίῳ
Ἴλιον εἰς εὐπωλον, ἵνα Τρώεσσι μαχοίμην.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
ἦ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;
εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,

θρηνώντας·
"Πῶς ἦρθες, γιέ μου, ζωντανὸς στὰ μαῦρα αὐτὰ σκοτάδια;
Δύσκολο γιὰ τοὺς ζωντανοὺς νὰ δοῦνε αὐτὰ ἐδῶ κάτω.
[Τρανοὶ στὴ μέση ποταμοὶ καὶ φοβερὰ ποτάμια·
καὶ πρῶτ' ἀπ' ὅλα ὁ Ὠκεανός, ποὺ νὰ διαβῆ κανένας
πεζὸς δὲ δύνεται, χωρὶς καλόφτιαστο καράβι.]
Τάχ' ἀπ' τὴν Τροία ξέπεσες ἐδῶ μὲ τοὺς συντρόφους,
πολὺ σάνε πλανήθηκες μακριὰ ἀπὸ τὴν πατρίδα,
κι ἀκόμα στὰ παλάτια σου τὸ ταίρι σου δὲν εἶδες ;"
Αὐτά εἶπε, κι ἐγὼ μίλησα κι ἀπολογήθηκά της.
"Μάνα μου, ἀνάγκη μ' ἔφερε στὸν Ἅδη νὰ ρωτήξω
τὴ μοῖρα μου ἀπ' τὸ θεϊκὸ Θηβαῖο, τὸν Τειρεσία·
τὶ ἀκόμα ἐγὼ δὲν ἄγγιξα τῶν Ἀχαιῶν τὴ χώρα,
μηδὲ στὴ γῆς μου πάτησα, παρὰ ὅλο ἐρμοπλανιέμαι, .
ἀφόντας μὲ τὸ θεϊκὸ Ἀγαμέμνονα εἶχα φύγει
γιὰ τὸ Ἴλιο τ' ἀλογάρικο, τοὺς Τρῶες νὰ πολεμήσω.

Ὡς τόσο, πές μου ξάστερα καὶ ξήγησέ μου ἐτοῦτο·
πῶς σοῦ 'ρθε ὁ κορμοτεντωτὴς ὁ Χάρος καὶ σὲ πῆρε ;
νά 'ταν ἀρρώστια μακρινὴ, γιὰ ἡ Ἄρτεμη ἡ τοξεύτρα
μὲ τὶς ψιλὲς σαγίτες της ἦρθε νὰ σὲ σκοτώση ;
Πές μου καὶ γιὰ τὸν κύρη μου, καὶ γιὰ τὸ γιὸ ποὺ ἀφῆκα,

ἢ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἂν τὰ πρωτάτα μοῦ κρατοῦν ἀκόμα αὐτοί, ἤδη γιά κάποιος
ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ᾽ οὐκέτι φασὶ νέεσθαι. ἄλλος τὰ πῆρε, καὶ θαρροῦν πὼς πιὰ δὲ θὰ γυρίσω.
εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε, Πές μου καὶ τῆς γυναίκας μου ποιά 'ναι ἡ βουλὴ κι ἡ γνώμη·
ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει κάθεται πάντα μὲ τὸ γιὸ καὶ κυβερνάει τὸ σπίτι,
ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅς τις ἄριστος.᾽ ἢ τάχα τὴν παντρεύτηκε Ἀχαιὸς ἀπ' τοὺς προυχόντους ;"
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο πότνια μήτηρ· Καὶ τότε ἡ κερὰ μάνα μου μοῦ ἀπολογήθη κι εἶπε·
᾽καὶ λίην κείνη γε μένει τετληότι θυμῷ "Μ' ἀπομονὴ περίσσια αὐτὴ στοὺς πύργους μέσα κλειέται,
σοῖσιν ἐνὶ μεγάροισιν· ὀιζυραὶ δέ οἱ αἰεὶ καὶ μαῦρες μέρες καὶ νυχτιὲς περνάει καὶ χύνει δάκρυα.
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ. Καὶ μήτε τὰ πρωτάτα σου κανεὶς δὲν πῆρε ἀκόμα,
σὸν δ᾽ οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος παρὰ ἥσυχα ὁ Τηλέμαχος φυλάει τ' ἀρχοντικά σου,
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐίσας καὶ πάντα τόνε προσκαλοῦν στὰ μοιραστὰ τραπέζια,
δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ᾽ ἀλεγύνειν· σὰν ποὺ ταιριάζει σὲ κριτή· κι ὁ γέρος σου ὁ πατέρας
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σὸς αὐτόθι μίμνει μένει καὶ ζῆ στὴν ἐξοχή, καὶ δὲν πατάει ποτές του
ἀγρῷ, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ οἱ εὐναὶ στὴ χώρα, μήτε χαίρεται κλινάρια μὲ στρωσίδια,
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα, καὶ μὲ λαμπρὰ παπλώματα, μόν' πέφτει τὸ χειμώνα
ἀλλ᾽ ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες στὸ σπίτι μὲ τοὺς δούλους του πὰς στῆς
ἐνὶ οἴκῳ, γωνιᾶς τὴ στάχτη,
ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροῒ εἵματα εἶται· κι ἔχει μὲ ροῦχα ταπεινὰ ντυμένο τὸ κορμί του·
αὐτὰρ ἐπὴν ἔθῃσι θέρος τεθαλυῖά τ᾽ ὀπώρη, τὸ θέρος καὶ τὸ καρπερὸ χινόπωρο σὰν ἔρθη,
πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο πηγαίνει τὸν ἀνήφορο στ' ἀμπελοχώραφό του,
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί. κι ἔχει παντοῦ κρεβάτι του τὰ σκόρπια φύλλα χάμου.
ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει Κοίτετ' ἐκεῖ καὶ χολοσκάει κι ὁ πόνος του πληθαίνει
σὸν νόστον ποθέων, χαλεπὸν δ᾽ ἐπὶ ποθώντας σε, καὶ γερατειὰ κακὰ τὸν

γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ᾽ ἐμέ γ᾽ ἐν μεγάροισιν ἐύσκοπος ἰοχέαιρα
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ᾽ Ὀδυσσεῦ,
σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ γ᾽ ἔθελον φρεσὶ μερμηρίξας
μητρὸς ἐμῆς ψυχὴν ἐλέειν κατατεθνηυίης.
τρὶς μὲν ἐφωρμήθην, ἐλέειν τέ με θυμὸς ἀνώγει,
τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον ἢ καὶ ὀνείρῳ
ἔπτατ᾽. ἐμοὶ δ᾽ ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
"᾽μῆτερ ἐμή, τί νύ μ᾽ οὐ μίμνεις ἐλέειν μεμαῶτα,
ὄφρα καὶ εἰν Ἀίδαο φίλας περὶ χεῖρε βαλόντε
ἀμφοτέρῳ κρυεροῖο τεταρπώμεσθα γόοιο;
ἦ τί μοι εἴδωλον τόδ᾽ ἀγαυὴ Περσεφόνεια
ὤτρυν᾽, ὄφρ᾽ ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω;"
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο πότνια μήτηρ·
᾽ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
οὔ τί σε Περσεφόνεια Διὸς θυγάτηρ ἀπαφίσκει,

βασανίζουν.
Ἔτσι ἀφανίστηκα κι ἐγὼ, κι ἦρθε μὲ πῆρε ὁ Χάρος·
μήτε ἡ τοξεύτρα ἡ Ἄρτεμη πῆχει ἄσφαλτο τὸ μάτι,
μὲ τὶς ψιλὲς σαγίτες της δὲν ἦρθε νὰ μὲ κρούση,
καὶ μήτε ἀρρώστια φοβερὴ καμιὰ δὲ μοῦ εἶχε πέσει,
νὰ μοῦ μαράνη τὸ κορμὶ καὶ πάρη τὴν ψυχή μου·
μόν' ὁ καημός σου κι ἡ ἔννοια σου, μὰ κι ἡ καλή σου ἡ γνώμη
ποὺ σβῆσαν τὴ γλυκειὰ ζωή, πανάκριβε Ὀδυσσέα."
Αὐτά εἶπε, κι ἐγὼ τό 'θελα κι ἀνάδευα στὸ νοῦ μου
νὰ τὴν ἀδράξω τὴν ψυχὴ τῆς πεθαμένης μάνας.
Τρεῖς φορὲς χύθηκα μὲ ὁρμὴ ν' ἀδράξω την ποθώντας,
καὶ τρεῖς φορὲς μὲ ξέφυγε σὰν ὄνειρο, σὰν ἴσκιος·
καὶ μὲς στὰ σπλάχνα μου ἔκανε πιὸ κοφτερὸ τὸν πόνο,
Φώναξα τότες κι εἶπα της μὲ φτερωμένα λόγια·
"Μάνα, γιατὶ δὲ στέκεσαι ποὺ θέλω νὰ σ' ἀδράξω,
νὰ κρατηθοῦμε ἀγκαλιαστὰ μέσα στὸν Ἅδη οἱ δυό μας
νὰ βροῦμε κἂν παρηγοριὰ στὸ κρύο τὸ μοιρολόγι ;
Γιὰ τάχα νά 'σαι φάντασμα ποὺ ἡ θεία ἡ Περσεφόνη,
μοῦ ' στειλε, ἀκόμα πιὸ πικρὰ γιὰ νὰ βαριοστενάζω ;"
Εἶπα, κι ἡ μάνα μου ἡ καλὴ μοῦ ἀπολογήθη ἀμέσως
"Ἀλλοίς, παιδί μου, ποὺ ἄτυχος τόσο δὲ βρέθηκε ἄλλος·
ὄχι, τοῦ Δία δὲ σὲ γελάει ἡ κόρη ἡ Περσεφόνη,
μόν' εἶναι τέτοια τοῦ θνητοῦ σὰν ἀποθάνη ἡ

ἀλλ᾽ αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε τίς μοῖρα·
κε θάνῃσιν·
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες
ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν
μένος αἰθομένοιο
δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ᾽
ὀστέα θυμός,
ψυχὴ δ᾽ ἠύτ᾽ ὄνειρος ἀποπταμένη
πεπότηται.
ἀλλὰ φόωσδε τάχιστα λιλαίεο·
ταῦτα δὲ πάντα
ἴσθ᾽, ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα
γυναικί.᾽
"νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβόμεθ᾽, αἱ
δὲ γυναῖκες
ἤλυθον, ὤτρυνεν γὰρ ἀγαυὴ
Περσεφόνεια,
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ
θύγατρες.
αἱ δ᾽ ἀμφ᾽ αἷμα κελαινὸν ἀολλέες
ἠγερέθοντο,
αὐτὰρ ἐγὼ βούλευον ὅπως ἐρέοιμι
ἑκάστην.
ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη
φαίνετο βουλή·
σπασσάμενος τανύηκες ἄορ παχέος
παρὰ μηροῦ
οὐκ εἴων πίνειν ἅμα πάσας αἷμα
κελαινόν.
αἱ δὲ προμνηστῖναι ἐπήισαν, ἠδὲ
ἑκάστη
ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ᾽
ἐρέεινον ἁπάσας.
"ἔνθ᾽ ἥ τοι πρώτην Τυρὼ ἴδον
εὐπατέρειαν,
ἣ φάτο Σαλμωνῆος ἀμύμονος
ἔκγονος εἶναι,
φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι
Αἰολίδαο·
ἣ ποταμοῦ ἠράσσατ᾽ Ἐνιπῆος
θείοιο,
ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ

τὶ οἱ σάρκες καὶ τὰ κόκκαλα νευρόδετα δὲ
μένουν,
μόν' τ' ἀφανίζει τῆς φωτιᾶς ἡ λυσσασμένη
φλόγα,
ἅμα ἀπὸ τ' ἄσπρα κόκκαλα ἡ πνοή μας φύγη
πρῶτα
κι ἀνοίξη τὰ φτερὰ καὶ πάη σὰν ὄνειρο ἡ
ψυχή μας,
Μὰ τρέξε πάλε πρὸς τὸ φῶς, καὶ μάθε τα ὅλα
τοῦτα
νὰ τὰ δηγέσαι ἀργότερα κι ἐσὺ τῆς
σύγκοιτής σου."
Ἐμεῖς ἔτσι μιλούσαμε καὶ νὰ, ἤρθαν οἱ
γυναῖκες
ποὺ ἡ Περσεφόνη ἡ θεϊκιὰ τὶς εἶχε ἐκεῖ
σταλμένες,
ὅλες μεγάλων σύγκοιτες λεβέντηδων καὶ
κόρες.
Γύρω καθὼς μαζεύουνταν αὐτὲς στὸ μαῦρο
τὸ αἷμα,
πὼς νὰ ρωτήξω καθεμιὰ στὸ νοῦ μου
ἀναγυρνοῦσα.
Κι αὐτὸς ὁ τρόπος πιὸ σωστὸς στὸ λογισμό
μου φάνη·
τραβώντας τὸ μακρὺ σπαθὶ ἀπ' τὸ χοντρὸ
μερί μου,
ὅλες μαζὶ δὲν ἄφηνα τὸ αἷμα νὰ πιοῦν τὸ
μαῦρο.
Κι αὐτὲς ἀράδα ἐρχόντουσαν, καὶ καθεμιὰ
μοῦ ξήγα
τὸ γένος καὶ τὰ φύτρα της καθὼς τὴν
ἐρωτοῦσα.
Καὶ πρώτη ἐκεῖ 'δα τὴν Τυρὼ τὴν
καλογεννημένη,
ποὺ ἔλεγε γόνος τοῦ λαμπροῦ πὼς ἦταν
Σαλμωνέα,
καὶ πὼς τὴν εἶχε ταίρι του τοῦ Αἰόλου ὁ γιὸς
Κρηθέας.
Τὸν Ἐνιπέα ἀγάπησε τὸν ποταμὸ τὸ θεῖο,
ποὺ ἦταν ἀπ' ὅλους πιὸ ὄμορφος τοὺς
ποταμούς τοῦ κόσμου,

γαῖαν ἵησι,
καί ῥ' ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.
τῷ δ' ἄρα εἰσάμενος γαιήοχος ἐννοσίγαιος
ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον,
κυρτωθέν, κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα.
λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
"'χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ' ἔρχευ πρὸς δῶμα, καὶ ἴσχεο μηδ' ὀνομήνῃς·
αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.'
"ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
ἡ δ' ὑποκυσαμένη Πελίην τέκε καὶ Νηλῆα,
τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαωλκῷ
ναῖε πολύρρηνος, ὁ δ' ἄρ' ἐν Πύλῳ ἠμαθόεντι.
τοὺς δ' ἑτέρους Κρηθῆι τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱππιοχάρμην.
"τὴν δὲ μετ' Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,

καὶ στοὺς πανώριους ὄχτους του συνήθαε νὰ πλανιέται,
Μ' ἐκεῖνον μοιάζοντας τῆς γῆς ὁ σαλευτὴς καὶ ζώστης,
σιμά της στοῦ ἀφροκύλιστου τοῦ ποταμοῦ τὸ στόμα
πλάγιασε· κῦμα σκοτεινὸ τοὺς ἔζωσε σὰν ὄρος
γερτό, νὰ κρύψη τὸ θεὸ καὶ τὴ θνητὴ γυναίκα.
Ἐκεῖ ὁ θεὸς τῆς ἔλυσε τῆς παρθενιᾶς τὴ ζώνη,
τὴν κοίμισε, καὶ τοῦ ἔρωτα σὰν τέλεσε τὸ ἔργο,
τὸ χέρι της γλυκόσφιξε, καὶ φώναξέ την κι εἶπε·
"Χαίρου ποὺ ἐγὼ σ' ἀγκάλιασα· κι ἅμα γυρίση ὁ χρόνος,
θά 'χης πανόμορφα παιδιά, τὶ τῶν θεῶν ἡ ἀγάπη
δὲν πάει τοῦ κάκου· νοιάζου τα καὶ μοσκανάθρεφέ τα,
Πήγαινε τώρα σύχαζε, καὶ μὴν τὸ ξεστομίσης·
μὰ ὁ Ποσειδώνας, ξέρε το, ἐγώ 'μαι ὁ κοσμοσείστης."
Αὐτὰ εἶπε, καὶ στὴν θάλασσα βουτάει τὴν κυματοῦσα.
Κι ἐκείνη γέννησε τοὺς δυό, Πελία καὶ Νηλέα,
ποὺ ἥρωες βγήκανε πιστοὶ τοῦ Δία τοῦ μεγάλου·
στὴν Ἰωλκὸ βασίλεψεν ὁ θεόπλουτος Πελίας,
στὴν Πύλο τὴν ἀμμουδερὴ ὁ ἥρωας ὁ Νηλέας,
Κι ἀκόμα ἡ ρήγισσα Τυρὼ γέννησε του Κρηθέα,
τὸν Αἴσονα, τὸν ἁμαξὰ Ἀμυθάονα, τὸ Φέρη.
Εἶδα κατόπι τοῦ Ἀσωποῦ τὴν κόρη, τὴν Ἀντιόπη·

ἦ δὴ καὶ Διὸς εὖχετ᾽ ἐν ἀγκοίνῃσιν ἰαῦσαι,
καί ῥ᾽ ἔτεκεν δύο παῖδ᾽, Ἀμφίονά τε Ζῆθόν τε,
οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
πύργωσάν τ᾽, ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ᾽ ἐδύναντο
ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.
"τὴν δὲ μετ᾽ Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
ἥ ῥ᾽ Ἡρακλῆα θρασυμέμνονα θυμολέοντα
γείνατ᾽ ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς μένος αἰὲν ἀτειρής.
"μητέρα τ᾽ Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,
ἣ μέγα ἔργον ἔρεξεν ἀιδρείῃσι νόοιο
γημαμένη ᾧ υἷϊ· ὁ δ᾽ ὃν πατέρ᾽ ἐξεναρίξας
γῆμεν· ἄφαρ δ᾽ ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.

ἀλλ᾽ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων
Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς·
ἡ δ᾽ ἔβη εἰς Ἀίδαο πυλάρταο κρατεροῖο,
ἁψαμένη βρόχον αἰπὺν ἀφ᾽ ὑψηλοῖο μελάθρου,
ᾧ ἄχεϊ σχομένη· τῷ δ᾽ ἄλγεα κάλλιπ᾽ ὀπίσσω
πολλὰ μάλ᾽, ὅσσα τε μητρὸς Ἐρινύες ἐκτελέουσιν.
"καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε

κι αὐτὴ στοῦ Διὸς τὴν ἀγκαλιὰ καυκιόταν πὼς κοιμήθη,
καὶ δυὸ παιδιὰ γεννήθηκαν, ὁ Ἀμφίονας κι ὁ Ζῆθος·
τὴ Θήβα τὴν ἑφτάπορτη πρωτόχτισαν ἐκεῖνοι,
καὶ τὴν πυργῶσαν, τὶ ἄπυργοι δὲ δύνονταν νὰ ζήσουν
στὴ Θήβα τὴν ἁπλόχωρη, κι ἂς ἦταν ἀντρειωμένοι.
Εἶδα καὶ τοῦ Ἀμφιτρύωνα τὸ ταίρι, τὴν Ἀλκμήνη,
ποὺ ὁ Δίας τὴν ἀγκάλιασε, καὶ γέννησε μαζί του
τὸ λιονταρόψυχο Ἡρακλῆ, τῆς λεβεντιᾶς τὸν πύργο·
καὶ τὴ Μεγάρα, τοῦ τρανοῦ τοῦ Κρέοντα θυγατέρα,
ποὺ τοῦ Ἀμφιτρύωνα τοῦ γιοῦ του ἀδάμαστου ἦταν ταίρι.
Τὴ μάνα εἶδα τοῦ Οἰδίποδα, τὴν ὄμορφη Ἐπικάστη,
ποὺ ἀνήξερη ἔκαμε φριχτὴ παρανομιά, καὶ δέχτη
τὸ γιό της ἄντρα, ποὺ ἔσφαξε τὸν κύρη καὶ τὴν πῆρε,
κι οἱ ἀθάνατοι φανέρωσαν τὴν ἀνομιὰ στὸν κόσμο.

Αὐτὸς στὴ Θήβα τὴ γλυκειὰ βασανισμένος ρήγας
τῶν Καδμιτῶν κυβέρνησε ἀπὸ θεῶν κατάρα·
μὰ ἐκείνη στοῦ Ἅδη τοῦ ἄσπλαχνου κατέβηκε τὰ βάθια·
τὶ στὸν καημό της μὲ θηλειὰ κρεμάστηκε ἀπ' τὴ στέγη
τὴν ἀψηλή, κι ἀμέτρητα τοῦ ἀφῆκε πίσω πάθια,
πάρα πολλά, ὅσα φέρνουνε τῆς μάνας οἱ κατάρες.
Τη Χλώρη εἶδα τὴν ὄμορφη ποὺ ἕναν καιρὸ ὁ Νηλέας
τὴν πῆρε γιὰ τὰ κάλλη της μ' ἀρίφνητά του

μυρία ἕδνα,
ὁπλοτάτην κούρην Ἀμφίονος ᾽Ιασίδαο,
ὅς ποτ᾽ ἐν Ὀρχομενῷ Μινυείῳ ἶφι ἄνασσεν·
ἡ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
Νέστορά τε χρόνιον τε Περικλύμενόν τ᾽ ἀγέρωχον.
τοῖσι δ᾽ ἐπ᾽ ἰφθίμην Πηρὼ τέκε, θαῦμα βροτοῖσι,
τὴν πάντες μνώοντο περικτίται· οὐδ᾽ ἄρα Νηλεὺς
τῷ ἐδίδου ὃς μὴ ἕλικας βόας εὐρυμετώπους

ἐκ Φυλάκης ἐλάσειε βίης ᾽Ιφικληείης
ἀργαλέας· τὰς δ᾽ οἷος ὑπέσχετο μάντις ἀμύμων
ἐξελάαν· χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρα πέδησε,
δεσμοί τ᾽ ἀργαλέοι καὶ βουκόλοι ἀγροιῶται.
ἀλλ᾽ ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο

ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
καὶ τότε δή μιν ἔλυσε βίη ᾽Ιφικληείη,
θέσφατα πάντ᾽ εἰπόντα· Διὸς δ᾽ ἐτελείετο βουλή.

"καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν,
ἥ ῥ᾽ ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε,
Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες
ἄλλοτε μὲν ζώουσ᾽ ἑτερήμεροι, ἄλλοτε δ᾽ αὖτε

δῶρα,
κόρη στερνὴ τοῦ Ἀμφίονα, τοῦ γιοῦ τοῦ ᾽Ιάσου, πού ἦταν
τοῦ Ὀρχομενοῦ τῶν Μινυῶν ρήγας· κι αὐτὴ στὴν Πύλο

βασίλευε, καὶ γέννησε λαμπρὰ παιδιά, τὸ Χρόμιο,
τὸν ἄξιο Περικλύμενο, τὸ Νέστορα, καὶ κόρη
τὴν λεβεντόκαρδη Πηρώ, τοῦ κόσμου τὸ καμάρι,
ποὺ νύφη τὴ ζητούσανε παντοῦθε, μὰ ὁ Νηλέας
μόνε ἐκεινοῦ τὴν ἔδινε ποὺ θά 'φερνε στὴν Πύλο

τοῦ ᾽Ιφίκλου τὰ λοξόποδα καὶ κουτελάτα βόδια
ἀπ' τὴ Φυλάκη, τ' ἀγριωπά· καὶ θεῖος μάντης τότες
νὰ τοῦ τὰ φέρη βάλθηκε, μὰ ὀργὴ θεοῦ τοῦ πέφτει,
καὶ μὲ δεσμὰ τὸν ἔζωσαν βοδοβοσκοὶ στοὺς κάμπους.
Μὰ οἱ μῆνες σάνε διάβηκαν κι οἱ μέρες σὰν τελειῶσαν,
κι ἔκλεινε ὁ χρόνος, κι ἔσωναν τὸν κύκλο τους οἱ ὧρες,
τότε ὁ ἀντρεῖος ὁ ῎Ιφικλος ξεδέσμεψε τὸ μάντη,
τὴ μοῖρα σὰν προφήτεψε, κατὰ τοῦ Δία τὸ θέλει.

Τη Λήδα ἀγναντεψα ὕστερα, τὸ ταίρι τοῦ Τυνδάρου,
ποὺ γέννησε δυὸ ἀντρόψυχα παιδιά, τὸν Κάστορα ἕναν
τὸν ἀλογάρη, κι ἄλλονε τὸ μέγα Πολυδεύκη,
τὸ γροθομάχο· ζωντανοὺς ἡ γῆς ἡ ψυχοδότρα
τοὺς ἔχει, καὶ τοὺς τίμησε στὸν κάτω κόσμο ὁ Δίας·
μιὰ μέρα ζωντανεύουνε, καὶ μιά 'ναι πεθαμένοι,
καθένας μὲ τὴ μέρα του, καὶ σὰν θεοὶ

τεθνᾶσιν· τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.
τιμιοῦνται.

"τὴν δὲ μετ᾽ Ἰφιμέδειαν, Ἀλωῆος παράκοιτιν
εἴσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι,
καί ῥ᾽ ἔτεκεν δύο παῖδε, μινυνθαδίω δ᾽ ἐγενέσθην,
Ὦτόν τ᾽ ἀντίθεον τηλεκλειτόν τ᾽ Ἐφιάλτην,
οὓς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα
καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρίωνα·
ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν
εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.
οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ
φυλόπιδα στήσειν πολυάικος πολέμοιο.
Ὄσσαν ἐπ᾽ Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ᾽ Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἀμβατὸς εἴη.
καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·
ἀλλ᾽ ὄλεσεν Διὸς υἱός, ὃν ἠύκομος τέκε Λητώ,
ἀμφοτέρω, πρίν σφωιν ὑπὸ κροτάφοισιν ἰούλους
ἀνθῆσαι πυκάσαι τε γένυς ἐυανθέι λάχνῃ.
Καὶ εἶδα τὴν Ἰφιμέδεια, γυναίκα τοῦ Ἀλωέα,
ποὺ ἔλεγε πὼς μὲ τὸ θεὸ κοιμήθη Ποσειδώνα,
καὶ δυὸ τοῦ γέννησε παιδιά, μὰ ζωὴ πολλὴ δὲν εἶχαν·
τὸν Ὦτο τὸν ἰσόθεο, καὶ τὸ λαμπρὸ Ἐφιάλτη,
ποὺ ἀπ' ὅσους ἡ γῆς ἔθρεψε πιὸ ἀψηλόκορμοί 'ταν,
καὶ ποὺ μονάχα ὁ Ὠρίωνας στὰ κάλλη τοὺς περνοῦσε·
ἐννιὰ χρονῶν ἦταν παιδιά, κι ἐννιὰ εἶχαν πῆχες πλάτος,
κι ἀνέβαινε τὸ μπόγι τους ὀργυιὲς ἐννιὰ τοῦ ὕψου·
καὶ τοὺς ἀθανάτους αὐτοὶ φοβέριξαν πὼς θά 'ρθουν
νὰ φέρουνε στὸν Ὄλυμπο πολέμου ἀχὸ κι ἀντάρα.
Τὴν Ὄσσα πὰς στὸν Ὄλυμπο πασκίζανε νὰ στήσουν,
τὸ Πήλιο μὲ τ' ἀν^μιστὰ κλωνιὰ στὴν Ὄσσα ἀπάνω,
ν' ἀνέβουνε τὸν οὐρανό. Κι ἂ ζούσανε νὰ φτάσουν
στὰ χρόνια τῆς παλληκαριᾶς, θὰ κάναν τὸ σκοπό τους·
μὰ ὁ γιὸς τοῦ Δία καὶ τῆς Λητῶς τῆς ὀμορφομαλλούσας
τοὺς χάλασε πρὶ βγάλουνε σγουρὰ στὰ μάγουλά τους,
καὶ πρὶν τὸ χνούδι τ' ἀνθερὸ τοὺς σκιώση τὸ πηγούνι.

"Φαίδρην τε Πρόκριν τε ἴδον καλήν τ᾽ Ἀριάδνην,
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνάων ἱεράων
ἦγε μέν, οὐδ᾽ ἀπόνητο· πάρος δέ μιν
Τὴ Φαίδρα εἶδα, τὴν Πρόκριδα, τὴν ὄμορφη Ἀριάδνη,
κόρη τοῦ Μίνωα τοῦ φριχτοῦ, ποὺ ἕναν καιρὸ ὁ Θησέας
ἀπὸ τὴν Κρήτη στὴν ἱερὴ τὴν πῆρε Ἀθήνα, δίχως
νὰ τὴ χαρῆ· τὶ ἡ Ἄρτεμη τὴ σκότωσε στῆς

Ἄρτεμις ἔκτα
Δίῃ ἐν ἀμφιρύτῃ Διονύσου
μαρτυρίῃσιν.
"Μαῖράν τε Κλυμένην τε ἴδον
στυγερήν τ' Ἐριφύλην,
ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο
τιμήεντα.
πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι
οὐδ' ὀνομήνω,
ὅσσας ἡρώων ἀλόχους ἴδον ἠδὲ
θύγατρας·
πρὶν γάρ κεν καὶ νὺξ φθῖτ'
ἄμβροτος. ἀλλὰ καὶ ὥρη
εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς
ἑταίρους
ἢ αὐτοῦ· πομπὴ δὲ θεοῖς ὑμῖν τε
μελήσει."
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν
ἐγένοντο σιωπῇ,
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα
σκιόεντα.
τοῖσιν δ' Ἀρήτη λευκώλενος ἦρχετο
μύθων.
"Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε
φαίνεται εἶναι
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον
ἐίσας;
ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ'
ἔμμορε τιμῆς·
τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε,
μηδὲ τὰ δῶρα
οὕτω χρηίζοντι κολούετε· πολλὰ
γὰρ ὑμῖν
κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι
κέονται."
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως
Ἐχένηος,
ὃς δὴ Φαιήκων ἀνδρῶν
προγενέστερος ἦεν·
"ὦ φίλοι, οὐ μὰν ἧμιν ἀπὸ σκοποῦ
οὐδ' ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ
πίθεσθε.

Δίας
τ' ἀκρόγιαλα, τὴ μαρτυριὰ τοῦ Διόνυσου
ἀγρικώντας.
Τὴ Μαίρα, τὴν Κλυμένη ἐκεῖ, καὶ τὴ φριχτὴ
Ἐριφύλη,
ποὺ πρόδωσε τὸν ἄντρα της γι' ἀτίμητο
χρυσάφι,
εἰδα κατόπι στὴ σειρά. Μὰ ποιὰ νὰ
ὀνοματίσω
ἀπ' ὅσες εἶδα σύγκοιτες καὶ κόρες τῶν
ἡρώων·
ἡ νύχτα ὅλη δὲ θά 'σωνε· κι εἶναι ὥρα νὰ
πλαγιάσω,
ἢ μὲ τοὺς φίλους στὸ γοργὸ καράβι, ἢ ἐδῶ
πέρα·
κι οἱ θεοὶ κι ἐσεῖς πιὰ νοιάζεστε γιὰ τὸ
προβόδωμά μου."
Αὐτὰ εἶπε, κι ὅλοι σύχαζαν καὶ σώπαιναν
τριγύρω,
δεμένοι ἀπὸ τὸ μάγιο του μὲς στο ἰσκερὸ
παλάτι.
Τότες τὸ λόγο ἀρχίνησε ἡ Ἀρήτη ἡ
λευκοχέρα·
"Φαίακες, πῶς σᾶς φαίνεται τοῦ ἀνθρώπου,
ἀλήθεια, ἐτούτου
ἡ χάρη κι ἡ κορμοστασιά, κι ὁ ἴσιος νοῦς του
μέσα ;
Δικός μου ὁ ξένος, μὰ κι ἐσᾶς τούτη ἡ τιμὴ
στολίζει.
Νὰ φύγη μὴν τὸν βιάζετε, καὶ μὴν τοῦ
λυπηθῆτε
τὰ δῶρα ποὺ ἔχει ἀνάγκη αὐτὸς μεγάλη·
γιατὶ κι ἄλλα
βρίκονται στὰ παλάτια σας, χάρη στοὺς
θεούς, περίσσια."
Σὲ τοῦτα ὁ γέρος ἥρωας ὁ Ἐχένηος εἶπε
τότες,
αὐτὸς ποὺ μὲς στοὺς Φαίακες στὰ χρόνια
ἦταν ὁ πρῶτος·
"Ὦφίλοι μου, ὅσα ἡ φρόνιμη βασίλισσα μᾶς
εἶπε
ἀκοῦτε τα· στὴ γνώμη μας ἐνάντια αὐτὰ δὲν
εἶναι.

Ἀλκινόου δ᾽ ἐκ τοῦδ᾽ ἔχεται ἔργον τε ἔπος τε."
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
"τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε
ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
ξεῖνος δὲ τλήτω μάλα περ νόστοιο χατίζων
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
δωτίνην τελέσω· πομπὴ δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ δήμῳ."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ᾽ αὐτόθι μίμνειν,
πομπὴν δ᾽ ὀτρύνοιτε καὶ ἀγλαὰ δῶρα διδοῖτε,
καὶ κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ᾽ ἱκέσθαι·
καί κ᾽ αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
πᾶσιν, ὅσοι μ᾽ ᾽Ιθάκηνδε ἰδοίατο νοστήσαντα."
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
"ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ᾽ εἰσκομεν εἰσορόωντες,
ἠπεροπῆά τ᾽ ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους,
ψεύδεά τ᾽ ἀρτύνοντας ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
σοὶ δ᾽ ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ

Ἀπ' τὸν Ἀλκίνο κρέμεται πράξη καὶ λόγος τώρα."
Κι ὁ Ἀλκίνος τότε ὁ βασιλιὰς τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Θὰ γίνη ὁ λόγος σου ὅσο ζῶ ἐγὼ καὶ βασιλεύω
στὴ χώρα τῶν Φαιάκωνε ποὺ τὰ κουπιὰ ἀγαπᾶνε.
Μὰ ἂς κάνη ὁ ξένος πομονή, ὅσο ἂν ποθῆ πατρίδα,
ὡς αὔριο, ποὺ τὰ δῶρα του θὰ τά 'χω συναγμένα,
κι ὅσο γιὰ τὸ προβόδωμα, θὰ τὸ νοιαστοῦνε οἱ ἄντρες
ὅλοι, κι ἐγὼ μαζὶ ποὺ ἐδῶ τὸν τόπο ἐξουσιάζω."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τοῦ ἀπολογήθη κι εἶπε·
"Ἀλκίνο, ἀφέντη δοξαστέ, καὶ τῶ λαῶν καμάρι,
καὶ χρόνο ἀνίσως γύρευες ἐδῶ νὰ μείνω ἀκόμα,
καὶ πλούσια δῶρα ἂν δίνοντας μὲ στέλνατε κατόπι
ἄλλο κι ἐγὼ δὲ θά 'θελα, τὶ γιὰ καλό μου θά 'ταν
νὰ φτάσω στὴν πατρίδα μου μὲ πιὸ γεμάτα χέρια·
πιὸ σεβαστὸς κι ἀγαπητὸς ἀλήθεια θὰ γινόμουν
σ' ἐκείνους ποὺ θὰ μ' ἔβλεπαν στὸ Θιάκι νὰ γυρίζω."
Κι ὁ Ἀλκίνος πάλι γύρισε καὶ μίλησέ του κι εἶπε·
"Στὰ μάτια μας δὲ φαίνεσαι πλάνος ἐσύ, Ὀδυσσέα,
καὶ δολοπλόκος σὰν πολλούς ποὺ ἡ γῆς ἡ μαύρη θρέφει,
σκόρπιους παντοῦ, ποὺ ψέματα πλάθουν, καὶ δὲν τὰ νιώθεις.
Ἐσένα ὁ λόγος σου ὅμορφος καὶ ξάστερος ὁ νοῦς σου,
καὶ σὰν τραγουδιστὴς ἐσὺ δηγήθηκες μὲ

φρένες ἐσθλαί.
μῦθον δ᾽ ὡς ὅτ᾽ ἀοιδὸς ἐπισταμένως κατέλεξας,
πάντων τ᾽ Ἀργείων σέο τ᾽ αὐτοῦ κήδεα λυγρά.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ᾽ αὐτῷ
Ἴλιον εἰς ἅμ᾽ ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
νὺξ δ᾽ ἥδε μάλα μακρή, ἀθέσφατος· οὐδέ πω ὥρη
εὕδειν ἐν μεγάρῳ, σὺ δέ μοι λέγε θέσκελα ἔργα.
καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου·
εἰ δ᾽ ἔτ᾽ ἀκουέμεναί γε λιλαίεαι, οὐκ ἂν ἐγώ γε
τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ᾽ ἄλλ᾽ ἀγορεύειν,
κήδε᾽ ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο,
οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀυτήν,
ἐν νόστῳ δ᾽ ἀπόλοντο κακῆς ἰότητι γυναικός.
"αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ᾽ ἄλλυδις ἄλλῃ
ἁγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
ἦλθε δ᾽ ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
ἀχνυμένη· περὶ δ᾽ ἄλλαι ἀγηγέραθ᾽, ὅσσοι ἅμ᾽ αὐτῷ

τέχνη
τῶν Ἀργιτῶν τὰ βάσανα μαζὶ μὲ τὰ δικά σου.

Μὰ πές μου τώρα ἀληθινὰ καὶ ξήγησέ μου ἐτοῦτο·
ἀπ' τοὺς ἰσόθεους φίλους σου ποιούς εἶδες ποὺ ἦρθαν τότες
μαζί σου στὸ Ἴλιο κι ὕστερα τοὺς πῆρε ὁ μαῦρος Χάρος ;
Ἡ νύχτα τώρα ἀτέλειωτη, δὲν ἦρθε ἡ ὥρα τοῦ ὕπνου
ἀκόμα, μόν' δηγήσου μας τὰ θαμαστά σου τὰ ἔργα.
Ὡς τὰ γλυκοχαράματα θὰ στέκομουν ν' ἀκούσω,
ἂν ἔστεργες τὰ πάθια σου νὰ πῆς μὲς στὸ παλάτι."

Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τοῦ ἀπολογήθη κι εἶπε·
"Ἀλκίνο, βασιλιὰ τρανὲ καὶ τῶ λαῶν καμάρι,
στὴν ὥρα της κι ἡ συντυχιά, στὴν ὥρα του κι ὁ ὕπνος·
μὰ κι ἄλλα ἂν ἔχης ὄρεξη ν' ἀκούσης, δὲ σοῦ ἀρνιοῦμαι
νὰ δηγηθῶ τὰ πιὸ φριχτὰ παθήματα τῶν φίλων
ποὺ ἀργότερα χαθήκανε ξεφύγανε τὸ Χάρο
στοὺς ἄγριους τῶν Τρωαδιτῶν πολέμους, μὰ κατόπι
στὸ γυρισμὸ τοὺς ἔσβησε ἡ βουλὴ κακῆς γυναίκας.
Ἐδῶ κι ἐκεῖ ἅμα σκόρπισε ἡ σεβάσμια Περσεφόνη
τῶ γυναικῶνε τὶς ψυχές, μοῦ ζύγωσεν ἀγνάντια
καὶ στάθη τοῦ Ἀγαμέμνονα ἡ ψυχή, τοῦ γιοῦ τοῦ Ἀτρέα,
βαριοθλιμμένη· γύρω του κι οἱ ἄλλοι ὅσοι μαζί του

οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
ἔγνω δ᾽ αἶψ᾽ ἔμ᾽ ἐκεῖνος, ἐπεὶ πίεν αἶμα κελαινόν·
κλαῖε δ᾽ ὅ γε λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων,
πιτνὰς εἰς ἐμὲ χεῖρας, ὀρέξασθαι μενεαίνων·
ἀλλ᾽ οὐ γάρ οἱ ἔτ᾽ ἦν ἴς ἔμπεδος οὐδέ τι κῖκυς,
οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι.
"τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
᾽Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
ἦε σέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν;
ἦέ σ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου
βοῦς περιταμνόμενον ἠδ᾽ οἰῶν πώεα καλά,
ἠὲ περὶ πτόλιος μαχεούμενον ἠδὲ γυναικῶν;
"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὔτ᾽ ἐμέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν,
οὔτε μ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ, οἳκόνδε

βρήκανε τέλος θλιβερὸ στοῦ Αἰγίστου τὸ παλάτι.

Κι αὐτὸς μεμιὰς μὲ γνώρισε τὸ μαῦρο αἷμα σὰν ἤπιε,
κι ἔχυνε βρύση δάκρυα, κι ἁψὰ μοιρολογοῦσε,
τὰ δυό του χέρια ἁπλώνοντας, μὲ πόθο νὰ μὲ φτάση·
μὰ νεῦρο πιὰ καὶ μπόρεση καμιὰ δὲν εἶχε τώρα,
σὰν ποὺ εἶχε ἐκεῖνος μιὰ φορὰ στὰ λυγερά του μέλη.

Τὸν εἶδα ἐγώ, καὶ δάκρυσα, καὶ πόνεσε ἡ καρδιά μου,
καὶ φώναξά του, κι εἶπα του μὲ φτερωμένα λόγια·
"Τοῦ Ἀτρέα γιὲ Ἀγαμέμνονα, καὶ δοξασμένε ρήγα,
ποιά μοῖρα τοῦ τεντόκορμου σὲ βάρεσε θανάτου ;
Τάχα στὰ πλοῖα σὲ ρήμαξε ὁ θεὸς ὁ Ποσειδώνας,
κακὴ φουρτούνα στέλνοντας μ' ἀνάποδους ἀνέμους ;
ἢ στὴ στεριὰ σὲ χάλασαν ὀχτροὶ σάνε ζητοῦσες
βόδια νὰ σύρης καὶ καλὸ μαλλὶ νὰ κόψης πρόβειο,
ἢ χώρα σὰν πολέμαγες νὰ πάρης μὲ τὶς σκλάβες ;"

Εἶπα· κι ἀμέσως γύρισε κι ἀπολογήθη ἐκεῖνος·

"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
μήτε στὰ πλοῖα μὲ ρήμαξε ὁ θεὸς ὁ Ποσειδώνας,
κακὴ φουρτούνα στέλνοντας μ' ἀνάποδους ἀνέμους,
μήτε στὴ γῆς μὲ χάλασαν ὀχτροί, παρὰ τή μοῖρα
τοῦ Χάρου μοῦ 'φερε ὁ Αἴγιστος μὲ τὴν καταραμένη
γυναίκα μου, καὶ μ' ἔκαψε· μὲ κάλεσε σὲ δεῖπνο,

καλέσσας,
δειπνίσσας, ὡς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
ὣς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ᾽ ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο σύες ὡς ἀργιόδοντες,
οἵ ῥά τ᾽ ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμῳ ἢ ἐράνῳ ἢ εἰλαπίνῃ τεθαλυίῃ.
ἤδη μὲν πολέων φόνῳ ἀνδρῶν ἀντεβόλησας,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῷ,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ᾽ ἐνὶ μεγάρῳ, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
οἰκτροτάτην δ᾽ ἤκουσα ὄπα Πριάμοιο θυγατρός,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
ἀμφ᾽ ἐμοί, αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων
βάλλον ἀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
νοσφίσατ᾽, οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀίδαο
χερσὶ κατ᾽ ὀφθαλμοὺς ἐλέειν σύν τε στόμ᾽ ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,
ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
κουριδίῳ τεύξασα πόσει φόνον. ἦ τοι φόνισσα καὶ θαρροῦσα ἐγὼ ποὺ μιὰς ἐκεῖ
ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν

καὶ μ' ἔσφαξε ὅπως σφάζουνε μὲς στὸ παχνὶ τὸ βόδι.
Σὲ τέτοιο τέλος μ' ἔφερε φριχτό, κι ὁλόγυρά μου
σφαζόνταν κι οἱ συντρόφοι μου σὰν κάπροι ἀσπροδοντάτοι,
σὲ ἀνθρώπου πλούσιου καὶ τρανοῦ, ποὺ σφάζουνται γιὰ γάμο,
ἢ γιὰ φαγὶ συντροφικό, ἢ ἀρχοντικὸ τραπέζι.
Εἶδες στὸν κόσμο ἀρίθμητοι νεκροὶ νὰ πέφτουν ἄντρες
μονομαχώντας ἢ σμιχτὰ στῆς μάχης τὴν ἀντάρα·
μὰ θὰ θλιβόσουν πιὸ πικρὰ νὰ τά 'βλεπες ἐκεῖνα,
στὸν πύργο σὰν κοιτόμασταν τριγύρω στὸ κροντήρι,
καὶ στὰ τραπέζια τὰ λαμπρά, μὲ λίμνη τὸ αἷμα χάμου,
Καὶ τῆς Κασσάντρας τὴ φωνή, τῆς κόρης τοῦ Πριάμου,
φριχτὴ ἄκουσα· τὴ σκότωνε ἡ πλανεύτρα ἡ Κλυταιμνήστρα
κοντά μου· κι ἐγὼ σήκωσα τὰ χέρια, ξεψυχώντας
μὲ τὸ σπαθὶ στὰ σπλάχνα μου, κι ἔπεσα πάλε χάμου.
Καὶ μ' ἄφησε ἡ ξαδιάντροπη στὸν Ἅδη νὰ πάω, δίχως
νὰ πιάση κὰν τὰ μάτια μου, τὸ στόμα μου νὰ κλείση.
Ἄλλο φριχτότερο καὶ πιὸ σιχαμερὸ δὲν εἶναι
ἀπὸ γυναίκα ποὺ ἔργατα κακὰ στὸ νοῦ της βάζει·
τέτοια κι αὐτὴ σοφίστηκε, καὶ γένηκε τοῦ ἀντρός της
γυρίσω,
θὰ μὲ δεχτοῦν χαρούμενα καὶ τὰ παιδιὰ κι οἱ δοῦλοι·

οἴκαδ᾽ ἐλεύσεσθαι· ἡ δ᾽ ἔξοχα λυγρὰ ἰδυῖα
οἳ τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ ἐυεργὸς ἔῃσιν.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽ὦ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλὰς
ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ᾽ εἵνεκα πολλοί,
σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ᾽ ἐόντι.᾽
"ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
᾽τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
μή οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ᾽ ἐὺ εἰδῇς,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
ἀλλ᾽ οὐ σοί γ᾽, Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε
κούρη᾽ Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῷ
νήπιος, ὅς που νῦν γε μετ᾽ ἀνδρῶν ἴζει ἀριθμῷ,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
ἡ δ᾽ ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με μὰ αὐτὴ ἡ σοφὴ στὶς πονηριές, ντροπιάστηκε κι ἀτή της
κι ὅλες τὶς ἄλλες ντρόπιασε γυναῖκες, ὡς ἀκόμα
κι ὅσες καλόγνωμες στὴ γῆς κατόπι θὰ φανοῦνε."

Καὶ τότες ἐγὼ γύρισα καὶ τοῦ εἶπα· "Ἀλλοίς, καὶ πόσο
σκληρὰ ὁ Δίας ὁ βροντηχτὴς κατάτρεξε ἀπαρχῆθες
τοῦ Ἀτρέα τὸ γόνο, κι ἀφορμὴ τὸ θέλημα γυναίκας·
γιὰ τὴν Ἑλένη μύριοι μας χαθήκαμε, κι ἐσένα
παγίδες, ποὺ ἔλειπες μακριά, σοῦ ἔστηνε ἡ Κλυταιμνήστρα."

Εἶπα, κι ἐκεῖνος γύρισε κι εὐτὺς μοῦ ἀπολογήθη·
"Λοιπόν, ποτές σου μαλακὸς μὴν εἶσαι στὴ γυναίκα·
κι ὅλα ποὺ ξέρεις μὴν τῆς λὲς, παρὰ μονάχα μέρος,
καὶ τ' ἄλλα κράτα της κρυφά. Μὰ ὡς τόσο ἐσύ, Ὀδυσσέα,
ἀπ' τὴ γυναίκα σου κακὸ νὰ πάθης μὴ φοβᾶσαι·
γιατ' εἶναι ἐκείνη γνωστικιά, κι ἔχει μεγάλες χάρες,
ἡ Πηνελόπη ἡ φρόνιμη, τοῦ Ἰκάριου ἡ θυγατέρα.
Νιόνυφη, ἀλήθεια, τότε ἐμεῖς τὴν εἴχαμε ἀφησμένη,
ποὺ βγήκαμε στὸν πόλεμο, κι εἶχε μωρὸ στὴ ρώγα.
Τώρα κι αὐτὸς θὰ κάθεται μαζὶ μὲ τοὺς μεγάλους·
καλότυχος, ποὺ σὰν ἐρθῆ θὰ τόνε δῆ ὁ γονιός του,
κι αὐτὸς θὰ σφίξη τὸ γονιὸ θερμὰ στὴν ἀγκαλιά του.
Ἐμένα ὡς καὶ τὸ γιόκα μου δὲν ἄφησε ἡ δική μου
νὰ τὸν χαροῦν τὰ μάτια μου, μόν' ἔσβησέ με

πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
ἦ που ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ ἠμαθόεντι,
ἦ που πὰρ Μενελάῳ ἐνὶ Σπάρτῃ εὐρείῃ·
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.'
"ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
ζώει ὅ γ' ἦ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.'
"νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
ἔσταμεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες·
ἦλθε δ' ἐπὶ ψυχὴ Πηληϊάδεω Ἀχιλῆος
καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
" 'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;

πρῶτα.
Ἄλλο ἐγὼ τώρα θὰ σοῦ πῶ, καὶ κράτα το στὸ νοῦ σου·
κρυφά, κι ὄχι ὁλοφάνερα στὴ φίλη σου πατρίδα
ν' ἀράξῃς, γιατὶ χάθηκε πιὰ ἡ πίστη ἀπ' τὶς γυναῖκες.
Μὰ τώρα πές μου ξάστερα καὶ ξήγα μου κι ἐτοῦτο·
ἂν τάχα ἀκοῦτε ζωντανὸς πὼς εἶναι ἀκόμη ὁ γιός μου,
ἢ στὸν Ὀρχομενό, ἢ μπορεῖ στὴν ἀμμουδάτη Πύλο,
ἢ καὶ στὴ Σπάρτη τὴν πλατειά, κοντὰ στοῦ Μενελάου,
τὶ ἀκόμα δὲν τὸν εἶδε ἡ γῆς νεκρὸ τὸν ὥριο Ὀρέστη."
Αὐτὰ εἶπε· κι ἐγὼ γύρισα κι ἀπολογήθηκά του·
"Τοῦ Ἀτρέα γιέ, τί μὲ ρωτᾶς ; δὲν ξέρω ἂ ζῇ ὁ Ὀρέστης,
ἢ ἂν πέθανε, κι εἶναι κακὸ τ' ἀνώφελα νὰ λέμε."

Μὲ τέτοια λόγια θλιβερὰ μιλούσαμ' ὁ ἕνας τοῦ ἄλλου,
βαριόκαρδοι, καὶ χύναμε τὰ δάκρυα ποτάμι.
Καὶ τότε πρόβαλε ἡ ψυχὴ τοῦ Ἀχιλλέα μπροστά μου,
κι ὁ Πάτροκλος κι ὁ δοξαστὸς Ἀρχίλοχος μαζί του,
κι ὁ Αἴαντας, ποὺ στὸ κορμὶ ἦταν πρῶτος καὶ στὴν ὄψη
ἀπὸ τοὺς ἄλλους Δαναούς, ἐξὸν τὸν Ἀχιλλέα.
Καὶ τοῦ γοργόποδου ἡ ψυχὴ γιοῦ τοῦ Πηλέα ποὺ μ' εἶδε,
μὲ γνώρισε, καὶ κλαίγοντας αὐτὰ τὰ λόγια μοῦ εἶπε·

"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
τί κάμωμα πιὸ φοβερὸ θὰ σοφιστῆς ἀκόμα ;

πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;"
"ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'ὦ Ἀχιλεῦ Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴ τινα βουλὴν
εἴποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην·
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά.
σεῖο δ', Ἀχιλλεῦ,
οὔ τις ἀνὴρ προπάροιθε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω.
πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεοῖσιν
Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν
ἐνθάδ' ἐών· τῷ μή τι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.'

"ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
'μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
ἢ ἔπετ' ἐς πόλεμον πρόμος ἔμμεναι, ἦε καὶ οὐκί.
εἰπὲ δέ μοι Πηλῆος ἀμύμονος, εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ

Πῶς κότησες νὰ κατεβῇς στὸν Ἅδη ποὺ φωλιάζουν
κούφιοι νεκροὶ φαντάσματα θνητῶν ἀποσταμένων ;"
Αὐτὰ εἶπε, κι ἐγὼ γύρισα κι ἀπολογήθηκά του·
"Ὤπρῶτε μὲς στοὺς Ἀχαιούς, γιὲ τοῦ Πηλέα, Ἀχιλλέα,
τὸν Τειρεσία ἦρθα νὰ βρῶ, τὴ γνώμη του ν' ἀκούσω,
πῶς πίσω στὸ πετρόσπαρτο τὸ Θιάκι θὰ γυρίσω·
τὶ ἀκόμα γῆς Ἀχαϊκὴ δὲ σίμωσα, καὶ μήτε
χῶμα πατρίδας πάτησα, μόνε ὅλο τυραννιέμαι,
Μὰ σὰν κι ἐσὲ μακαριστός, ὦ Ἀχιλλέα, δὲ βγῆκε
στὰ περασμένα ἄλλος κανείς, μήτε θὰ βγῇ κατόπι·
γιατὶ σὰ θεὸ καὶ ζωντανὸ οἱ Ἀργῖτες σὲ τιμοῦσαν,
καὶ τώρα μέγας καὶ τρανὸς στοὺς πεθαμένους εἶσαι·
γιὰ δαῦτο πὼς ἀπέθανες μὴ θλίβεσαι, Ἀχιλλέα."
Κι αὐτὸς μοῦ ἀπολογήθηκε· "Περίλαμπρε Ὀδυσσέα,
τὸ θάνατο μὴ μοῦ ζητᾶς μὲ λόγια νὰ γλυκάνης.
Κάλλιο στὴ γῆς νὰ βρίσκομουν, κι ἂς δούλευα σὲ ἀνθρώπου
μικροῦ, μὲ δίχως βιὸς πολύ, παρὰ στὸν Ἅδη νὰ εἶμαι,
καὶ βασιλέας νὰ λέγουμαι τῶν πεθαμένων ὅλων.
Ὡς τόσο γιὰ τὸν ἄξιο μου τὸ γιὸ δυὸ λόγια πές μου,
ἂ βγῆκε αὐτὸς στὸν πόλεμο πρῶτος γιὰ νά 'ναι, ἢ ὄχι.
Καὶ δῶσ' μου τοῦ ἀψεγάδιαστου Πηλέα μαντάτα, ἂν ἔχης·
ἀκόμα τάχα τὸν τιμάει ὁ λαὸς τῶ

Μυρμιδόνεσσιν,
ἦ μιν ἀτιμάζουσιν ἀν᾽ Ἑλλάδα τε Φθίην τε,
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ᾽ αὐγὰς ἠελίοιο,
τοῖος ἐών, οἷός ποτ᾽ ἐνὶ Τροίῃ εὐρείῃ
πέφνον λαὸν ἄριστον, ἀμύνων Ἀργείοισιν·
εἰ τοιόσδ᾽ ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ·
τῷ κέ τεῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
οἳ κεῖνον βιόωνται ἐέργουσίν τ᾽ ἀπὸ τιμῆς.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
᾽ἦ τοι μὲν Πηλῆος ἀμύμονος οὔ τι πέπυσμαι,
αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
πᾶσαν ἀληθείην μυθήσομαι, ὡς με κελεύεις·
αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἐίσης
ἤγαγον ἐκ Σκύρου μετ᾽ ἐυκνήμιδας Ἀχαιούς.
ἦ τοι ὅτ᾽ ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλάς,
αἰεὶ πρῶτος ἔβαζε καὶ οὐχ ἡμάρτανε μύθων·
Νέστωρ ἀντίθεος καὶ ἐγὼ νικάσκομεν οἴω.
αὐτὰρ ὅτ᾽ ἐν πεδίῳ Τρώων μαρναίμεθα χαλκῷ,
οὔ ποτ᾽ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν οὐδ᾽ ἐν ὁμίλῳ,
ἀλλὰ πολὺ προθέεσκε τὸ ὃν μένος οὐδενὶ εἴκων,
πολλοὺς δ᾽ ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δηιοτῆτι.

Μυρμιδόνων,
ἦ καταφρόνια γίνηκε τῆς Φτίας καὶ τῆς Ἑλλάδας,
τώρα ποὺ χεροπόδαρα τὰ γερατειὰ τὸν πιάσαν.
Τὶ πιὰ δὲν τοῦ εἶμαι ἐγὼ βοηθὸς μέσα στὸ φῶς τοῦ ἥλιου,
τέτοιος σὰν ποὺ ἤμουν μιὰ φορὰ στὴ διάπλατη Τρωάδα,
ποὺ ἔκοβα πλῆθος λεβεντιὰ βοηθώντας τοὺς Ἀργῖτες.
Τέτοιος γιὰ λίγο ἂν πήγαινα στοῦ κύρη τὸ παλάτι,
τρομάρα θὰ τοὺς ἔδιναν τὰ ἡρωϊκά μου χέρια,
τοὺς ὅσους τὸν ὀχτρεύουνται καὶ τὶς τιμές του ἁρπᾶνε."
Αὐτά εἶπε, κι ἐγὼ γύρισα κι ἀπολογήθηκά του·
"Μαντάτα τοῦ ἀψεγάδιαστου Πηλέα δὲν κατέχω·
ὅμως γιὰ τὸ Νεοπτόλεμο, τὸ γιὸ τὸν ἀκριβό σου,
ὅλη, καθὼς μοῦ γύρεψες, θὰ μάθης τὴν ἀλήθεια.
Ἴδιος μου ἐγὼ μὲ τὸ γερτὸ τὸν ἔφερα καράβι,
ἀπὸ τὴ Σκῦρο στοὺς Ἀχαιοὺς τοὺς καλοποδεμένους.
Καὶ σύναξη σὰν εἴχαμε στῆς Τροίας τὴ χώρα ἀντίκρυ,
πάντα μιλοῦσε πρῶτα αὐτός, κι ἀστόχαστα δὲ λάλει·
μόνε ὁ ἰσόθεος Νέστορας κι ἐγὼ περνούσαμέ τον.
Καὶ πόλεμο σὰ βγαίναμε στὸν κάμπο τῆς Τρωάδας,
μὲ τὸ σωρὸ δὲν ἔμνησκε καὶ μὲ τ' ἀσκέρι ἐκεῖνος,
μόν' ἔτρεχε, καὶ στὴν ἀντρειὰ δὲν ἄφηνε ἄλλον πρῶτο·
πολλοὺς λεβέντες χάλναγε στὴ φοβερὴ τὴ μάχη.

πάντας δ᾽ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
ὅσσον λαὸν ἔπεφνεν ἀμύνων Ἀργείοισιν,
ἀλλ᾽ οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ,
ἥρω᾽ Εὐρύπυλον, πολλοὶ δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
Κήτειοι κτείνοντο γυναίων εἵνεκα δώρων.
κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον.
αὐτὰρ ὅτ᾽ εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ᾽ Ἐπειός,
Ἀργείων οἱ ἄριστοι, ἐμοὶ δ᾽ ἐπὶ πάντα τέταλτο,
ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ᾽ ἐπιθεῖναι,
ἔνθ᾽ ἄλλοι Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες
δάκρυά τ᾽ ὠμόργνυντο τρέμον θ᾽ ὑπὸ γυῖα ἑκάστου·
κεῖνον δ᾽ οὔ ποτε πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν
οὔτ᾽ ὠχρήσαντα χρόα κάλλιμον οὔτε παρειῶν
δάκρυ ὀμορξάμενον· ὁ δέ γε μάλα πόλλ᾽ ἱκέτευεν
ἱππόθεν ἐξέμεναι, ξίφεος δ᾽ ἐπεμαίετο κώπην
καὶ δόρυ χαλκοβαρές, κακὰ δὲ Τρώεσσι μενοίνα.
ἀλλ᾽ ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινεν
ἀσκηθής, οὔτ᾽ ἄρ βεβλημένος ὀξέι χαλκῷ
οὔτ᾽ αὐτοσχεδίην οὐτασμένος, οἷά τε πολλὰ
γίγνεται ἐν πολέμῳ· ἐπιμὶξ δέ τε μαίνεται Ἄρης.᾽
"ὣς ἐφάμην, ψυχὴ δὲ ποδώκεος

Δὲ θὰ μποροῦσα νὰ τοὺς πῶ καὶ νὰ τοὺς νοματίσω,
τοὺς ὅσους αὐτὸς χάλασε βοηθώντας τοὺς Ἀργῖτες,
θὰ πῶ ὅμως τὸν Εὐρύπυλο, τὸ γόνο τοῦ Τηλέφου,
μὲ τοὺς Κητειῶτες φίλους του ποὺ γύρω του σφαζόνταν,
κι αἰτία τὰ δῶρα στάθηκαν ποὺ μιὰ γυναίκα πῆρε.
Δεύτερο ἀπὸ τὸ Μέμνονα τόσο ὄμορφο δὲν εἶδα.
Καὶ στ' ἄλογο σὰν μπήκαμε τῶν Ἀργιτῶν οἱ πρῶτοι,
ποὺ τὸ μαστόρεψε ὁ Ἐπειός, κι ἐγὼ μονάχος εἶχα
τὴν ἐξουσία ν' ἀνοιγοκλειῶ τὸ στέριο του κρυψώνα,
τότες οἱ ἄλλοι τῶν Δαναῶν ἀρχόντοι καὶ ρηγάδες
σφουγγίζανε τὰ δάκρυα καὶ τρέμαν ἀπὸ φόβο,
μὰ ἐκείνου τ' ὥριο πρόσωπο ποτὲς χλωμὸ δὲν τό εἶδα,
καὶ μήτε ἀπὸ τὰ μάγουλα σφούγγισ' ἐκεῖνος δάκρυα·
μόνε ἀπὸ μέσα νὰ ριχτῆ θερμὰ παρακαλοῦσε,
τὴ σπάθα του ὅλο πιάνοντας καὶ τὸ βαρὺ κοντάρι,
καὶ μελετώντας φοβερὸ κακὸ στοὺς Τρωαδῖτες.
Μὰ σάνε διαγουμίσαμε τὴ χώρα τοῦ Πριάμου,
μπῆκε μὲ τὸ μερίδιο του στὸ πλοῖο καὶ μ' ὥρια δῶρα,
ἀλάβωτος, τὶ χάλκινο κοντάρι δὲν τὸν πῆρε,
ἀπομακρόθε ἢ καὶ κοντά, σὰν πού συχνὰ τυχαίνει
στὸν πόλεμο ποὺ ἀνάκατα λυσσομανάει ὁ Ἄρης."
Εἶπα, καὶ τοῦ γοργόποδου ἡ ψυχὴ τοῦ

Αἰακίδαο
φοίτα μακρὰ βιβᾶσα κατ᾽ ἀσφοδελὸν λειμῶνα,
γηθοσύνη ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι.
"αἱ δ᾽ ἄλλαι ψυχαὶ νεκύων κατατεθνηώτων
ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε᾽ ἑκάστη.
οἴη δ᾽ Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νίκης,
τήν μιν ἐγὼ νίκησα δικαζόμενος παρὰ νηυσὶ
τεύχεσιν ἀμφ᾽ Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ.
παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ᾽ ἐπ᾽ ἀέθλῳ·
τοίην γὰρ κεφαλὴν ἕνεκ᾽ αὐτῶν γαῖα κατέσχεν,
Αἴανθ᾽, ὃς πέρι μὲν εἶδος, πέρι δ᾽ ἔργατο τέτυκτο
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα.
τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν·
" Αἶαν, παῖ Τελαμῶνος ἀμύμονος, οὐκ ἄρ᾽ ἔμελλες
οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου εἵνεκα τευχέων
οὐλομένων; τὰ δὲ πῆμα θεοὶ θέσαν Ἀργείοισι,
τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ᾽ Ἀχαιοὶ
ἶσον Ἀχιλλῆος κεφαλῇ Πηληϊάδαο
ἀχνύμεθα φθιμένοιο διαμπερές· οὐδέ τις ἄλλος
αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων
ἐκπάγλως ἤχθηρε, τεὴν δ᾽ ἐπὶ μοῖραν ἔθηκεν.

Ἀχιλλέα
στὸν κάμπο μὲ τ' ἀσφόδελα κίνησε δρασκελώντας,
ὅλη χαρά, ποὺ ἀγρίκησε τὶς δόξες τοῦ παιδιοῦ του.
Μὰ οἱ ἄλλες ἐκεῖ στέκανε οἱ ψυχὲς τῶν πεθαμένων,
θλιμμένες, καὶ τὸν πόνο της ἡ καθεμιὰ ρωτοῦσε.
Μονε ἡ ψυχὴ τοῦ Αἴαντα, τοῦ γιοῦ τοῦ Τελαμώνα,
στεκότανε παράμερα, μ' ἐμένα χολιασμένη,
ποὺ νίκησα στὰ πλοῖα κοντὰ στὴν κρίση ποὺ εἶχε στήσει
γιὰ τοῦ Ἀχιλλέα τ' ἄρματα ἡ σεβαστή του ἡ μάνα,
[κι οἱ Τρωαδῖτες κρίνανε μαζὶ μὲ τὴν Παλλάδα].
Μακάρι νὰ μὴν κέρδιζα, τότες, τέτοιο βραβεῖο,
τὶ ἐκεῖνα τ' ἄρματα ἔχωσαν στὴ γῆς τέτοιο λεβέντη,
τὸν Αἴαντα, ποὺ σ' ὁμορφιὰ καὶ σ' ἔργα ξεπερνοῦσε
τοὺς ἄλλους Δαναούς, ἐξὸν τὸ δοξαστὸ Ἀχιλλέα.
Σ' ἐκεῖνον τότες δυὸ γλυκὰ γύρισα κι εἶπα λόγια·
“Αἴαντα, τοῦ μεγάλου γιὲ τοῦ Τελαμώνα, ἀλήθεια,
μήτε νεκρὸς δὲ μοῦ ἔμελλες τὸ χόλιασμα ν' ἀφήσης
γιὰ τ' ἄρματα ποὺ κέρδισα, τ' ἀναθεματισμένα ;
Γιὰ τὸ κακὸ τῶν Ἀργιτῶν οἱ θεοὶ τὰ κάμαν ὅλα,
καὶ τέτοιον πύργο χάσαμε· κι ὅλοι θρηνοῦμε τώρα
οἱ Δαναοὶ κι ἐσένανε μὲ τοῦ Πηλέα τὸ γόνο·
μὰ ἄλλος δὲν εἶναι ἀφορμὴ παρὰ ὁ Δίας μονάχος,
ποὺ φοβερὰ τῶ Δαναῶν τ' ἁρματωμένα ἀσκέρια

ἀλλ᾽ ἄγε δεῦρο, ἄναξ, ἵν᾽ ἔπος καὶ μῦθον ἀκούσῃς
ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν.᾽
ὀχτρεύτηκε, καὶ σοῦ ὅρισε τὴ μοῖρα τοῦ θανάτου.
Μὰ ἔλα, ἀφέντη, κι ἄκουσε τὰ λόγια ποὺ σοῦ κρένω,
καὶ δάμασε τὴ μάνητα τῆς ἡρωϊκιᾶς ψυχῆς σου.″

"ὣς ἐφάμην, ὁ δέ μ᾽ οὐδὲν ἀμείβετο, βῆ δὲ μετ᾽ ἄλλας
ψυχὰς εἰς Ἔρεβος νεκύων κατατεθνηώτων.
Εἶπα, κι αὐτὸς ἀπάντηση δὲ μοῦ 'δωκε, μόν' πῆγε
Ἔρεβος μὲ τὶς ψυχὲς τῶν ἄλλων πεθαμένων.

ἔνθα χ᾽ ὅμως προσέφη κεχολωμένος, ἦ κεν ἐγὼ τόν·
ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
τῶν ἄλλων ψυχὰς ἰδέειν κατατεθνηώτων.
Καὶ πάλε ἴσως θὰ μίλειε μου, κι ἂς ἦταν χολωμένος,
ἢ ἐγὼ θὰ τοῦ μιλοῦσα, μὰ ἡ καρδιά μου μὲς στὰ στήθια
νὰ δῆ ποθοῦσε τὶς ψυχὲς κι ἄλλων νεκρῶν ἀκόμα.

"ἔνθ᾽ ἦ τοι Μίνωα ἴδον, Διὸς ἀγλαὸν υἱόν,
χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν,
ἥμενον, οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα,
ἥμενοι ἑσταότες τε κατ᾽ εὐρυπυλὲς Ἄϊδος δῶ.
Κι εἶδα τὸ Μίνωα, τὸ λαμπρὸ τοῦ Δία τὸ γιό,
ποὺ κράτα
χρυσὸ ραβδί, καὶ κάθονταν κριτὴς τῶν πεθαμένων·
ἄλλοι ὄρθιοι κι ἄλλοι καθιστοὶ μπροστὰ στὸ βασιλέα
μὲς στοῦ Ἅδη τοῦ πλατύθυρου κρινόνταν τὰ παλάτια.

"τὸν δὲ μετ᾽ Ὠρίωνα πελώριον εἰσενόησα
θῆρας ὁμοῦ εἰλεῦντα κατ᾽ ἀσφοδελὸν λειμῶνα,
τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι
χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀαγές.
Κατόπι τὸν Ὠρίωνα ξάνοιξα τὸ γιγάντιο,
στὸν κάμπο τῶν ἀσφόδελων τ' ἀγρίμια νὰ σωριάζη
ποὺ ἀπάνω στὰ ἔρημα βουνὰ τά 'χε σκοτώσει ὁ ἴδιος,
ράβδα στὰ χέρια ὁλόχαλκη κι ἀνέσπαστη κρατώντας.

"καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν,
κείμενον ἐν δαπέδῳ· ὁ δ᾽ ἐπ᾽ ἐννέα κεῖτο πέλεθρα,
γῦπε δέ μιν ἑκάτερθε παρημένω ἦπαρ ἔκειρον,
δέρτρον ἔσω δύνοντες, ὁ δ᾽ οὐκ ἀπαμύνετο χερσί·
Λητὼ γὰρ ἔλκησε, Διὸς κυδρὴν παράκοιτιν,
Πυθώδ᾽ ἐρχομένην διὰ καλλιχόρου
Καὶ τὸν Τιτυὸ εἶδα, τῆς Γῆς τῆς δοξασμένης θρέμμα,
ποὺ ἀπὰς στὸ χῶμα κοίτουνταν καὶ σκέπαζε ἐννιὰ πλέθρα·
δυὸ ἀγριοῦπες ἀπ' τὰ δυὸ πλευρὰ τοῦ τρῶγαν τὸ συκώτι,
μέσ' ἀπ' τὴ σκέπη μπαίνοντας· δὲν μπόρειε νὰ τοὺς διώξη,
τὶ εἶχε πειράξει τὴ Λητώ, τὴν ἀκριβὴ τοῦ Δία,
τὸν Πανοπέα σὰ διάβηκε νὰ πάη πρὸς τὴν Πυθώνα.

Πανοπῆος.

"καὶ μὴν Τάνταλον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα
ἑστεῶτ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι·
ὁσσάκι γὰρ κύψει' ὁ γέρων πιέειν μενεαίνων,
τοσσάχ' ὕδωρ ἀπολέσκετ' ἀναβροχέν, ἀμφὶ δὲ ποσσὶ
γαῖα μέλαινα φάνεσκε, καταζήνασκε δὲ δαίμων.
δένδρεα δ' ὑψιπέτηλα κατὰ κρῆθεν χέε καρπόν,
ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι·
τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
τὰς δ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.
"καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
ἦ τοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλλοι
ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιίς·
αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
αὐτὰρ ὅ γ' ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς
ἔρρεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.
"τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι

Κι ἀκόμα εἶδα τὸν Τάνταλο, βαριὰ τυραννισμένο·
ὡς τὸ πηγούνι στέκονταν μὲς στὰ νερὰ τῆς λίμνης,
διψοῦσε, καὶ μήτε σταλιὰ νὰ πάρη δὲ δυνόταν·
μόνε, ἅμα ὁ γέρος ἔσκυβε νὰ πιῆ νὰ ξεδιψάση,
κάτου ρουφιόταν τὸ νερὸ κι ἔφευγε, καὶ στὰ πόδια
γύρω φαινόταν μαύρη γῆς, ξερόκαυτη ἀπ' τὴ μοῖρα.
Καὶ δέντρα ἀψηλοφύλλωτα κρεμοῦσαν τὸν καρπό τους,
ροϊδιές, ἀφράτες ἀπιδιές, μηλιὲς καλοκαρποῦσες,
συκιὲς μελόγλυκες, κι ἐλιὲς φουντόκλωνες κι ἀνθάτες·
κι ἅμ' ἄπλωνε τὰ χέρια του καρπὸ νὰ κόψη ὁ γέρος,
οἱ ἀνέμοι παῖρναν τὰ δεντρὰ στῶ συννεφιῶν τοὺς ἴσκιους.
Κι ἀκόμα εἶδα τὸ Σίσυφο φριχτὰ βασανισμένο·
κοτρώνα αὐτὸς θεόρατη καὶ μὲ τὰ δυὸ βαστοῦσε,
καὶ στυλωμένος ἔσπρωχνε, μὲ πόδια καὶ μὲ χέρια,
τὴν πέτρα ἀπάνω στὸ βουνό· κι ὅτι ἔκανε νὰ φτάση,
καὶ νὰ περάση ἀπ' τὴν κορφή, τὸν ἔπαιρνε τὸ βάρος
καὶ πρὸς τὸν κάμπο ἀνήλεη κατρακυλοῦσε ἡ πέτρα.
Κι αὐτὸς πάλι ἔσπρωχνε βαριά, καὶ τὸ κορμί του ὁ ἵδρος
περέχυνε, καὶ σκέπαζε τὴν κεφαλή του ἡ σκόνη.
Κι εἶδα τὸ δυνατὸ Ἡρακλῆ, καὶ μόνο φάντασμα ἦταν,
τὶ ἀτός του ζῆ καὶ χαίρεται μὲ τοὺς θεοὺς τοῦ Ὀλύμπου,

τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.
ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὡς,
πάντοσ᾽ ἀτυζομένων· ὁ δ᾽ ἐρεμνῇ νυκτὶ ἐοικώς,
γυμνὸν τόξον ἔχων καὶ ἐπὶ νευρῇφιν ὀιστόν,
δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ
χρύσεος ἦν τελαμών, ἵνα θέσκελα ἔργα τέτυκτο,
ἄρκτοι τ᾽ ἀγρότεροί τε σύες χαροποί τε λέοντες,
ὑσμῖναί τε μάχαι τε φόνοι τ᾽ ἀνδροκτασίαι τε.
μὴ τεχνησάμενος μηδ᾽ ἄλλο τι τεχνήσαιτο,
ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάθετο τέχνῃ.
ἔγνω δ᾽ αὖτ᾽ ἔμ᾽ ἐκεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν,
καί μ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
"᾽διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἆ δείλ᾽, ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
ὅν περ ἐγὼν ὀχέεσκον ὑπ᾽ αὐγὰς ἠελίοιο.
Ζηνὸς μὲν πάϊς ἦα Κρονίονος, αὐτὰρ ὀιζὺν
εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
δεδμήμην, ὅ δέ μοι χαλεποὺς ἐπετέλλετ᾽ ἀέθλους.
καί ποτέ μ᾽ ἐνθάδ᾽ ἔπεμψε κύν᾽ ἄξοντ᾽· οὐ γὰρ ἔτ᾽ ἄλλον
φράζετο τοῦδέ γέ μοι

καὶ τὸν κερνᾶ ἡ ὡριόφτερνη στὰ φαγοπότια του Ἥβη,
τοῦ Δία ἡ κόρη τοῦ τρανοῦ καὶ τῆς πανώριας Ἥρας.
Ὅλ' οἱ νεκροὶ τριγύρω του χουγιάζανε σὰν ὄρνια,
ποὺ τρομασμένα φεύγανε· κι αὐτὸς σὰ νύχτα μαύρη
μὲ τὸ δοξάρι του γυμνό, στὴν κόρδα τὴ σαγίτα,
ἀγριοκοιτοῦσε κι ἔτοιμος φαινότανε νὰ ρίξη.
Λουρὶ χρυσὸ καὶ τρομερὸ γύρω στὰ στήθια του εἶχε,
κι ἀπάνω του ἔργα θάματα φαντάζαν δουλεμένα,
ἀρκοῦδες, ἀγριογούρουνα, φλογόματα λιοντάρια,
πολέμοι, μάχες, φονικά, καὶ χαλασμὸς ἀνθρώπων.
Ὅποιος ἐκεῖνο τὸ λουρὶ μαστόρεψε, ἂς μὴ θέλη
λουρὶ ἄλλο μὲ τὴν τέχνη του παρόμοιο νὰ δουλέψη.
Μόλις μ' ἀγνάντεψε κι εὐτὺς μὲ γνώρισε ποιὸς ἤμουν,
καὶ κλαίγοντας μοῦ μίλησε μὲ λόγια φτερωμένα·
"Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
κακὴ κι ἐσένα, ὦ δύστυχε, σὲ κατατρέχει μοῖρα,
αὐτὴ ποὺ τράβηξα κι ἐγὼ κάτω ἀπ' τὸ φῶς τοῦ ἥλιου.
Τοῦ Δία κι ἂν ἤμουνα παιδί, μὰ ἀρίθμητα εἶχα πάθια,
γιατ' ἤμουν δοῦλος σὲ ἄνθρωπο πολὺ κατώτερό μου,
καὶ ἀγῶνες μοῦ 'βαζε βαριούς, καὶ μ' ἔστειλε νὰ φέρω
τὸ σκύλο κάποτε ἀποδῶ, θαρρώντας πὼς δὲν μπόρειε
ἄλλο βαρύτερο ἀπ' αὐτὸν ἀγώνα νὰ μοῦ

κρατερώτερον εἶναι ἄεθλον·
τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀίδαο·
Ἑρμείας δέ μ᾽ ἔπεμψεν ἰδὲ γλαυκῶπις Ἀθήνη.᾽
"ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη δόμον Ἄϊδος εἴσω,
αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, εἴ τις ἔτ᾽ ἔλθοι
ἀνδρῶν ἡρώων, οἳ δὴ τὸ πρόσθεν ὄλοντο.
καί νύ κ᾽ ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ,
Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·
ἀλλὰ πρὶν ἐπὶ ἔθνε᾽ ἀγείρετο μυρία νεκρῶν
ἠχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
ἐξ Ἀίδεω πέμψειεν ἀγαυὴ Περσεφόνεια.
"αὐτίκ᾽ ἔπειτ᾽ ἐπὶ νῆα κιὼν ἐκέλευον ἑταίρους
αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
τὴν δὲ κατ᾽ Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο,
πρῶτα μὲν εἰρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.

βάλη.
Τὸν πῆρα καὶ τοῦ ἀνέβασα τὸ σκύλο ἀπὸ τὸν Ἅδη·
μὰ μὲ βοήθησε ὁ Ἑρμῆς κι ἡ Ἀθηνᾶ ἡ Παλλάδα.″
Αὐτὰ σὰν εἶπε, τράβηξε μὲς στοῦ Ἅδη τὸ λημέρι,
κι ἐγὼ στὸν τόπο μου ἔμεινα νὰ δῶ μὴν ἔρθη κι ἄλλος
ἀπ' τοὺς ἡρώους ποὺ ἀπέθαναν σὲ χρόνους περασμένους.
Καὶ τοὺς παλιοὺς θ' ἀντάμωνα τοὺς ἄντρες ποὺ ποθοῦσα,
[τῶν θεῶν τὰ δοξαστὰ παιδιὰ, Θησέα καὶ Πειρίθο],
μὰ πλῆθος ἄπειρο οἱ νεκροὶ συνάζονταν, καὶ βγάζαν
ἄγριον ἀχό· κι ἐμένα εὐτὺς χλωμὸς μὲ πῆρε φόβος,
μὴν ἀπ' τὸν Ἅδη ἡ θεϊκιὰ μοῦ στείλη ἡ Περσεφόνη
τῆς τερατόμορφης Γοργῶς τὸ φοβερὸ κεφάλι.
Στὸ πλοῖο τότες κίνησα, καὶ τῶ συντρόφων εἶπα
ν' ἀνέβουν, τὰ πρυμόσκοινα νὰ λύσουν κι αὐτοὶ μέσα
μπῆκαν, στοὺς πάγκους κάθισαν, καὶ τὸ καράβι πῆρε
τοῦ ποταμοῦ τοῦ Ὠκεανοῦ τὸ ρέμα κάτου, πρῶτα
μὲ τὰ κουπιά μας, κι ὕστερα πάλε μὲ πρύμο ἀγέρι,

Ὁμήρου Ὀδύσσεια

Ραψωδία μ

Σειρῆνες. Σκύλλα. Χάρυβδις. Βόες Ἡλίου.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

"αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
νηῦς, ἀπὸ δ᾽ ἵκετο κῦμα θαλάσσης

Τοῦ Ὠκεανοῦ τὰ ρέματα τὸ πλοῖο σὰν ἀφῆκε,
κι ἀπάνω ἀπὸ τὰ κύματα τοῦ διάπλατου

εὐρυπόροιο
πελάγου

νῆσόν τ᾽ Αἰαίην, ὅθι τ᾽ Ἠοῦς ἠριγενείης
ἦρθε στῆς Αΐας τὸ νησί, ποὺ κατοικεῖ ἡ

οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ
Αὐγούλα,

Ἠελίοιο,
καὶ σὲ γλυκοὺς χορότοπους χρυσανατέλνει
ὁ Ἥλιος,

νῆα μὲν ἔνθ᾽ ἐλθόντες ἐκέλσαμεν ἐν
ἐκεῖ στὸν ἄμμο φτάσαμε κι ἀράξαμε τὸ

ψαμάθοισιν,
πλοῖο,

ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι
καὶ πήγαμε πλαγιάσαμε στὸ περιγιάλι

θαλάσσης·
ἀπάνω,

ἔνθα δ᾽ ἀποβρίξαντες ἐμείναμεν Ἠῶ
προσμένοντας τὴ λαμπερὴ νὰ γλυκοφέξη

δῖαν.
Αὐγούλα.

"ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος
Κι ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη

Ἠώς,
Αὐγούλα,

δὴ τότ᾽ ἐγὼν ἑτάρους προΐειν ἐς
καὶ στέλνω τοὺς συντρόφους μου στῆς

δώματα Κίρκης
Κίρκης τὰ παλάτια,

οἰσέμεναι νεκρόν, Ἐλπήνορα
τὸ λείψανο τοῦ Ἐλπήνορα νὰ πάρουν καὶ

τεθνηῶτα.
νὰ φέρουν.

φιτροὺς δ᾽ αἶψα ταμόντες, ὅθ᾽
Πήγαμε, κόψαμε κλαριά, στὴν ἄκρη στὸ

ἀκροτάτη πρόεχ᾽ ἀκτή,
περγιάλι,

θάπτομεν ἀχνύμενοι θαλερὸν κατὰ
τὸν θάψαμε βαριόκαρδοι καὶ δάκρυα

δάκρυ χέοντες.
χύνοντάς του.

αὐτὰρ ἐπεὶ νεκρός τ᾽ ἐκάη καὶ τεύχεα
Καὶ σὰν καλοκαήκανε ὁ νεκρὸς καὶ τ'

νεκροῦ,
ἄρματά του,

τύμβον χεύαντες καὶ ἐπὶ στήλην
μνημούρι τοῦ σηκώσαμε καὶ στήσαμε του

ἐρύσαντες
στήλη,

πήξαμεν ἀκροτάτῳ τύμβῳ ἐυῆρες
καὶ τὸ ἴσιο μπήξαμε κουπὶ πὰς στὴν κορφὴ

ἐρετμόν.
τοῦ τάφου,

"ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν· οὐδ᾽
Κι ἐκεῖ ποὺ αὐτὰ νοιαζόμασταν, δὲν

ἄρα Κίρκην
ξέφυγε τῆς Κίρκης

ἐξ Ἀίδεω ἐλθόντες ἐλήθομεν, ἀλλὰ μάλ᾽
πὼς ἀπ' τὸν Ἅδη φτάσαμε, παρὰ ἦρθε

ὦκα
στολισμένη

ἦλθ᾽ ἐντυναμένη· ἅμα δ᾽ ἀμφίπολοι
κοντά μας· ἤρθανε μαζὶ κι οἱ βάγιες της καὶ

φέρον αὐτῇ
φέρναν

σῖτον καὶ κρέα πολλὰ καὶ αἴθοπα
ψωμὶ καὶ κρέατα πολλὰ μὲ τὸ κρασὶ τὸ

οἶνον ἐρυθρόν.
μαῦρο.

ἡ δ᾽ ἐν μέσσῳ στᾶσα μετηύδα δῖα
Στάθηκε τότ' ἡ ὁλόλαμπρη θεὰ

θεάων·
ὀμπροστά μας κι εἶπε·

"᾽σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ᾽
"Ἀθεόφοβοι, ποὺ ζωντανοὶ πήγατ' ἐσεῖς

Ἄίδαο,
στὸν Ἅδη,

δισθανέες, ὅτε τ᾽ ἄλλοι ἅπαξ θνῄσκουσ᾽
ποὺ δυὸ θανάτους θά 'χετε, οἱ ἄλλοι

ἄνθρωποι.
ξέρουν ἕναν

ἀλλ᾽ ἄγετ᾽ ἐσθίετε βρώμην καὶ πίνετε
ἐλᾶτε τώρα ἐσεῖς ἐδῶ νὰ φᾶτε καὶ νὰ πιῆτε

οἶνον
ὁλήμερα· κι ἡ χρυσαυγὴ καθὼς

αὖθι πανημέριοι· ἅμα δ᾽ ἠοῖ φαινομένηφι
πλεύσεσθ᾽· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
σημανέω, ἵνα μή τι κακορραφίῃ ἀλεγεινῇ
ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες.᾽
"ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
οἱ μὲν κοιμήσαντο παρὰ πρυμνήσια νηός,
ἡ δ᾽ ἐμὲ χειρὸς ἑλοῦσα φίλων ἀπονόσφιν ἑταίρων
εἷσέ τε καὶ προσέλεκτο καὶ ἐξερέεινεν ἕκαστα·
αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα.
καὶ τότε δή μ᾽ ἐπέεσσι προσηύδα πότνια Κίρκη·
"᾽ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ᾽ ἄκουσον,
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅτις σφεας εἰσαφίκηται.
ὅς τις ἀιδρείῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ
Σειρήνων, τῷ δ᾽ οὔ τι γυνὴ καὶ νήπια τέκνα
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,
ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ
ἥμεναι ἐν λειμῶνι, πολὺς δ᾽ ἀμφ᾽

γλυκοχαράξη,
κινᾶτε. Ἐγὼ τὸ δρόμο σας θὰ δείξω, καὶ τὰ πάντα
θὰ σᾶς μαντέψω, μὴν κακὴ σᾶς πέση ἄξαφνα ὥρα,
καὶ μύρια πάθετε δεινὰ στεριᾶς ἢ καὶ πελάγου."
Αὐτά εἰπε, καὶ κατάπεισε τὸ νοῦ μας τὸν ἀντρίκιο.
Ὁλήμερα καθόμασταν ἐκεῖ ὡς τὸ γέρμα τοῦ ἥλιου,
μὲ τὰ περίσσια κρέατα, καὶ μὲ κρασὶ φλογάτο.
Κι ὁ ἥλιος σὰ βασίλεψε κι ἁπλώθηκε σκοτάδι,
οἱ ἄλλοι στὰ πρυμόσκοινα σιμὰ καλοπλαγιάσαν,
μὰ ἐμένα ἀπὸ τὸ χέρι αὐτὴ παράμερα μὲ πῆρε,
μὲ κάθισε, καὶ πλάγιασε κοντά μου καὶ ρωτοῦσε·
κι ἕνα πρὸς ἕνα τότε ἐγὼ τῆς στόρησα τὰ πάντα.
Καὶ μίλησέ μου ἡ σεβαστὴ θεά, κι αὐτὰ μοῦ κρένει·
"Αὐτὰ ὅπως τά 'πες ἔγιναν· τώρα κι ἐσὺ ν' ἀκούσης
καὶ πρῶτα ταξιδεύοντας θὰ φτάσης στὶς Σειρῆνες,
ποὺ ὅλους μαγεύουν τοὺς θνητοὺς ποὺ λάχουνε κοντά τους·
ὅποιος σιμώση ἀπ' ἀγνωσιὰ κι ἀκούση τὴ φωνή τους,
ἀπὸ γυναίκα καὶ παιδιὰ χαρὰ νὰ μὴν προσμένη
μήτε πατρίδα πὼς θὰ δῇ, τὶ μὲ γλυκὰ τραγούδια
αὐτὲς τόνε μαγεύουνε μὲς ἀπ' τὴ λιβαδιά τους.
Σωρὸς ἐκεῖ τ' ἀνθρωπινὰ τὰ κόκκαλα

ὀστεόφιν θὶς ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσι.
ἀλλὰ παρεξελάαν, ἐπὶ δ᾽ οὔατ᾽ ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσῃ
τῶν ἄλλων· ἀτὰρ αὐτὸς ἀκουέμεν αἴ κ᾽ ἐθέλῃσθα,
δησάντων σ᾽ ἐν νηὶ θοῇ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνήφθω,
ὄφρα κε τερπόμενος ὄπ᾽ ἀκούσῃς Σειρήνοιιν.
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς,
οἱ δέ σ᾽ ἔτι πλεόνεσσι τότ᾽ ἐν δεσμοῖσι διδέντων.
αὐτὰρ ἐπὴν δὴ τάς γε παρὲξ ἐλάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ᾽ ἔπειτα διηνεκέως ἀγορεύσω,
ὁππότερη δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, προτὶ δ᾽ αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι.
τῇ μέν τ᾽ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ᾽ ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρεῖται λὶς πέτρη·
ἀλλ᾽ ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῇ δ᾽ οὔ πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ τις ἵκηται,

σαπίζουν
γυμνὰ, ποὺ εἶναι τὸ δέρμα τους χυμένο ὁλοτριγύρω.
Προσπέρνα τις, καὶ στούπωνε καλὰ τ' αὐτιὰ τῶν ἄλλων
μὲ μελοζύμωτο κερὶ νὰ μὴν μποροῦν ν' ἀκούσουν.
Κι ἂν ποθυμήσῃς ἴδιος σου ν' ἀκούσῃς, ἂς σὲ δέσουν
ὁλόρθο χεροπόδαρα στοῦ καταρτιοῦ τὴ ρίζα,
κι ἂς καλοσφίξουν τῶ σκοινιῶν τὶς ἄκρες στὸ κατάρτι,
καὶ τότες χαίροντας θ' ἀκοῦς μακρόθε τὶς Σειρῆνες.
Μὰ ἀνίσως καὶ παρακαλῇς τοὺς ἄλλους νὰ σὲ λύσουν,
ἐκεῖνοι ἀκόμα πιὸ σφιχτὰ νὰ δένουν τὰ σκοινιά σου.
Καὶ τὸ καράβι σου ἀπ' ἐκεῖ σὰ σώσῃ νὰ περάσῃ,
δὲ σοῦ ὁρμηνεύω πιὰ ἀπὸ ποῦ τὸ δρόμο σου νὰ πάρῃς
ἀτὸς σου κρῖνε· ἐγὼ τοὺς δυὸ θὰ σοῦ ἐξηγήσω δρόμους.
Ἀπὸ τὴ μιὰ εἶναι κρεμαστὲς οἱ πέτρες ποὺ
μὲ κύματα ἡ γλαυκόματη τὶς δέρνει ἡ Ἀμφιτρίτη·
αὐτὲς Πλανούμενες τὶς λὲν οἱ θεοί οἱ μακαρισμένοι.
Κι οὐδὲ πουλὶ τὶς προσπερνάει, καὶ μήτε οἱ περιστέρες
τὴν ἀμβροσία ποὺ φέρνουνε στὸ Δία τὸν πατέρα,
μόνε κι αὐτὲς κάθε φορὰ τὶς παίρνει ἡ γλιστροπέτρα·
μὰ στέλνει κι ἄλλην ὁ θεός, λειψές νὰ μὴν τὶς ἔχῃ.
Θνητοῦ καράβι ἐκείθενε δὲν ἔφυγε, κι ἂν ἦρθε,

ἀλλά θ᾽ ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ᾽ ἁλὸς φορέουσι πυρός τ᾽ ὀλοοῖο θύελλαι.
οἴη δὴ κείνη γε παρέπλω ποντοπόρος νηῦς,
Ἀργὼ πᾶσι μέλουσα, παρ᾽ Αἰήταο πλέουσα.
καὶ νύ κε τὴν ἔνθ᾽ ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
ἀλλ᾽ Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.

"᾽οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε
κυανέη· τὸ μὲν οὔ ποτ᾽ ἐρωεῖ, οὐδέ ποτ᾽ αἴθρη
κείνου ἔχει κορυφὴν οὔτ᾽ ἐν θέρει οὔτ᾽ ἐν ὀπώρῃ.
οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ οὐδ᾽ ἐπιβαίη,
οὐδ᾽ εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν·
πέτρη γὰρ λίς ἐστι, περιξεστῇ ἐικυῖα.

μέσσῳ δ᾽ ἐν σκοπέλῳ ἔστι σπέος ἠεροειδές,
πρὸς ζόφον εἰς Ἔρεβος τετραμμένον, ᾗ περ ἂν ὑμεῖς
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ᾽ Ὀδυσσεῦ.
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήιος ἀνὴρ
τόξῳ ὀιστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
ἔνθα δ᾽ ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα.
τῆς ἦ τοι φωνὴ μὲν ὅση σκύλακος νεογιλῆς
γίγνεται, αὐτὴ δ᾽ αὖτε πέλωρ κακόν·

μόνε καραβοσάνιδα καὶ ἀνθρώπινά κουφάρια
κυλιοῦνται ἀπὸ τὰ κύματα κι ἀπ' τῆς φωτιᾶς τὴ λύσσα.
Ἕνα μονάχο διάβηκε τῆς θάλασσας καράβι,
ἡ κοσμολάλητη ἡ Ἀργώ, γυρνώντας ἀπ' τοῦ Αἰήτη-
κι αὐτὴ σὲ βράχους θά 'σπανε τρανούς, χωρὶς τὸ χέρι
τῆς Ἥρας, ποὺ λυπήθηκε τὸν Ἰάσονα ἀπ' ἀγάπη.
Ἀπὸ τὴν ἄλλη, οἱ βράχοι οἱ δυὸ, ποὺ ὁ ἕνας ἀνεβαίνει
στοὺς οὐρανούς, κι ἡ σουβλερὴ κορφή του τοὺς ἀγγίζει
μαύρη τὸν ζώνει συννεφιά, ποὺ πάντα 'ναι ἁπλωμένη,
μηδὲ λαμπρύνει ἡ ξαστεριὰ ποτὲς τὸ μέτωπό του,
μὰ ἂς εἶναι θερισμοῦ καιρός, ἂς εἶναι χινοπώρι.
Ν' ἀνέβῃ ἐκεῖ ἢ νὰ κατεβῇ θνητὸς δὲ θὰ μποροῦσε
ποτὲς κανένας, κι εἴκοσι χέρια καὶ πόδια ἂν εἶχε·
γιατ' εἶναι ὁ βράχος γλιστερός, σὰν πέτρα λιστρωμένη
Καὶ σπήλιο ἀνοίγει σκοτεινὸ μὲς στὴν καρδιὰ τοῦ βράχου,
στὴ Δύση, καὶ πρὸς στὸ Ἔρεβος· καὶ κατακεῖ τὴν πλώρη
τοῦ καραβιοῦ θὰ στρέψετε, περίλαμπρε Ὀδυσσέα,
Μηδὲ πιδέξιος τοξευτὴς μέσ' ἀπὸ τὸ καράβι
ρίχνοντας τὴ σαγίτα του δὲ θά 'φτανε στὸ σπήλιο.
Κεῖ μέσα ἡ Σκύλλα κατοικεῖ καὶ φοβερὰ γαυγίζει·
ἔχει φωνούλα σκυλακιοῦ νιογέννητου, κι ὡς τόσο
εἶναι κακότροπο θεριό, κι οὔτε θνητὸς

οὐδέ κέ τίς μιν γηθήσειεν ἰδών, οὐδ᾽ εἰ θεὸς ἀντιάσειεν. τῆς ἦ τοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες, ἐν δὲ ἑκάστῃ σμερδαλέη κεφαλή, ἐν δὲ τρίστοιχοι ὀδόντες πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν, ἔξω δ᾽ ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου, αὐτοῦ δ᾽ ἰχθυάᾳ, σκόπελον περιμαιμώωσα, δελφῖνάς τε κύνας τε, καὶ εἴ ποθι μεῖζον ἔλῃσι κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
τῇ δ᾽ οὔ πώ ποτε ναῦται ἀκήριοι εὐχετόωνται παρφυγέειν σὺν νηί· φέρει δέ τε κρατὶ ἑκάστῳ φῶτ᾽ ἐξαρπάξασα νεὸς κυανοπρῴροιο.
"᾽τὸν δ᾽ ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ. πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
τῷ δ᾽ ἐν ἐρινεὸς ἔστι μέγας, φύλλοισι τεθηλώς·
τῷ δ᾽ ὑπὸ δῖα Χάρυβδις ἀναρροιβδεῖ μέλαν ὕδωρ.
τρὶς μὲν γάρ τ᾽ ἀνίησιν ἐπ᾽ ἤματι, τρὶς δ᾽ ἀναροιβδεῖ δεινόν· μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
οὐ γάρ κεν ῥύσαιτό σ᾽ ὑπὲκ κακοῦ οὐδ᾽ ἐνοσίχθων.
ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος ὦκα

κανένας,
κι οὔτε θεὸς θὰ χαίρονταν θωρώντας το ἀντικρύ του.
Ἔχει καὶ πόδια δώδεκα, ποὺ ξέκρεμα εἶναι ὅλα,
κι ἕξι θεόμακρους λαιμούς, καὶ στὸν καθένα ἀπάνω
κεφάλι στέκει τρομερὸ μὲ τρεῖς ἀράδες δόντια,
πυκνὰ καὶ σφιχτοκάρφωτα καὶ θάνατο γεμάτα.
Μὲς στὸ βαθὺ τὸ σπήλιο της ὡς τὰ μισὰ χωμένη,
ἀπὸ τὸ μαῦρο βάραθρο τ' ἄγρια κεφάλια βγάζει,
κι ἐκεῖ ψαρεύει, ψάχνοντας ὁλόγυρα στὸ βράχο,
δελφίνια καὶ σκυλόψαρα κι ἄλλα θαλασσαγρίμια,
ποὺ μύρια ἡ κυματόβροντη τὰ βόσκει ἡ Ἀμφιτρίτη.
Ναύτης δὲν τὸ παινέθηκε πὼς ξέφυγε μὲ πλοῖο
ἀπὸ κεῖ πέρα ἀπείραγος· μὲ κάθε της κεφάλι
ἁρπάει ἀπ' τὸ μαυρόπλωρο καράβι κι ἕναν ἄντρα.
Τὸν ἄλλο χαμηλότερο, Ὀδυσσέα, θὰ δῆς τὸ βράχο·
κοντά 'ναι οἱ δυό τους, θά 'φτανε ἡ σαγίτα σου νὰ ρίξης.
Μεγάλος εἶναι ὀρνιὸς ἐκεῖ, μυριόφυλλος, καὶ κάτου
ἡ θεία ἡ Χάρυβδη ρουφάει τὸ μελανὸ τὸ κῦμα.
Τὴ μέρα τρεῖς φορὲς ξερνάει, καὶ τρεῖς φορὲς ρουφάει·
νὰ μὴ σοῦ τύχη καὶ βρεθῆς τὴν ὥρα ποὺ ρουφήξη,
τὶ δὲ θὰ σὲ ξεγλύτωνε μηδὲ τοῦ κόσμου ὁ σείστης.
Μόν' ζύγωνε τὸ πλοῖο εὐτὺς πρὸς τὴ Σπηλιὰ τῆς Σκύλλας,

νῆα παρὲξ ἐλάαν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
ἓξ ἑτάρους ἐν νηὶ ποθήμεναι ἢ ἅμα πάντας.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
εἰ δ᾽ ἄγε δή μοι τοῦτο, θεά, νημερτὲς ἐνίσπες,
εἴ πως τὴν ὀλοὴν μὲν ὑπεκπροφύγοιμι Χάρυβδιν,
τὴν δέ κ᾽ ἀμυναίμην, ὅτε μοι σίνοιτό γ᾽ ἑταίρους.᾽
"ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
᾽σχέτλιε, καὶ δὴ αὖ τοι πολεμήια ἔργα μέμηλε
καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
ἡ δέ τοι οὐ θνητή, ἀλλ᾽ ἀθάνατον κακόν ἐστι,
δεινόν τ᾽ ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν·
οὐδέ τις ἔστ᾽ ἀλκή· φυγέειν κάρτιστον ἀπ᾽ αὐτῆς.
ἢν γὰρ δηθύνῃσθα κορυσσόμενος παρὰ πέτρῃ,
δείδω, μή σ᾽ ἐξαῦτις ἐφορμηθεῖσα κίχῃσι
τόσσῃσιν κεφαλῇσι, τόσους δ᾽ ἐκ φῶτας ἕληται.
ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιιν,
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
ἥ μιν ἔπειτ᾽ ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.

"Θρινακίην δ᾽ ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
βόσκοντ᾽ Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ᾽ οἰῶν πώεα καλά,
πεντήκοντα δ᾽ ἕκαστα. γόνος δ᾽ οὐ

καὶ πέρναε, τὶ καλύτερο νὰ κλαῖς ἕξι συντρόφους
τοῦ καραβιοῦ παρὰ ὅλοι τους μαζὶ ν' ἀφανιστοῦνε."

Εἶπε, κι ἐγὼ ἀποκρίθηκα· "Πές μου, ὦ θεά, ἐσὺ τώρα,
τὴ φοβερὴ τὴ Χάρυβδη σὰν πῶς νὰ τήν ξεφύγω,
μὰ καὶ τῆς Σκύλλας τῆς φριχτῆς ν' ἀντισταθῶ, ἂν χουμίξῃ;"

Εἶπα, κι ἡ σεβαστὴ θεὰ μοῦ ἀπολογιέται ἀμέσως·
"Πάλε, καημένε, βάσανα γυρεύεις καὶ πολέμους·
μὰ μήτε τοὺς ἀθάνατους θεοὺς πιὰ δὲ φοβᾶσαι ;
Αὐτή 'ναι ἀθάνατο κακό, θνητὴ δὲν εἶναι ἡ Σκύλλα·
ἄγρια, φριχτὴ κι ἀμάχητη, Διαφέντεψη δὲν ἔχει
αὐτὴ καμιά, καὶ κάλλιο ἐσὺ νὰ φεύγῃς ἀπ' ὀμπρός της.
Τὶ ἀνίσως γιὰ ν' ἀρματωθῇς κοντοσταθῇς στὰ βράχια,
φοβοῦμαι μὴν προφτάξῃ αὐτή, καὶ μ' ἕνα χούμισμά της
ὅσα εἶναι τὰ κεφάλια της, τόσους σοῦ ἁρπάξῃ ἀνθρώπους.
Μόνε γοργὰ νὰ λάμνετε, καὶ τὴν Κραταιὴ φωνάξτε,
τὴ μάνα ποὺ τὴ γέννησε γιὰ τὸ κακὸ τοῦ κόσμου,
καὶ θὰ τὴν ἐμποδίσῃ αὐτὴ νὰ μὴν ξαναχουμίξῃ.
Κατόπι στὸ καλὸ νησὶ τῆς Θρινακίας θὰ φτάσῃς.
Βόδια ἐκεῖ βόσκουνε πολλὰ κι ἀρνιὰ παχιὰ τοῦ Ἥλιου,
ἑφτὰ κοπὲς βοδιῶν, ἑφτὰ καλῶν ἀρνιῶν κοπάδια,
πενήντα καθεμιὰ κοπή, κι αὐτὰ μήτε

γίγνεται αὐτῶν,
οὐδέ ποτε φθινύθουσι. θεαὶ δ' ἐπιποιμένες εἰσίν,
νύμφαι ἐυπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
ἃς τέκεν Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ

Θρινακίην ἐς νῆσον ἀπῴκισε τηλόθι ναίειν,
μῆλα φυλασσέμεναι πατρώια καὶ ἕλικας βοῦς.
τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον,
νηί τε καὶ ἑτάροις· αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς,
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους.'
"ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
ἡ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπέστιχε δῖα θεάων·
αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν ὤτρυνον ἑταίρους
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι·
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυανοπρῴροιο
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα

γεννοῦνε,
καὶ μήτε λιγοστεύουνε· καὶ θεὲς τὰ κυβερνᾶνε,
δυὸ νύφες ὡριοπλέξουδες, Φαέθουσα, Λαμπετία,
τοῦ Ἥλιου τοῦ Ὑπερίονα καὶ τῆς Νεαίρας κόρες.
Ἡ μάνα ποὺ τὶς γέννησε καὶ γλυκοανάθρεψέ τις,
πὰς στὸ νησὶ τὶς ἔβαλε τῆς Θρινακίας νὰ ζοῦνε,
τὰ γονικά τους πρόβατα καὶ βόδια νὰ φυλάγουν.
[Αὐτὰ ἂν τ' ἀφήσης ἄβλαβα, καὶ θὲς τὸ γυρισμό σου,
ὅσο πολλὰ κι ἂν πάθετε, πάλε στὸ Θιάκι πᾶτε·
μὰ ἂν τὰ πειράξης, πρόσμενε ξολοθρεμὸ στὸ πλοῖο
καὶ στοὺς συντρόφους· ἴδιος σου μπορεῖς νὰ ξεγλυτώσης,
μὰ ἀργὰ θὰ φτάσης κι ἄσκημα, κι ἀπὸ συντρόφους ἔρμος]."
Αὐτά εἰπε· κι εὐτὺς πρόβαλε ἡ χρυσόθρονη ἡ Αὐγούλα,
καὶ στοῦ νησιοῦ της ἡ θεὰ τραβήχτηκε τὰ μέσα.
Καὶ στὸ καράβι πῆγα ἐγώ, καὶ τῶ συντρόφων εἶπα
νὰ λύσουν τὰ πρυμόσκοινα, κι ἀπάνω ν' ἀνεβοῦνε.
Κι αὐτοὶ στὸ πλοῖο ἀνέβηκαν, καὶ κάθισαν στοὺς πάγκους,
καὶ τὸν ἀστραφτερὸ γιαλὸ μὲ τὰ κουπιὰ βαροῦσαν.
Καὶ πίσω ἀπ' το μαυρόπλωρο καράβι στέλνει ἡ Κίρκη
ἡ φοβερὴ κι ἡ ὡριόμαλλη κι ἡ ἀνθρωπολαλοῦσα,
πρύμο καλὸ καὶ φιλικὸ ποὺ τὰ πανιὰ φουσκῶναν.
Καὶ τ' ἄρμενα σὰ σιάξαμε, καθίσαμε, κι ὁδήγα

ἥμεθα· τὴν δ᾽ ἄνεμός τε κυβερνήτης τ᾽ ἴθυνε.
"δὴ τότ᾽ ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ·
᾽ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι οὐδὲ δύ᾽ οἵους
θέσφαθ᾽ ἅ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
ἀλλ᾽ ἐρέω μὲν ἐγών, ἵνα εἰδότες ἤ κε θάνωμεν
ἢ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγοιμεν.
Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
φθόγγον ἀλεύασθαι καὶ λειμῶν᾽ ἀνθεμόεντα.
οἷον ἔμ᾽ ἠνώγει ὄπ᾽ ἀκουέμεν· ἀλλά με δεσμῷ
δήσατ᾽ ἐν ἀργαλέῳ, ὄφρ᾽ ἔμπεδον αὐτόθι μίμνω,
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνήφθω.
εἰ δέ κε λίσσωμαι ὑμέας λῦσαί τε κελεύω,
ὑμεῖς δὲ πλεόνεσσι τότ᾽ ἐν δεσμοῖσι πιέζειν.᾽
"ἦ τοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς ἐυεργὴς
νῆσον Σειρήνοιιν· ἔπειγε γὰρ οὖρος ἀπήμων.
αὐτίκ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
ἔπλετο νηνεμίη, κοίμησε δὲ κύματα δαίμων.
ἀνστάντες δ᾽ ἕταροι νεὸς ἱστία μηρύσαντο
καὶ τὰ μὲν ἐν νηὶ γλαφυρῇ θέσαν, οἱ δ᾽ ἐπ᾽ ἐρετμὰ
ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν.
αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέι

ὁ ἀγέρας τὸ καράβι μας μαζὶ μὲ τὸν ποδότη.
Τότε εἶπα μὲ βαρειὰ καρδιὰ στοὺς φίλους μου συντρόφους·
"Καλὸ δὲν εἶναι, φίλοι μου, νὰ ξέρη ἕνας μονάχα
ἢ δυὸ, τὰ λόγια τὰ ἱερὰ ποὺ μοῦ 'πε ἡ θεία Κίρκη·
μόνε τὰ κρένω καὶ σ' ἐσᾶς, νὰ ξέρουμε ἂν θὰ βροῦμε
ζωή, ἢ ἂν θὰ ξεφύγουμε τὴ μοῖρα τοῦ θανάτου.
Πρῶτα, νὰ φεύγω ἀπ' τὴ φωνὴ τῶ φοβερῶ Σειρήνων
κι ἀπὸ τ' ἀνθολιβάδια τους, παράγγειλε μου ἡ Κίρκη.
Κι ἐγὼ μονάχος, εἶπε μου, ν' ἀκούσω τὴ φωνή τους·
στοῦ καταρτιοῦ τὴ ρίζα ἐσεῖς δέστε με τώρα ὁλόρθο,
καὶ καλοσφίξτε τῶ σκοινιῶν τὶς ἄκρες στὸ κατάρτι,
γερὰ κρατώντας με, κι ἐγὼ σὰ λέω νὰ μὲ ξελύστε,
ἐσεῖς ἀκόμα πιὸ σφιχτὰ νὰ δένετε τοὺς κόμπους."
᾽Εκεῖ ποὺ αὐτὰ τοὺς ἔλεγα καὶ τοὺς καλοξηγοῦσα,
στῶ δυὸ Σειρήνων τὸ νησὶ τ' ὥριο καράβι φτάνει,
ποὺ ὁ πρύμος τὸ γοργόσπρωχνε. Κι ἀμέσως καταπέφτει
τ' ἀγέρι, κι ἔρχεται λαμπρὴ στὴ θάλασσα γαλήνη,
σὰν κάποιος ν' ἀποκοίμισε θεὸς τὰ κύματά της.
Τότες αὐτοὶ σηκώθηκαν καὶ τὰ πανιὰ διπλῶσαν,
μὲς στὸ καράβι τά 'θεσαν, κι ἀράδα καθισμένοι,
μὲ τὰ καλόξυστα κουπιὰ τὶς θάλασσες ἀσπρίζαν·
Λιανίζω ἐγὼ τροχὸ κερὶ μὲ κοφτερὸ

χαλκῷ
τυτθὰ διατμήξας χερσὶ στιβαρῇσι πίεζον·
αἶψα δ᾽ ἰαίνετο κηρός, ἐπεὶ κέλετο μεγάλη ἴς
᾽Ηελίου τ᾽ αὐγὴ ῾Υπεριονίδαο ἄνακτος·
ἑξείης δ᾽ ἑτάροισιν ἐπ᾽ οὔατα πᾶσιν ἄλειψα.
οἱ δ᾽ ἐν νηί μ᾽ ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνῆπτον·
αὐτοὶ δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἀλλ᾽ ὅτε τόσσον ἀπῆμεν ὅσον τε γέγωνε βοήσας,
ῥίμφα διώκοντες, τὰς δ᾽ οὐ λάθεν ὠκύαλος νηῦς
ἐγγύθεν ὀρνυμένη, λιγυρὴν δ᾽ ἔντυνον ἀοιδήν·
"᾽δεῦρ᾽ ἄγ᾽ ἰών, πολύαιν᾽ ᾽Οδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
νῆα κατάστησον, ἵνα νωιτέρην ὄπ ἀκούσῃς.
οὐ γάρ πώ τις τῇδε παρήλασε νηὶ μελαίνῃ,
πρίν γ᾽ ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ᾽ ἀκοῦσαι,
ἀλλ᾽ ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.
ἴδμεν γάρ τοι πάνθ᾽ ὅσ᾽ ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν,
ἴδμεν δ᾽, ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.᾽
"ὣς φάσαν ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
ἤθελ᾽ ἀκουέμεναι, λῦσαί τ᾽ ἐκέλευον ἑταίρους
ὀφρύσι νευστάζων· οἱ δὲ προπεσόντες ἔρεσσον.
αὐτίκα δ᾽ ἀνστάντες Περιμήδης

μαχαίρι,
καὶ μὲ τ' ἀντρειωμένα μου τὸ καλοσφίγγω χέρια.
Καὶ τὸ κερὶ τὸ ζέσταινε ἡ μεγάλη δύναμη μου,
κι ὁ Ἥλιος ὁ ῾Υπερίονας μὲ τὶς θερμές του ἀχτίδες·
ἀράδα τότες ἔφραξα τ' αὐτιά τους ὁλωνῶνε,
κι ἐκεῖνοι χεροπόδαρα μὲ δέσανε στὸ πλοῖο
ὁλόρθο, καὶ καλόσφιξαν τὶς ἄκρες στὸ κατάρτι·
καὶ τὸν ἀστραφτερὸ γιαλὸ μὲ τὰ κουπιὰ βαροῦσαν.
Σὰν ἤρθαμε τόσο κοντὰ ποὺ ἀκούγεται ἂν φωνάξῃς,
γοργὰ τραβώντας, τό 'νιωσαν αὐτὲς τοῦ καραβιοῦ μας
τὸ διάβα, καὶ μᾶς σύρανε ψιλόφωνο τραγούδι·
"῎Ελα, καμάρι τῶν Ἀχαιῶν, πολύμνητε Ὀδυσσέα,
τὸ πλοῖο σου κράτα, τὴ γλυκειὰ φωνή μας γιὰ ν' ἀκούσῃς,
Δὲν πέρασε ἀπ' ἐδῶ κανεὶς μὲ μελανὸ καράβι,
χωρὶς ν' ἀκούσῃ ἀπὸ κοντὰ τὸ γλυκολάλημά μας,
παρὰ μισεύει χαίροντας ποὺ ἔμαθε κι ἄλλα ἀκόμα,
τὶ ξέρουμε ὅσα τράβηξαν μὲς στὴν πλατειὰ Τρωάδα
καὶ Τρωαδῖτες κι Ἀχαιοί, καθὼς οἱ θεοὶ τὰ ὁρίσαν,
καὶ ξέρουμε ὅσα γίνουνται στὴ γῆς τὴν πολυθρόφα."
Αὐτὰ μᾶς γλυκολάλησαν κι ἐγὼ ὅλο λαχταροῦσα
ν' ἀκούσω, καὶ τοὺς ἔγνεφα τοὺς ἄλλους νὰ μὲ λύσουν·
μὰ ἐκεῖνοι πέσαν στὸ κουπὶ κι ὀμπρὸς γοργοτραβοῦσαν.
Κι ὁ Εὐρύλοχος σηκώθηκε μαζὶ κι ὁ

Εὐρύλοχός τε
πλείοσί μ᾽ ἐν δεσμοῖσι δέον μᾶλλόν τε πίεζον.
αὐτὰρ ἐπεὶ δὴ τάς γε παρήλασαν, οὐδ᾽ ἔτ᾽ ἔπειτα
φθογγῆς Σειρήνων ἠκούομεν οὐδέ τ᾽ ἀοιδῆς,
αἶψ᾽ ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι,
ὅν σφιν ἐπ᾽ ὠσὶν ἄλειψ᾽, ἐμέ τ᾽ ἐκ δεσμῶν ἀνέλυσαν.
"ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκ᾽ ἔπειτα
καπνὸν καὶ μέγα κῦμα ἴδον καὶ δοῦπον ἄκουσα.
τῶν δ᾽ ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατ᾽ ἐρετμά,
βόμβησαν δ᾽ ἄρα πάντα κατὰ ῥόον· ἔσχετο δ᾽ αὐτοῦ
νηῦς, ἐπεὶ οὐκέτ᾽ ἐρετμὰ προήκεα χερσὶν ἔπειγον.
αὐτὰρ ἐγὼ διὰ νηὸς ἰὼν ὤτρυνον ἑταίρους
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
" ᾽ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονές εἰμεν·
οὐ μὲν δὴ τόδε μεῖζον ἔπει κακόν, ἢ ὅτε Κύκλωψ
εἴλει ἐνὶ σπῆι γλαφυρῷ κρατερῇφι βίηφιν·
ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε νόῳ τε,
ἐκφύγομεν, καί που τῶνδε μνήσεσθαι ὀίω.
νῦν δ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν
τύπτετε κληίδεσσιν ἐφήμενοι, αἴ κέ ποθι Ζεὺς
δώῃ τόνδε γ᾽ ὄλεθρον ὑπεκφυγέειν καὶ ἀλύξαι·

Περιμήδης
καὶ μὲ δεσμὰ περσότερα μὲ δέναν καὶ μὲ σφίγγαν.
Καὶ σὰν τὶς προσπεράσαμε, καὶ πιὰ μήτ' ἡ λαλιά τους
καὶ μήτε τὰ τραγούδια τους κοντά μας δὲν ἐρχόνταν,
ἔβγαλαν τότες τὸ κερὶ οἱ ἀγαπημένοι φίλοι,
ποὺ ἐγὼ στ' αὐτιὰ τοὺς ἄλειψα, κι ἀπ' τὰ δεσμὰ μὲ λῦσαν.
Μὰ ὅταν ἐκεῖνο τὸ νησὶ τ' ἀφήκαμε πιὰ πίσω,
ἕνα κῦμα καὶ καπνὸ, κι ἀχὸ μεγάλο ἀκούγω.
Τρομάξαν ὅλοι, τὰ κουπιὰ τοὺς φύγαν ἀπ' τὰ χέρια,
καὶ στὰ νερὰ βροντήξανε· καὶ στάθη τὸ καράβι,
ποὺ δὲν κρατοῦσαν πιὰ κουπιὰ μακριὰ γιὰ νὰ τὸ σπρώξουν.
Κι ἐγὼ στὸ πλοῖο γύριζα, καὶ κάθε σύντροφό μου
ζυγώνοντας, μὲ μαλακὰ τοὺς προσμιλοῦσα λόγια·
"Ἀδέρφια, ἐμεῖς ἀμάθητοι δὲν εἴμαστε ἀπὸ πάθια·
πάθημα αὐτὸ χειρότερο δὲν εἶναι δὰ ἀπ' ἐκεῖνα
ποὺ ἡ δύναμη τοῦ Κύκλωπα μᾶς ἔδωκε στὸ σπήλιο·
ὅμως καὶ τότε ἡ γνώση μου κι ὁ νοῦς κι ἡ ἀντρειοσύνη
μᾶς γλύτωσαν, καὶ πάντα αὐτὰ θὰ τὰ θυμᾶστε ἐλπίζω.
᾽Ελᾶτε τώρα, κι ὅ,τι πῶ νὰ τὸ καλοδεχτοῦμε.
᾽Εσεῖς αὐτοῦ μὲ τὰ, κουπιὰ στοὺς πάγκους καθισμένοι,
βαρᾶτε τ' ἄγρια κύματα, κι ἴσως τὸ δώση ὁ Δίας
καὶ πάλι τοῦ ξολοθρεμοῦ ξεφύγουμε τὴ μοῖρα.

σοὶ δέ, κυβερνῆθ', ὧδ' ἐπιτέλλομαι· ἀλλ' ἐνὶ θυμῷ
βάλλευ, ἐπεὶ νηὸς γλαφυρῆς οἰήια νωμᾷς.
τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
νῆα, σὺ δὲ σκοπέλου ἐπιμαίεο, μή σε λάθῃσι
κεῖσ' ἐξορμήσασα καὶ ἐς κακὸν ἄμμε βάλῃσθα.'
"ὣς ἐφάμην, οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
μή πώς μοι δείσαντες ἀπολλήξειαν ἑταῖροι
εἰρεσίης, ἐντὸς δὲ πυκάζοιεν σφέας αὐτούς.
καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
λανθανόμην, ἐπεὶ οὔ τί μ' ἀνώγει θωρήσσεσθαι·
αὐτὰρ ἐγὼ καταδὺς κλυτὰ τεύχεα καὶ δύο δοῦρε
μάκρ' ἐν χερσὶν ἑλὼν εἰς ἴκρια νηὸς ἔβαινον
πρῴρης· ἔνθεν γάρ μιν ἐδέγμην πρῶτα φανεῖσθαι
Σκύλλην πετραίην, ἥ μοι φέρε πῆμ' ἑτάροισιν.
οὐδέ πῃ ἀθρῆσαι δυνάμην, ἔκαμον δέ μοι ὄσσε
πάντῃ παπταίνοντι πρὸς ἠεροειδέα πέτρην.
"ἡμεῖς μὲν στεινωπὸν ἀνεπλέομεν γοόωντες·
ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις
δεινὸν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.
ἦ τοι ὅτ' ἐξεμέσειε, λέβης ὡς ἐν πυρὶ πολλῷ
πᾶσ' ἀναμορμύρεσκε κυκωμένη, ὑψόσε

Κι ἐσὺ, ποδότη, βάλε τὸ στὸ νοῦ σου ὅ,τι προστάζω,
γιατὶ τὸ δοιάκι ἐσὺ κρατᾶς καὶ κυβερνᾶς τὸ πλοῖο.
Ὄξω ἀπὸ κεῖνον τὸν καπνὸ κι ἀπὸ τὸ κῦμα βάστα,
καὶ πρὸς τὸ βράχο ζύγωνε, τὸ πλοῖο νὰ μὴ σοῦ φύγῃ,
καὶ πάρη δρόμο κατακεῖ, καὶ στὸ χαμὸ μᾶς ρίξῃς."
Αὐτὰ τοὺς εἶπα, κι ἄκουσαν τὰ λόγια μου ὅλοι τότες.
Μὰ γιὰ τῆς Σκύλλας τὸ κακὸ τ' ἀγιάτρευτο, οὔτε λόγο
δὲν εἶπα, μήπως φοβηθοῦν κι ἀφήσουν τὰ κουπιά τους,
καὶ στὰ βαθιὰ τοῦ καραβιοῦ κατέβουν καὶ κρυφτοῦνε.
Καὶ τότες δὲν τὴν ψήφησα τῆς Κίρκης τὴν ὁρμήνεια,
ποὺ μοῦ ἔλεγε νὰ μὴ φανῶ μὲ τὴν ἁρματωσιά μου,
παρὰ στοῦ πλοίου ἀνέβηκα τὴν πλώρη ἁρματωμένος,
κρατώντας δυὸ στὰ χέρια μου θεόμακρα κοντάρια·
τὶ κατακεῖ περίμενα πὼς θὰ πρωτόβγῃ ἡ Σκύλλα,
τοῦ βράχου τὸ φριχτὸ θεριὸ, ποὺ μοῦ ἔφαγε τοὺς φίλους.
Μὰ δὲν μποροῦσα νὰ τὴ δῶ· τὰ μάτια μου ἀποκάναν
κοιτώντας καὶ ξετάζοντας τοῦ βράχου τὰ σκοτάδια.
Καὶ τὸ στενὸ περνούσαμε μὲ βόγγο καὶ λαχτάρα·
ἐδῶθε ἡ Σκύλλα, κι ἀντικρὺ τῆς Χάρυβδης τὸ τέρας
ξαναρουφοῦσε τ' ἁρμυρὰ νερὰ τῆς κυματούσας.
Καὶ σὰν τὰ ξέρναε, σὰ βρασμὸς μὲς στὸ πυρὸ καζάνι
γουργούριζε ὅλη ἀνάκατη, κι ἡ ἄχνη

δ᾽ ἄχνη
ἄκροισι σκοπέλοισιν ἐπ᾽ ἀμφοτέροισιν ἔπιπτεν·
ἀλλ᾽ ὅτ᾽ ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ,
πᾶσ᾽ ἔντοσθε φάνεσκε κυκωμένη, ἀμφὶ δὲ πέτρη
δεινὸν ἐβεβρύχει, ὑπένερθε δὲ γαῖα φάνεσκε
ψάμμῳ κυανέη· τοὺς δὲ χλωρὸν δέος ᾕρει.
ἡμεῖς μὲν πρὸς τὴν ἴδομεν δείσαντες ὄλεθρον·
τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑταίρους
ἓξ ἕλεθ᾽, οἳ χερσίν τε βίηφί τε φέρτατοι ἦσαν.
σκεψάμενος δ᾽ ἐς νῆα θοὴν ἅμα καὶ μεθ᾽ ἑταίρους
ἤδη τῶν ἐνόησα πόδας καὶ χεῖρας ὕπερθεν
ὑψόσ᾽ ἀειρομένων· ἐμὲ δὲ φθέγγοντο καλεῦντες
ἐξονομακλήδην, τότε γ᾽ ὕστατον, ἀχνύμενοι κῆρ.
ὡς δ᾽ ὅτ᾽ ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ
ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων
ἐς πόντον προΐησι βοὸς κέρας ἀγραύλοιο,
ἀσπαίροντα δ᾽ ἔπειτα λαβὼν ἔρριψε θύραζε,
ὣς οἵ γ᾽ ἀσπαίροντες ἀείροντο προτὶ πέτρας·
αὐτοῦ δ᾽ εἰνὶ θύρῃσι κατήσθιε κεκληγῶτας
χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηιοτῆτι·
οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσι
πάντων, ὅσσ᾽ ἐμόγησα πόρους ἁλὸς ἐξερεείνων.

ξεπετιόταν
ψηλά, ὡς ἀπάνω στὶς κορφὲς τοῦ ἑνὸς καὶ τοῦ ἄλλου βράχου.
Καὶ πάλε τ' ἁρμυρὰ νερὰ σὰν τὰ ξαναρουφοῦσε,
ἀνάκατη ἀπομέσαθε φαινόταν, καὶ βροντοῦσε
ὁ βράχος γύρω φοβερά, καὶ κάτου ἡ γῆς φαινόταν
μαύρη ἀπ' τὸν ἄμμο, κι ἔτρεμαν αὐτοί, χλωμοὶ ἀπ' τὸ φόβο.
Κι ἐκεῖ καθὼς κοιτάζαμε, καταστροφὴ φοβώντας,
μοῦ ἁρπάζει ἡ Σκύλλα ἀπ' τὸ βαθὺ καράβι ἕξι νομάτους,
στὰ χέρια καὶ στὴ δύναμη τὰ πρῶτα παλληκάρια.
Κι ἐγὼ γυρίζοντας νὰ δῶ τοὺς ἄλλους στὸ καράβι,
τὰ χέρια καὶ τὰ πόδια τους ἀπάνωθε ἀγναντεύω,
ποὺ σηκωμένοι ἀνάερα χουγιάζανε μὲ πόνο,
καὶ μὲ φωνάζανε στερνὴ φορὰ μὲ τ' ὄνομά μου.
Κι ὅπως ψαρὰς μ' ἕνα μακρὺ ραβδὶ ἀπ' τὸν κάβο ρίχνει
στὰ μικρὰ ψάρια δόλωμα, καὶ κέρατο τινάζει
καλοῦ βοδιοῦ στὴ θάλασσα, κι ἅμα πιαστῇ τὸ ψάρι
στὴ γῆς ἀπάνω τὸ πετάει κι ἐκεῖνο σπαρταρίζει,
κι αὐτοὶ ἔτσι σπαρταρίζοντας στὸ βράχο κουβαλιόνταν,
καὶ τὸ θεριὸ τοὺς ἔτρωγε, καὶ ξεφωνίζαν ὅλοι,
σ' ἐμὲ τὰ χέρια ἁπλώνοντας στοῦ χάρου τὸν ἀγώνα.
Ἄλλο πιὸ θλιβερὸ ἀπ' αὐτὸ τὰ μάτια μου δὲν εἶδαν,
ἀπ' ὅλα ποὺ δοκίμασα τὶς θάλασσες περνώντας.

"αὐτὰρ ἐπεὶ πέτρας φύγομεν δεινήν τε Χάρυβδιν
Σκύλλην τ', αὐτίκ' ἔπειτα θεοῦ ἐς ἀμύμονα νῆσον
ἱκόμεθ'· ἔνθα δ' ἔσαν καλαὶ βόες εὐρυμέτωποι,
πολλὰ δὲ ἴφια μῆλ' Ὑπερίονος Ἠελίοιο.
δὴ τότ' ἐγὼν ἔτι πόντῳ ἐὼν ἐν νηὶ μελαίνῃ
μυκηθμοῦ τ' ἤκουσα βοῶν αὐλιζομενάων
οἰῶν τε βληχήν· καί μοι ἔπος ἔμπεσε θυμῷ
μάντηος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο.
δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ·
"'κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι,
ὄφρ' ὑμῖν εἴπω μαντήια Τειρεσίαο
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο·
ἔνθα γὰρ αἰνότατον κακὸν ἔμμεναι ἄμμιν ἔφασκεν.
ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.'
"ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ.
αὐτίκα δ' Εὐρύλοχος στυγερῷ μ' ἠμείβετο μύθῳ·
"'σχέτλιός εἰς, Ὀδυσεῦ· περί τοι μένος, οὐδέ τι γυῖα
κάμνεις· ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται,
ὅς ῥ' ἑτάρους καμάτῳ ἀδηκότας ἠδὲ

Κι ἀπ' τὴ φριχτὴ τὴ Χάρυβδη, τὴ Σκύλλα, καὶ τοὺς βράχους
σὰ φύγαμε, στὸ ὁλόχαρο νησί 'ρθαμε τοῦ Ἥλιου,
ποὺ οἱ ὡριες πλατυμέτωπες βοσκοῦσαν ἀγελάδες,
καὶ πρόβατα μαζὶ παχιὰ ποὺ ὁρίζει ὁ θεὸς περίσσια.
Ὄντας ἀκόμα στ' ἀνοιχτὰ γρικοῦσα ἀπ' τὸ καράβι
τὰ βόδια ποὺ μουγκρίζανε κεῖ ποὺ ἦταν μαντρισμένα,
καὶ τῶν προβάτων τὶς φωνές. Κι ἦρθε στὸ νοῦ μου ὁ λόγος
τοῦ Τειρεσία, τοῦ τυφλοῦ προφήτη ἀπὸ τὴ Θήβα,
μὰ καὶ τῆς Κίρκης, ποὺ πολὺ μοῦ σύσταιναν κι οἱ δυό τους
μακριὰ νὰ φεύγω ἀπ' τὸ νησὶ τοῦ Ἥλιου τοῦ φωτοδότη.
Καὶ τότες μὲ βαρειὰ καρδιὰ γυρνῶ καὶ λέω στοὺς φίλους·
"Ἀκοῦστε αὐτὸ ποὺ θὰ σᾶς πῶ, πολύπαθοι συντρόφοι.
Νὰ δῆτε τὶ μοῦ μάντεψαν ὁ Τειρεσίας στὸν Ἅδη
κι ἡ θεὰ τῆς Αἴας, ποὺ σοβαρὰ μοῦ σύστησαν κι οἱ δυό τους
μακριὰ νὰ φεύγω ἀπ' τὸ νησὶ τοῦ φωτοδότη τοῦ Ἥλιου,
τὶ φοβερή, λέει, συφορὰ μᾶς περιμένει ἐκεῖθε·
μόνε τραβᾶτε στ' ἀνοιχτὰ τὸ μελανὸ καράβι."

Αὐτά εἰπα· καὶ ραγίστηκε ἡ καρδιά τους σὰν τ' ἀκοῦσαν.
Τότες μὲ λόγια ὁ Εὐρύλοχος πικρὰ μοῦ ἀπολογιέται·
"Εἶσαι, Ὀδυσσέα, σκληρόκαρδος· μὲ δύναμη περίσσια,
ἀκούραστο, ἔχεις τὸ κορμί· κι ἀλήθεια σιδερένιο
πρέπει νὰ σοῦ 'ναι τὸ σκαρί, ποὺ ὁ κόπος κι

καὶ ὕπνῳ
 οὐκ ἐάᾳς γαίης ἐπιβήμεναι, ἔνθα κεν αὖτε
 νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον,
 ἀλλ᾽ αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας
νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέι πόντῳ.
 ἐκ νυκτῶν δ᾽ ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
γίγνονται· πῇ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
 ἦν πως ἐξαπίνης ἔλθῃ ἀνέμοιο θύελλα,
 ἢ Νότου ἢ Ζεφύροιο δυσαέος, οἵ τε μάλιστα
νῆα διαρραίουσι θεῶν ἀέκητι ἀνάκτων.
ἀλλ᾽ ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
 δόρπον θ᾽ ὁπλισόμεσθα θοῇ παρὰ νηὶ μένοντες,
 ἠῶθεν δ᾽ ἀναβάντες ἐνήσομεν εὐρέι πόντῳ.᾽
"ὣς ἔφατ᾽ Εὐρύλοχος, ἐπὶ δ᾽ ᾔνεον ἄλλοι ἑταῖροι.
καὶ τότε δὴ γίγνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων,
 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
"Εὐρύλοχ᾽, ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα.
 ἀλλ᾽ ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον·
 εἴ κέ τιν᾽ ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ᾽ οἰῶν
εὕρωμεν, μή πού τις ἀτασθαλίῃσι κακῇσιν
 ἢ βοῦν ἠέ τι μῆλον ἀποκτάνῃ· ἀλλὰ ἔκηλοι

ἡ ἀγρύπνια
 δαμάζει τοὺς συντρόφους σου, κι ἐσὺ δὲν τοὺς ἀφήνεις
 στὸ θαλασσόλουστο νησὶ νὰ βγοῦν καὶ νὰ τοιμάσουν
 δεῖπνο, νὰ φᾶνε νὰ χαροῦν, παρὰ τὴ μαύρη νύχτα
μᾶς θὲς νὰ παραδέρνουμε πάνω στ' ἀχνὰ πελάγη,
 πέρ' ἀπ' ἐκεῖνο τὸ νησί. Κι ἀπὸ τὶς νύχτες βγαίνουν
 πάντα οἱ ἀνέμοι οἱ φοβεροί, τῶν καραβιῶν ὁ τρόμος·
 καὶ πῶς μπορῆς τὴ συφορὰ τοῦ χάρου νὰ ξεφύγῃς,
 ἂν ἄξαφνα κακὴ Νοτιὰ γιὰ δύστροπος Πονέντης
σηκώση ἀνεμοστρόβιλο καὶ θαλασσοφουρτούνα,
 ποὺ δίχως νὰ ψηφάῃ θεοὺς τσακίζει τὰ καράβια ;
Μὰ ἂς κάνουμε τὸ θέλημα τῆς μαύρης νύχτας τώρα,
 δεῖπνο ἂς τοιμάσουμε κοντὰ στὸ βαθουλὸ καράβι,
 καὶ τὴν αὐγὴ τὸ βγάζουμε στὰ διάπλατα πελάγη."
 Αὐτὰ μοῦ λέει ὁ Εὐρύλοχος, κι οἱ ἄλλοι συφωνᾶνε,
Τό 'νιωσα τότες πὼς θεὸς γυρεύει τὸ κακό μου,
 καὶ μίλησά του κι εἶπα του μὲ λόγια φτερωμένα·
 "Εὐρύλοχε, εἶμαι μόνος μου, κι ἐσεῖς μὲ βιάζετε ὅλοι·
 μὰ ἐλᾶτε, κι ὅρκο ἀμώσετε τώρα ὅλοι ἐσεῖς μεγάλο,
 πὼς ἂν κοπάδια τύχουμε βοδιῶνε καὶ προβάτων,
δὲ θὰ σᾶς ἔρθη ἀστοχασιὰ νὰ κόψτε ἀρνιὰ καὶ βόδια,
 παρὰ ἥσυχοι θὰ χαίρεστε τῆς Κίρκης τὶς προμήθειες."

ἐσθίετε βρώμην, τὴν ἀθανάτη πόρε Κίρκη.’
"ὣς ἐφάμην, οἱ δ’ αὐτίκ’ ἀπώμνυον, ὡς ἐκέλευον.
αὐτὰρ ἐπεί ῥ’ ὅμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
στήσαμεν ἐν λιμένι γλαφυρῷ ἐυεργέα νῆα
ἄγχ’ ὕδατος γλυκεροῖο, καὶ ἐξαπέβησαν ἑταῖροι
νηός, ἔπειτα δὲ δόρπον ἐπισταμένως τετύκοντο.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
μνησάμενοι δὴ ἔπειτα φίλους ἔκλαιον ἑταίρους,
οὓς ἔφαγε Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε νήδυμος ὕπνος.
ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ’ ἄστρα βεβήκει,
ὦρσεν ἔπι ζαῆν ἄνεμον νεφεληγερέτα Ζεὺς
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ’ οὐρανόθεν νύξ.
ἦμος δ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
νῆα μὲν ὡρμίσαμεν κοῖλον σπέος εἰσερύσαντες.
ἔνθα δ’ ἔσαν νυμφέων καλοὶ χοροὶ ἠδὲ θόωκοι·
καὶ τότ’ ἐγὼν ἀγορὴν θέμενος μετὰ μῦθον ἔειπον·
"ὦ φίλοι, ἐν γὰρ νηὶ θοῇ βρῶσίς τε πόσις τε
ἔστιν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν·
δεινοῦ γὰρ θεοῦ αἵδε βόες καὶ ἴφια μῆλα,
Ἠελίου, ὃς πάντ’ ἐφορᾷ καὶ πάντ’

Εἶπα, καὶ μοῦ τ' ὁρκίστηκαν ἐκεῖνο ποὺ ζητοῦσα.
Καὶ στοὺς θεοὺς σὰν ἄμωσαν, καὶ πῆρε ὁ ὅρκος τέλος,
τ' ὥριο καράβι ἀράξαμε μὲς στὸ βαθιὸ λιμιώνα,
ποὺ εἶχε κοντὰ γλυκὸ νερό, καὶ βγῆκαν οἱ συντρόφοι
ἔξω στὴ γῆς, καὶ τοίμασαν τὸ δεῖπνο τους πιδέξια.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,
θυμήθηκαν καὶ κλάψανε τοὺς δύσμοιρους συντρόφους,
ποὺ ἅρπαξ' ἡ Σκύλλα κι ἔφαγε· κι ἐκεῖ ποὺ ἀκόμα κλαῖγαν,
ἤμερος ὕπνος ἔρχεται καὶ τοὺς ἀποκοιμίζει.
Στὴν τρίτη βίγλα τῆς νυχτός, τότες ποὺ τ' ἄστρα γέρνουν,
ἀνεμοζάλη σήκωσε ὁ Δίας ὁ συννεφάρης,
κι ἄγρια φουρτούνα ξέσπασε, ποὺ τύλιγε μὲ νέφια
στεριὲς μαζὶ καὶ πέλαγα, καὶ μαύριζε ὁ αἰθέρας.
Σὰ φάνη ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
στὸ βαθὺ σπήλιο σύραμε τὸ μελανὸ καράβι·
καὶ χοροστάσια εἶχαν ἐκεῖ κι ἔδρες λαμπρὲς οἱ Νύφες.
Κι ἐγὼ τότες τοὺς σύναξα, καὶ μίλησα τους κι εἶπα·
“Νά καὶ φαγί, νά καὶ πιοτὸ μὲς στὸ καράβι, ὦ φίλοι·
ὥστε ἀπ' τὰ βόδια ἂς λείψουμε, κακὸ νὰ μὴ μᾶς ἔρθη·
γιατὶ εἶναι φοβεροῦ θεοῦ τ' ἀρνιὰ κι οἱ ἀγελάδες,
τοῦ Ἥλιου, ποὺ ἀποπάνωθε τηράει κι

ἐπακούει.᾽
"ὣς ἐφάμην, τοῖσιν δ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.

μῆνα δὲ πάντ᾽ ἄλληκτος ἄη Νότος, οὐδέ τις ἄλλος
γίγνετ᾽ ἔπειτ᾽ ἀνέμων εἰ μὴ Εὖρός τε Νότος τε.
"οἱ δ᾽ ἦος μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρόν,
τόφρα βοῶν ἀπέχοντο λιλαιόμενοι βιότοιο.
ἀλλ᾽ ὅτε δὴ νηὸς ἐξέφθιτο ἤια πάντα,
καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
ἰχθῦς ὄρνιθάς τε, φίλας ὅ τι χεῖρας ἵκοιτο,
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός·
δὴ τότ᾽ ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσιν
εὐξαίμην, εἴ τίς μοι ὁδὸν φήνειε νέεσθαι.
ἀλλ᾽ ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους,
χεῖρας νιψάμενος, ὅθ᾽ ἐπὶ σκέπας ἦν ἀνέμοιο,
ἠρώμην πάντεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν·
οἱ δ᾽ ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχευαν.
Εὐρύλοχος δ᾽ ἑτάροισι κακῆς ἐξήρχετο βουλῆς·
"᾽κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι.
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι,
λιμῷ δ᾽ οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
ἀλλ᾽ ἄγετ᾽, ᾽Ηελίοιο βοῶν ἐλάσαντες ἀρίστας
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
εἰ δέ κεν εἰς ᾽Ιθάκην ἀφικοίμεθα,

ἀκούει τὰ πάντα."
Αὐτὰ εἶπα, κι ἡ λεβέντικη τὰ δέχτηκε ψυχή τους.
Ὡς τόσο ἀνέπαυος Νοτιὰς φυσοῦσε ὅλο τὸ μήνα,
κι ἀπὸ Σιρόκο καὶ Νοτιὰ καιρὸς δὲ φύσαγε ἄλλος.
Κι ὅσο τὸ στάρι βρίσκονταν καὶ τὸ κρασὶ τὸ μαῦρο,
τὰ βόδια δὲν τ' ἀγγίζανε, φοβώντας τὴ ζωή τους.
Μὰ σὰν ἀρχίσαν οἱ θροφὲς νὰ λείπουνε ἀπ' τ' ἀμπάρι,
κυνήγι νὰ ζητήσουνε γυρίζαν ἀπ' ἀνάγκη,
πιάνοντας ψάρια καὶ πουλιά, κι ὅ,τι ἔβρισκαν ὁμπρός τους,
τὶ ἡ πεῖνα τοὺς τὰ θέριζε τὰ σωθικά. Ἐγὼ τότες
μὲς στὸ νησὶ τραβήχτηκα παράκληση νὰ κάμω,
ἴσως καὶ μοῦ 'δειχνε ὁ θεὸς τοῦ γυρισμοῦ τὸ δρόμο.
Σέρνω στὰ μέσα τοῦ νησιοῦ, μακριὰ ἀπὸ τοὺς συντρόφους,
σὲ τόπο νίβω ἀπάνεμο τὰ χέρια, καὶ κατόπι
πρὸς ὅλους τοὺς ἀθάνατους προσεύκουμαι τοῦ Ὀλύμπου·
κι ἐκείνοι στὰ ματόφυλλα γλυκὰ μοῦ χῦσαν ὕπνο.
Τότε ὁ Εὐρύλοχος κακὴ πρωτάρχισε κουβέντα·
"Ἀκοῦστε, ὦ φίλοι, τὶ θὰ πῶ, πολὺ κι ἂν τυραννιέστε
πικρὸς ὁ κάθε θάνατος τῶν ἄμοιρων ἀνθρώπων,
μὰ ἀπ' ὅλους εἶναι πιὸ φριχτὸς τῆς πείνας νὰ πεθάνης.
Τοῦ Ἥλιου τὶς καλύτερες ἂς πάρουμε ἀγελάδες,
κι ἂς σφάξουμε ἑκατοβοδιὲς στοὺς θεοὺς νὰ μᾶς βοηθήσουν.
Κι ἂν φτάσουμε στὴν ποθητὴ πατρίδα μας,

πατρίδα γαῖαν,
αἶψά κεν Ἠελίῳ Ὑπερίονι πίονα νηὸν
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα
πολλὰ καὶ ἐσθλά.
εἰ δὲ χολωσάμενός τι βοῶν
ὀρθοκραιράων
νῆ᾽ ἐθέλῃ ὀλέσαι, ἐπὶ δ᾽ ἕσπωνται θεοὶ
ἄλλοι,

βούλομ᾽ ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ
θυμὸν ὀλέσσαι,
ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσῳ
ἐρήμῃ.᾽

"᾽ὣς ἔφατ᾽ Εὐρύλοχος, ἐπὶ δ᾽ ᾔνεον
ἄλλοι ἑταῖροι.
αὐτίκα δ᾽ Ἠελίοιο βοῶν ἐλάσαντες
ἀρίστας
ἐγγύθεν, οὐ γὰρ τῆλε νεὸς
κυανοπρῴροιο
βοσκέσκονθ᾽ ἕλικες καλαὶ βόες
εὐρυμέτωποι·
τὰς δὲ περίστησάν τε καὶ εὐχετόωντο
θεοῖσιν,
φύλλα δρεψάμενοι τέρενα δρυὸς
ὑψικόμοιο·
οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐυσσέλμου ἐπὶ
νηός.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ ἔσφαξαν καὶ
ἔδειραν,
μηρούς τ᾽ ἐξέταμον κατά τε κνίσῃ
ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽
ὠμοθέτησαν.
οὐδ᾽ εἶχον μέθυ λεῖψαι ἐπ᾽ αἰθομένοις
ἱεροῖσιν,
ἀλλ᾽ ὕδατι σπένδοντες ἐπώπτων
ἔγκατα πάντα.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη καὶ
σπλάγχνα πάσαντο,
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽
ὀβελοῖσιν ἔπειραν.

τὸ Θιάκι,
τοῦ Ἥλιου τοῦ Ὑπερίονα ναὸ θὰ χτίσουμε
ὥριο,
καὶ δῶρα μέσα διαλεχτὰ θὰ βάλουμε
περίσσια.
Κι ἂν πάλε τὰ ὀρθοκέρατα σὰ χάση βόδια
ὁ Ἥλιος
χολιάση, καὶ νὰ σπάση μας θελήση τὸ
καράβι,
κι οἱ ἄλλοι θεοὶ τὸ στέργουνε, κάλλιο στὸ
κῦμα ἀπάνω
μιὰ καὶ καλὴ νὰ καταπιῶ νερὸ νὰ
ξεψυχήσω,
παρὰ νὰ λυώνω σιγανὰ σ' αὐτὸ τὸ
ρημονήσι."
Αὐτὰ τοὺς εἶπε ὁ Εὐρύλοχος, κι ἐκεῖνοι
συμφωνοῦσαν.
Καὶ τοῦ Ἥλιου τὶς καλύτερες μαζῶξαν
ἀγελάδες
ἐκεῖ σιμά,— δὲ βόσκανε μακριὰ ἀπ' τὸ
μαῦρο πλοῖο
οἱ ἀγελάδες οἱ ὄμορφες, λοξὲς καὶ
κουτελάτες,—
κι ὁλόγυρά τους ἔλεγαν εὐκὲς τῶν
ἀθανάτων,
ἀπό 'να ἰδρὺ ἁψηλόκλωνο χλωρὰ
μαδώντας φύλλα,
τὶ ἀσπρουδερὸ δὲν εἶχανε κριθάρι στὸ
καράβι.
Καὶ σὰν προσευκηθήκανε, καὶ σφάξανε καὶ
γδάραν,
τότες λιανίσαν τὰ μεριά, τὰ τύλιξαν μὲ
σκέπη,
τὰ δίπλωσαν κι ἀπὸ παντοῦ κομμάτια
ὠμὰ τοὺς θέσαν,
ὅμως κρασὶ δὲν εἶχανε στ' ἅγια σφαχτὰ νὰ
χύσουν,
μόνε τοὺς στάξανε νερὸ στὴ φλόγα σὰν
ψηνόνταν.
Καὶ σὰν καῆκαν τὰ μεριὰ καὶ γεύτηκαν τὰ
σπλάχνα,
κόψανε τ' ἄλλα κι ὕστερα τὰ πέρασαν στὴ
σούβλα.

καὶ τότε μοι βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος,
βῆν δ᾽ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
ἀλλ᾽ ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδὺς ἀυτμή.
οἰμώξας δὲ θεοῖσι μέγ᾽ ἀθανάτοισι γεγώνευν·
"Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
ἦ με μάλ᾽ εἰς ἄτην κοιμήσατε νηλέι ὕπνῳ.
οἱ δ᾽ ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.᾽
"ὠκέα δ᾽ Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθε
Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταμεν ἡμεῖς.
αὐτίκα δ᾽ ἀθανάτοισι μετηύδα χωόμενος κῆρ·
"Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
τῖσαι δὴ ἑτάρους Λαερτιάδεω Ὀδυσῆος,
οἵ μευ βοῦς ἔκτειναν ὑπέρβιον, ᾗσιν ἐγώ γε
χαίρεσκον μὲν ἰὼν εἰς οὐρανὸν ἀστερόεντα,
ἠδ᾽ ὁπότ᾽ ἂψ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανόθεν προτραποίμην.
εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιεικέ᾽ ἀμοιβήν,
δύσομαι εἰς Ἀίδαο καὶ ἐν νεκύεσσι φαείνω.᾽
"τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"Ἥλι᾽, ἦ τοι μὲν σὺ μετ᾽ ἀθανάτοισι φάεινε
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
τῶν δέ κ᾽ ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι

Τότες ὁ ὕπνος ὁ γλυκὸς τὰ βλέφαρά μου ἀφῆκε,
καὶ στ' ἀκρογιάλι κίνησα πρὸς τὸ γοργὸ καράβι.
Μὰ μόλις στὸ καλόφτιαστο σιμὰ καράβι πῆγα,
ἦρθε τῆς τσίκνας ὁ γλυκὸς καπνὸς ὁλόγυρά μου.
Καὶ τότες στοὺς ἀθάνατους στενάζοντας φωνάζω·
"Δία πατέρα, καὶ θεοὶ μακαριστοὶ κι αἰώνιοι,
σὲ ὕπνο βαρὺ μὲ ρίξατε γιὰ συφορά μου ἀλήθεια,
κι αὐτοὶ ποὺ μείνανε φριχτὴ δουλειὰ μοῦ σοφιστῆκαν."
Κι ἡ Λαμπετὴ ἡ μακρόπεπλη τρέχει μηνάει στὸν Ἥλιο
πὼς τὶς καλές του πήγαμε καὶ σφάξαμε ἀγελάδες.
Κι ἐκεῖνος στοὺς ἀθάνατους φωνάζει χολωμένος·
"Δία πατέρα, καὶ θεοὶ μακαριστοὶ κι αἰώνιοι,
τοὺς φίλους γδικιωθῆτε μου τοῦ Ὀδυσσέα, ποὺ πῆγαν
καὶ μὅσφαξαν ἀδιάντροπα τὰ βόδια ποὺ χαιρόμουν
νὰ τὰ θωρῶ ἀνεβαίνοντας τὸν οὐρανὸ μὲ τ' ἄστρα,
καὶ σὰ γυρνοῦσα πρὸς τὴ γῆς ἀπ' τ' οὐρανοῦ τὰ ὕψη.
Κι ἂν πλερωμὴ πρεπούμενη δὲ δώσουνε, θὰ φύγω
κάτου στὸν Ἅδη, στοὺς νεκροὺς τὸ φῶς μου νὰ χαρίζω."
Κι ὁ Δίας τοῦ ἀποκρένεται ὁ συννεφομαζώχτης·
"Τὸ φῶς σου στοὺς ἀθάνατους χύνε ἐσὺ τώρα, ὦ Ἥλιε,
καὶ στοὺς θνητοὺς ποὺ κατοικοῦν τὴ γῆς τὴν τροφοδότρα,
καὶ μὲ τ' ἀστροπελέκι μου, στὴ μέση τοῦ

κεραυνῷ
τυτθὰ βαλὼν κεάσαιμι μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
"ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠυκόμοιο·
ἡ δ' ἔφη Ἑρμείαο διακτόρου αὐτὴ ἀκοῦσαι.
"αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
νείκεον ἄλλοθεν ἄλλον ἐπισταδόν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, βόες δ' ἀποτέθνασαν ἤδη.
τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέραα προύφαινον·
εἶρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖσι μεμύκει,
ὀπταλέα τε καὶ ὠμά, βοῶν δ' ὡς γίγνετο φωνή.
"ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
δαίνυντ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας·
ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο λαίλαπι θύων,
ἡμεῖς δ' αἶψ' ἀναβάντες ἐνήκαμεν εὐρέι πόντῳ,
ἱστὸν στησάμενοι ἀνά θ' ἱστία λεύκ' ἐρύσαντες.
"ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
νηὸς ὕπερ γλαφυρῆς, ἦχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
ἡ δ' ἔθει οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε
κεκληγὼς Ζέφυρος μεγάλῃ σὺν λαίλαπι θύων,

πελάγου,
θὰ τοὺς τὸ σκίσω ἐγὼ στὰ δυὸ τὸ γοργοκάραβό τους."
Τ' ἄκουσ' αὐτὰ ἀπ' τὴν Καλυψὼ τὴν ὁμορφομαλλοῦσα,
ποὺ ἀπ' τὸν Ἑρμῆ τὸ μηνυτὴ μοῦ εἶπε πὼς τά 'χε ἀκούσει.
Καὶ στὸ γιαλὸ σὰν ἔφτασα καὶ πῆγα στὸ καράβι,
τοὺς πῆρα καὶ τοὺς μάλωσα χώρια καθέναν, κι ὅμως
γιατρειὰ δὲ βρίσκαμε καμιά· νεκρὲς πιὰ οἱ ἀγελάδες.
Κατόπι μᾶς φανέρωσαν οἱ ἀθάνατοι σημάδια·
πετσιὰ σερνόνταν, κρέατα μουγγρίζανε ἀπ' τὶς σοῦβλες,
ψητὰ κι ὠμὰ, κι ἀκούγαμε μουκανητὰ βοδιῶνε.
Ἔξι μερόνυχτα ἔτρωγαν οἱ βλάμηδες συντρόφοι
τοῦ Ἥλιου τὰ πιὸ διαλεχτὰ ποὺ εἶχαν ἁρπάξει βόδια·
σὰν ἔφερε τοῦ Κρόνου ὁ γιὸς τὴν ἕβδομη τὴ μέρα,
ἔπεσε τότε ὁ ἄνεμος, σιγάνεψε ἡ φουρτούνα·
κι ἐμεῖς στὸ πλοῖο ποὺ μπήκαμε, τὸ βγάλαμε πελάγου,
καὶ τὸ κατάρτι στήσαμε, μ' ἄσπρα πανιὰ ἁπλωμένα.
Μὰ τὸ νησὶ ἄμ' ἀφήσαμε, κι ἄλλη στεριὰ τριγύρω
δὲ φαίνονταν, παρὰ οὐρανὸς καὶ θάλασσα παντοῦθε,
σύννεφο μαῦρο ἀπάνω μας τοῦ Κρόνου ὁ γιὸς ἁπλώνει,
ποὺ θεοσκότεινα ἔγιναν τὰ πέλαγα ἀποκάτου.
Πολλὴ ὥρα δὲν ἀρμένισε ἀπὸ τότες τὸ καράβι·
τ' ἦρθε Πονέντης ἄξαφνος μ' ἄγρια μαζὶ φουρτούνα,

ἱστοῦ δὲ προτόνους ἔρρηξ᾽ ἀνέμοιο θύελλα
ἀμφοτέρους· ἱστὸς δ᾽ ὀπίσω πέσεν, ὅπλα τε πάντα
εἰς ἄντλον κατέχυνθ᾽. ὁ δ᾽ ἄρα πρυμνῇ ἐνὶ νηὶ
πλῆξε κυβερνήτεω κεφαλήν, σὺν δ᾽ ὀστέ᾽ ἄραξε
πάντ᾽ ἄμυδις κεφαλῆς· ὁ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ἐοικὼς
κάππεσ᾽ ἀπ᾽ ἰκριόφιν, λίπε δ᾽ ὀστέα θυμὸς ἀγήνωρ.
Ζεὺς δ᾽ ἄμυδις βρόντησε καὶ ἔμβαλε νηὶ κεραυνόν·
ἡ δ᾽ ἐλελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
ἐν δὲ θεείου πλῆτο, πέσον δ᾽ ἐκ νηὸς ἑταῖροι.
οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
κύμασιν ἐμφορέοντο, θεὸς δ᾽ ἀποαίνυτο νόστον.

ὣς τόσο ἐγὼ βαστιόμουνα μὲς στὸ αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ᾽ ἀπὸκαράβι, ὡσότου τοίχους
λῦσε κλύδων τρόπιος, τὴν δὲ ψιλὴν φέρε κῦμα,
ἐκ δέ οἱ ἱστὸν ἄραξε ποτὶ τρόπιν. αὐτὰρ ἐπ᾽ αὐτῷ
ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς·

τῷ ῥ᾽ ἄμφω συνέεργον, ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν,
ἐζόμενος δ᾽ ἐπὶ τοῖς φερόμην ὀλοοῖς ἀνέμοισιν.
"ἔνθ᾽ ἦ τοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων,
ἦλθε δ᾽ ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
ὄφρ᾽ ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.
παννύχιος φερόμην, ἅμα δ᾽ ἠελίῳ

κι ἔσπασε ὁ σίφουνας τὰ δυὸ τὰ ξάρτια στὸ κατάρτι·
κι ἐπεσε πρὸς τὰ πίσω αὐτό, καὶ τ' ἄρμενα στ' ἀμπάρι· ^
καὶ τὸ κατάρτι πέφτοντας στὴν πρύμη τὸν ποδότη
πὰς στὸ κεφάλι χτύπησε· λυῶμα τὰ καύκαλά του,
κι αὐτὸς ἀπὸ τὸ κάσαρο σὰ βουτηχτὴς γκρεμίστη,
καὶ πέταξε ἀπ' τὰ κόκκαλα ἡ λεβέντικη ψυχή του.
Τότες ὁ Δίας βρόντηξε, καὶ μὲ τ' ἀστροπελέκι
χτυπάει τὸ πλοῖο, κι ὁλόβολο τ' ἀναποδογυρίζει,
γεμάτο θειάφι· πέφτουνε στὴ θάλασσα οἱ συντρόφοι,
γύρω στὸ μαυροκάραβο γυρνώντας σὰν κουροῦνες,
καὶ χέρι θεοῦ τοὺς ἔκοβε τοῦ γυρισμοῦ τὴ γλύκα.
Ὡς τόσο ἐγὼ βαστιόμουνα μὲς στὸ
ἀπ' τὴν καρίνα τὰ πλευρὰ ξεκάρφωσε ἡ φουρτούνα,
κι ἔτσι γυμνὴ τὴν ἔσερνε τὸ κῦμα· τὸ κατάρτι
σπασμένο χτύπαγε σ' αὐτή· μ' ἀπάνω του μαντάρι
φτιαγμένο ἀπὸ βοδόπετσο κρατοῦσε περασμένο.
Μ' αὐτὸ συνέδεσα τὰ δυὸ, καρίνα καὶ κατάρτι,
κάθισ' ἀπάνω κι οἱ ἄνεμοι μὲ πῆραν οἱ ὀργισμένοι.
Ἡ ἄγρια τότες ἔπαψε φουρτούνα τοῦ Πονέντη,
κι ἦρθε καὶ φύσηξε Νοτιάς, σὲ πάθια νὰ μὲ ρίξη,
στὴν τρομερὴ τὴ Χάρυβδη καὶ πάλε ν' ἀρμενίσω.
Ὁλονυχτὶς δερνόμουνα, καὶ σάνε φάνη ὁ

ἀνιόντι ἦλθον ἐπὶ Σκύλλης σκόπελον δεινήν τε Χάρυβδιν.
ἡ μὲν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ·
αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ' ἀερθείς,
τῷ προσφὺς ἐχόμην ὡς νυκτερίς. οὐδέ πῃ εἶχον
οὔτε στηρίξαι ποσὶν ἔμπεδον οὔτ' ἐπιβῆναι·
ῥίζαι γὰρ ἑκὰς εἶχον, ἀπήωροι δ' ἔσαν ὄζοι,
μακροί τε μεγάλοι τε, κατεσκίαον δὲ Χάρυβδιν.
νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσειεν ὀπίσσω
ἱστὸν καὶ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθον
ὄψ'· ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη
κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
τῆμος δὴ τά γε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.
ἦκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,
μέσσῳ δ' ἐνδούπησα παρὲξ περιμήκεα δοῦρα,
ἑζόμενος δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῇσι.

Σκύλλην δ' οὐκέτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε
εἰσιδέειν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.

"ἔνθεν δ' ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ
νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
ναίει ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,

Ἥλιος στὴ μαύρη Χάρυβδη ἔφτασα καὶ στὸν γκρεμὸ τῆς Σκύλλας.
Καθὼς ρουφοῦσε ἡ Χάρυβδη τῆς θάλασσας τὴν ἅρμη,
ἐγὼ κατὰ τὸν ἀψηλὸ τοῦ βράχου ὀρνιὸ πετιέμαι,
καὶ τὸ κορμί μου κόλλησε σὰ νυχτερίδα ἀπάνω.
Δὲν εἶχα ποῦ τὸ πόδι μου νὰ βάλω νὰ πατήσω,
τὶ οἱ ρίζες ἤτανε μακριά, καὶ τὰ τρανὰ κλωνιά του
ἁπλώνονταν ἀνάερα τὴ Χάρυβδη νὰ ἰσκιώσουν.
Ἐκεῖ γερὰ κρατιόμουνα, προσμένοντας τὸ τέρας
νὰ μοῦ ξεράση στὰ νερὰ καρίνα καὶ κατάρτι.
Ἀργὰ πολὺ φανήκανε, σὰ μ' ἔφαγε ἡ λαχτάρα·
μόλις τὴν ὥρα ποὺ κριτὴς σηκώνεται γιὰ δεῖπνο,
ἀφοῦ τὶς διαφορὲς πολλῶν ἀνθρώπων καθαρίση,
πομέσα ἀπὸ τὴ Χάρυβδη ξεπρόβαλαν τὰ ξύλα.
Χέρια καὶ πόδια λεύτερα τότες ἀφήνω ἀμέσως,
μέσα στὸ κῦμα βρόντηξα, παρόξω ἀπὸ τὰ ξύλα,
καθίζω, καὶ τὰ χέρια μου κάνω κουπιὰ καὶ λάμνω.
Ὅμως τὴ Σκύλλα πιὰ νὰ δῶ δὲν ἄφησε ὁ πατέρας
τῶν θεῶν κι ἀνθρώπων· εἰδεμή, κι ἐγὼ θ' ἀφανιζόμουν.
Μέρες ἐννιὰ πλανιόμουνα· τὴ δέκατη τὴ νύχτα
στὴν Ὠγυγία μὲ φέρανε οἱ θεοί, ποὺ λημεριάζει
ἡ Καλυψὼ ἡ ὡριόμαλλη κι ἡ φοβερὴ θεούλα.

ἥ μ᾽ ἐφίλει τ᾽ ἐκόμει τε. τί τοι τάδε μυθολογεύω;
ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ οἴκῳ
σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοί ἐστιν
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν."

Μ' ἀγάπαε καὶ μὲ νοιάζονταν. Τί νὰ τὰ ξαναλέγω ;
Ἐχτὲς μὲς στὸ παλάτι σου κι ἐσὲ καὶ τῆς κυρᾶς σου,
σᾶς τὰ διηγήθηκα ὅλ' αὐτά· καὶ δὲ μ' ἀρέσει ἐκεῖνα
ποὺ καθαρὰ ἀνιστόρησα, νὰ τὰ διηγέμαι πάλε.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ν
Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων.
Ὀδυσσέως ἄφιξις εἰς Ἰθάκην.
Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
κηληθμῷ δ᾽ ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
"ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ,
ὑψερεφές, τῷ σ᾽ οὔ τι παλιμπλαγχθέντα γ᾽ ὀΐω
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὑμέων δ᾽ ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ᾽ ἐμοῖσιν, ἀκουάζεσθε δ᾽ ἀοιδοῦ.
εἵματα μὲν δὴ ξείνῳ ἐϋξέστῃ ἐνὶ χηλῷ
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλα τε πάντα
δῶρ᾽, ὅσα Φαιήκων βουληφόροι ἐνθάδ᾽ ἔνεικαν·
ἀλλ᾽ ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα

Αὐτὰ τοὺς εἶπε, κι ὅλοι τους σωπαίνανε ὁμπροστά του,
δεμένοι ἀπὸ τὸ μάγιο του μὲς στὰ ἰσκιερὰ παλάτια.
Τότες ἀπολογιέται του ὁ Ἀλκίνος καὶ τοῦ κρένει·
"Μιὰς κι ἦρθες στὰ χαλκόστρωτα καὶ στ' ἀψηλά μου σπίτια,
θαρρῶ πὼς δὲ θὰ πλανεθῆς, Δυσσέα, στὸ γυρισμό σου,
μόνε ὅσα πρὶν κι ἂν ἔπαθες, στὸν τόπο σου θὰ φτάσης.
Καὶ στὸν καθέναν ἀπὸ σᾶς ποὺ μέσα στὸ παλάτι
τὸ διαλεχτό μου πίνετε κρασὶ καὶ τὸ φλογάτο,
καὶ τὰ τραγούδια χαίρεστε, νά, τὶ θὰ πῶ, κι ἀκοῦτε.
Μέσα στὸ λαμπροκάμωτο σεντούκι 'ναι τὰ ροῦχα,
τὸ δουλεμένο μάλαμα καὶ τὰ φιλέματα ὅλα,
ποὺ ἐδῶ τοῦ ξένου φέρανε οἱ ἀρχόντοι τῶ Φαιάκων·
τώρα μεγάλο τρίποδα ἂς τοῦ βροῦμε καὶ

ἀνδρακάς· ἡμεῖς δ᾽ αὖτε ἀγειρόμενοι κατὰ δῆμον
τισόμεθ᾽· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι."
ὣς ἔφατ᾽ Ἀλκίνοος, τοῖσιν δ᾽ ἐπιὴνδανε μῦθος.
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
νῆάδ᾽ ἐπεσσεύοντο, φέρον δ᾽ εὐήνορα χαλκόν.
καὶ τὰ μὲν εὖ κατέθηχ᾽ ἱερὸν μένος Ἀλκινόοιο,
αὐτὸς ἰὼν διὰ νηὸς ὑπὸ ζυγά, μή τιν᾽ ἑταίρων
βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ᾽ ἐρετμοῖς.
οἱ δ᾽ εἰς Ἀλκινόοιο κίον καὶ δαῖτ᾽ ἀλέγυνον.
τοῖσι δὲ βοῦν ἱέρευσ᾽ ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
μῆρα δὲ κήαντες δαίνυντ᾽ ἐρικυδέα δαῖτα
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδός,
Δημόδοκος, λαοῖσι τετιμένος. αὐτὰρ Ὀδυσσεὺς
πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ δόρποιο λιλαίεται, ᾧ τε πανῆμαρ
νειὸν ἀν᾽ ἕλκητον βόε οἴνοπε πηκτὸν ἄροτρον·
ἀσπασίως δ᾽ ἄρα τῷ κατέδυ φάος ἠελίοιο
δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ᾽ ἰόντι·

λεβέτι
καθένας μας κατόπι ἐμεῖς συνάζουμε ἀπ' τὸ δῆμο·
τὶ εἶναι βαρὺ ἀπ' ἐλόγου του νὰ δίνη ἕνας μονάχος."
Εἶπε ὁ Ἀλκίνος, κι ἄρεσαν τὰ λόγια του στοὺς ἄλλους.
Καθένας τότες κίνησε στὸ σπίτι νὰ πλαγιάση.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ μὲ τὸ στέριο χάλκωμα πᾶνε γιὰ τὸ καράβι.
Ἴδιος του μπῆκε ὁ ἀντρόκαρδος ὁ Ἀλκίνος στὸ καράβι,
καὶ μέσα τὰ καλόθεσε στοὺς πάγκους ἀποκάτου,
νὰ μὴ σκοντάβουν σὰν τραβᾶν κουπὶ τὰ παλληκάρια.
Κι ἐκεῖνοι πῆγαν νὰ χαροῦν τοῦ Ἀλκίνου τὸ γιορτάσι.
Καὶ βόδι αὐτὸς τοὺς ἔσφαξε, θυσία στὸ γιὸ τοῦ Κρόνου,
τὸ Δία τὸ μαυρονέφελο, πού 'ναι ὅλων βασιλέας.
Καὶ τὰ μεριὰ σὰν ἔκαψαν, στὸ θεόλαμπρο τραπέζι
φραινόνταν· καὶ τραγούδα τους ὁ κοσμοτιμημένος
καὶ θεϊκὸς τραγουδιστὴς Δημόδοκος. Ὡς τόσο
συχνὰ στὸν ἥλιο γύριζε τὴν κεφαλὴ ὁ Δυσσέας,
τὸ γέρμα λαχταρίζοντας, καὶ γυρισμὸ ποθώντας.
Καὶ σὰν ποὺ δεῖπνο ὀρέγεται ὁ ἀργάτης ποὺ ὁλημέρα
τὰ μαῦρα βόδια τοῦ 'σερναν τὸ ἀλέτρι στὰ χωράφια,
καὶ βλέπει μὲ χαρὰ τὸ φῶς τοῦ ἥλιου νὰ βασιλεύη,
καὶ στὸ φαγὶ πηγαίνοντας τὰ γόνατά του τρέμουν,

ὣς Ὀδυσῆ᾽ ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·

"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ᾽ αὐτοί·
ἤδη γὰρ τετέλεσται ἅ μοι φίλος ἤθελε θυμός,
πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ Οὐρανίωνες
ὄλβια ποιήσειαν· ἀμύμονα δ᾽ οἶκοι ἄκοιτιν
νοστήσας εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισιν.
ὑμεῖς δ᾽ αὖθι μένοντες ἐϋφραίνοιτε γυναῖκας
κουριδίας καὶ τέκνα· θεοὶ δ᾽ ἀρετὴν ὀπάσειαν
παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπήνεον ἠδ᾽ ἐκέλευον
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
"Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ᾽ εὐξάμενοι Διὶ πατρὶ
τὸν ξεῖνον πέμπωμεν ἐὴν ἐς πατρίδα γαῖαν."
ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα,
νώμησεν δ᾽ ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
αὐτόθεν ἐξ ἑδρέων. ἀνὰ δ᾽ ἵστατο δῖος

τέτοια χαρά 'φερε τοῦ ἥλιου τὸ γέρμα στὸ Δυσσέα.
Καὶ γλήγορα στοὺς Φαίακες ποὺ τὸ κουπὶ ἀγαπᾶνε,
μὰ στὸν Ἀλκίνο ξέχωρα, μίλησε τότες κι εἶπε·
"Ἀλκίνο, πρῶτε βασιλιά, καὶ τῶ λαῶν καμάρι,
κάμετε στάξες, στεῖλτε με μὲ τὸ καλό, καὶ γειά σας.
Τὶ τώρα πιὰ τελέστηκαν ὅσα ἤθελε ἡ καρδιά μου,
ταξίδι καὶ χαρίσματα, ποὺ οἱ θεοὶ νὰ τὰ βλογᾶνε,
νὰ ξαναβρῶ τὸ σπίτι μου καὶ τὴν καλὴ γυναίκα,
καὶ νὰ γυρίσω ἀνάμεσα στοὺς ἀκριβούς μου φίλους.
Κι ἐσεῖς ποὺ ἐδῶ ἀπομνήσκετε, νά 'στε ἡ χαρὰ γιὰ πάντα
τῶ γυναικῶν καὶ τέκνω σας, κι οἱ θεοὶ νὰ σᾶς φυλᾶνε,
καὶ συφορὲς ἡ χώρα σας ποτὲς νὰ μὴ γνωρίση."
Αὐτὰ εἶπε, καὶ τὰ λόγια του καλοδεχτῆκαν ὅλοι,
κι εἶπαν ὁ ξένος νὰ σταλῆ, γιατὶ σωστὰ μιλοῦσε.
Καὶ λάλησε τοῦ κήρυκα ὁ ἀντρόψυχος ὁ Ἀλκίνος·
"Σμίξε, Ποντόνε, τὸ κρασὶ καὶ μοίρασέ το σὲ ὅλους·
μὲς στὸ παλάτι, προσευκὲς νὰ κάμουμε τοῦ Δία,
κι ἀπὲ νὰ προβοδήσουμε τὸν ξένο στὸ νησί του."
Εἶπε, καὶ πρόσγλυκο κρασὶ τοὺς ἔσμιξε ὁ Ποντόνος,
καὶ σ' ὅλους γύρω μοίρασε· κι ἐκεῖνοι ἀπὸ τὶς ἕδρες
στοὺς τρισμακάριστους θεοὺς πού 'ναι στὰ οὐράνια, στάξαν.
Τότες σηκώθηκε ὁ τρανὸς Δυσσέας, στῆς

Ὀδυσσεύς,
Ἀρήτῃ δ᾽ ἐν χειρὶ τίθει δέπας ἀμφικύπελλον,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰς ὅ κε γῆρας
ἔλθῃ καὶ θάνατος, τά τ᾽ ἐπ᾽ ἀνθρώποισι πέλονται.
αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ᾽ ἐνὶ οἴκῳ
παισί τε καὶ λαοῖσι καὶ Ἀλκινόῳ βασιλῆϊ."
ὣς εἰπὼν ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς,
τῷ δ᾽ ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο,
ἡγεῖσθαι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
Ἀρήτη δ᾽ ἄρα οἱ δμῳὰς ἅμ᾽ ἔπεμπε γυναῖκας,
τὴν μὲν φᾶρος ἔχουσαν ἐϋπλυνὲς ἠδὲ χιτῶνα,
τὴν δ᾽ ἑτέρην χηλὸν πυκινὴν ἅμ᾽ ὄπασσε κομίζειν·
ἡ δ᾽ ἄλλη σῖτόν τ᾽ ἔφερεν καὶ οἶνον ἐρυθρόν.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
αἶψα τά γ᾽ ἐν νηῒ γλαφυρῇ πομπῆες ἀγαυοὶ
δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἄπασαν·
κὰδ δ᾽ ἄρ᾽ Ὀδυσσῆϊ στόρεσαν ῥῆγός τε λίνον τε
νηὸς ἐπ᾽ ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι,
πρυμνῆς· ἂν δὲ καὶ αὐτὸς ἐβήσετο καὶ κατέλεκτο
σιγῇ· τοὶ δὲ καθῖζον ἐπὶ κληῖσιν ἕκαστοι
κόσμῳ, πεῖσμα δ᾽ ἔλυσαν ἀπὸ τρητοῖο λίθοις.

Ἀρήτης
τὰ χέρια τὸ διπλόκουπο παράδωσε ποτήρι,
καὶ λάλησε της κι εἶπε της μὲ φτερωμένα λόγια·
"Γειά σου, χαρά σου ὁλοζωῆς, βασίλισσα, ὥσπου νά 'ρθουν
τὰ γερατειὰ κι ὁ θάνατος, ποὺ τοὺς θνητοὺς προσμένουν·
μισεύω τώρα, κι εὔκουμαι νὰ χαίρεσαι ἐδῶ μέσα
τὰ τέκνα σου καὶ τὸ λαὸ καὶ τὸ γενναῖο Ἀλκίνο."
Εἶπε, καὶ διάβηκε ὁ λαμπρὸς Δυσσέας τὸ κατώφλι,
καὶ κήρυκα ὁ ἀντρόκαρδος ὁ Ἀλκίνος στέλνει ὀμπρός του,
νὰ τόνε φέρη στὸ γιαλὸ πρὸς τὸ γοργὸ καράβι·
κι ἡ Ἀρήτη δοῦλες τοῦ 'βαλε νὰ τόνε συνοδέψουν.
Σκουτὶ καλοπλυμένο ἡ μιὰ σηκώνει καὶ χιτώνα,
ἄλλη σεντούκι κουβαλάει καλόφτιαστο, καὶ τρίτη
μὲ τὸ κρασὶ τὸ κόκκινο καὶ μὲ θροφὴ ἀκλουθοῦσε.
Καὶ στὸ γιαλὸ σὰ φτάσανε, καὶ στὸ καράβι μπῆκαν,
τὰ παλληκάρια οἱ προβοδοὶ στὸ κουφωτὸ καράβι
πῆραν καὶ βάλαν τὰ πιοτὰ καὶ τὶς προμήθειες ὅλες·
καὶ τοῦ Ὀδυσσέα στρώσανε βελέντζα καὶ σεντόνι
στοῦ καραβιοῦ τὸ κάσαρο, γιὰ νὰ γλυκοκοιμᾶται
στὴν πρύμη· αὐτὸς ἀνέβηκε καὶ πλάγιασ' ἐκεῖ τότες
σιωπώντας· κι αὐτοὶ κάθισαν ἀραδιαστοὶ στοὺς πάγκους,
καὶ τὸ παράγγι ξέλυσαν ἀπὸ τὴν τρύπια δέστρα.

εὖθ᾽ οἱ ἀνακλινθέντες ἀνερρίπτουν ἅλα πηδῷ,
καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.
ἡ δ᾽, ὥς τ᾽ ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι,
πάντες ἅμ᾽ ὁρμηθέντες ὑπὸ πληγῇσιν ἱμάσθλης,
ὑψόσ᾽ ἀειρόμενοι ῥίμφα πρήσσουσι κέλευθον,
ὣς ἄρα τῆς πρύμνη μὲν ἀείρετο, κῦμα δ᾽ ὄπισθε
πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
ἡ δὲ μάλ᾽ ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.
ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ᾽ ἔταμνεν,
ἄνδρα φέρουσα θεοῖς ἐναλίγκια μήδε᾽ ἔχοντα·
ὃς πρὶν μὲν μάλα πολλὰ πάθ᾽ ἄλγεα ὃν κατὰ θυμὸν
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων,
δὴ τότε γ᾽ ἀτρέμας εὗδε, λελασμένος ὅσσ᾽ ἐπεπόνθει.
εὖτ᾽ ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
ἔρχεται ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης,
τῆμος δὴ νήσῳ προσεπίλνατο πόντοπόρος νηῦς.
Φόρκυνος δέ τίς ἐστι λιμήν, ἁλίοιο γέροντος,
ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
ἀκταὶ ἀπορρῶγες, λιμένος ποτιπεπτηυῖαι,
αἵ τ᾽ ἀνέμων σκεπόωσι δυσαήων μέγα

Καὶ πίσω καθὼς γέρνανε καὶ τὰ νερὰ σκορποῦσαν,
ὕπνος βαρὺς κατέβαινε πὰς στὰ ματόφυλλά του,
βαθὺς περίσσια καὶ γλυκός, μὲ θάνατο παρόμοιος.
Σὰν ποὺ σὲ κάμπο ἀλόγατα τετράζυγα βαρβάτα
στοῦ μαστιγιοῦ τὸ χτύπημα μαζὶ χουμίζουν ὅλα,
κι ἀναπηδώντας ἀψηλὰ μεγάλο δρόμο κόβουν,
ἔτσι κι ἡ πλώρη ἀνέβαινε τοῦ ψήλου, κι ἀποπίσω
τοῦ πολυτάραχου γιαλοῦ τὸ κῦμα ἀφρομανοῦσε.
Κι ἔτρεχ' ἐκεῖνο μιὰ χαρὰ, ποὺ μήτε κιρκινέζι,
τὸ πιὸ γοργὸ πετάμενο, θὰ μπόρειε νὰ τὸ φτάξη
Μὲ τέτοια φόρα διάβαινε στὶς θάλασσες ἀπάνω,
φέρνοντας ἄντρα μὲ θεοὺς παρόμοιο στὴ σοφία,
ποὺ ἀρίθμητα ἄλλοτες δεινὰ κι ἂν ἔπαθε ἡ ψυχή του,
σὲ ἀντρῶν πολέμους καὶ φριχτὰ ταξίδια τοῦ πελάγου,
τώρα κοιμόταν ἥσυχα, τὰ πάθια του ξεχνώντας.
Σὰν πρόβαλε τὸ φωτερὸ τ' ἀστέρι ποὺ στὰ οὐράνια
τῆς νυχτογέννητης αὐγῆς πρωτομηνάει τὴ φέξη,
τὸ πλοῖο τὸ πελαγόδρομο ζύγωνε πιὰ στὸ Θιάκι.
Βρίσκετ' ἐκεῖ τοῦ Φόρκυνα, τοῦ πελαγήσου γέρου,
κάποιο λιμάνι, καὶ σ' αὐτὸ δυὸ κάβοι ποὺ προβάλλουν,
βραχόσπαρτοι, πρὸς τὴν μπασιὰ τοῦ λιμανιοῦ συγκλίνουν,
κι ὄξω κρατοῦν τὰ κύματα ποὺ οἱ

κῦμα

ἔκτοθεν· ἔντοσθεν δέ τ᾽ ἄνευ δεσμοῖο μένουσι
νῆες ἐΰσσελμοι, ὅτ᾽ ἂν ὅρμου μέτρον ἵκωνται.
αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη,
ἀγχόθι δ᾽ αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
ἱρὸν νυμφάων αἳ νηϊάδες καλέονται.

ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασιν
λάϊνοι· ἔνθα δ᾽ ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
ἐν δ᾽ ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε νύμφαι
φάρε᾽ ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
ἐν δ᾽ ὕδατ᾽ ἀενάοντα. δύω δέ τέ οἱ θύραι εἰσίν,
αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν,
αἱ δ᾽ αὖ πρὸς Νότου εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
ἄνδρες ἐσέρχονται, ἀλλ᾽ ἀθανάτων ὁδός ἐστιν.
ἔνθ᾽ οἵ γ᾽ εἰσέλασαν, πρὶν εἰδότες· ἡ μὲν ἔπειτα
ἠπείρῳ ἐπέκελσεν, ὅσον τ᾽ ἐπὶ ἥμισυ πάσης,
σπερχομένη· τοῖον γὰρ ἐπείγετο χέρσ᾽ ἐρετάων·
οἱ δ᾽ ἐκ νηὸς βάντες ἐϋζύγου ἠπειρόνδε
πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν
αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι,
κὰδ δ᾽ ἄρ᾽ ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ,
ἐκ δὲ κτήματ᾽ ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ

τρικυμιὲς σηκώνουν·
μὰ μέσα τὰ καλόφτιαστα συχάζουνε καράβια,
δίχως δεσίματα, ἅμα μποῦν καὶ βροῦνε ἀραξοβόλι.
Εἶναι κι ἐλιὰ μακρόφυλλη βαθιὰ μὲς στὸ λιμάνι·
καὶ δίπλα της ἀχνόθαμπη σπηλιὰ χαριτωμένη,
ἱερὸ λημέρι τῶν Νυφῶν ποὺ λέγουνται Ναϊάδες.
Κροντήρια καὶ διπλόχερες λαγῆνες ἐκεῖ βρίσκεις,
ποὺ τὰ μελίσσια μέσα τους πηγαίνουν καὶ φωλιάζουν.
Εἶναι καὶ πέτρινοι ἀργαλειοὶ περίτρανοι, ποὺ οἱ Νύφες
φαίνουν σκουτιὰ πορφυρωτὰ ποὺ βλέπεις καὶ θαμάζεις.
Ἔχει κι ἀστείρευτα νερά, καὶ θύρες δυό· μιὰ θύρα
πρὸς τὸ Βοριὰ ποὺ δύνουνται ν' αὐλίζουνται καὶ ἀνθρῶποι,
κι ἡ ἄλλη, θεϊκιά, πρὸς τὸ Νοτιά, ποὺ ἀνθρῶποι δὲν περνᾶνε,
μόνε εἶναι τῶν ἀθάνατων ἡ θύρα ἐκείνη δρόμος.
Αὐτὰ ἀπὸ πρὶν γνωρίζοντας μπῆκαν ἐκεῖ ν' ἀράξουν,
καὶ τὸ καράβι στὴ στεριὰ ἔξω ἔπεσε ὡς τὴ μέση·
μὲ τέτοια ὁρμὴ τὸ σπρώχνανε στὰ ὁμπρὸς οἱ λαμνοκόποι.
Καὶ στὴ στεριὰ σὰ βγήκανε ἀπ' τὸ γερὸ καράβι,
πρῶτ' ἀπ' τὸ πλοῖο τὸ κουφωτὸ τὸν Ὀδυσσέα σηκῶσαν·
μὲ τὸ σεντόνι τὸ λινὸ καὶ τὸ λαμπρὸ στρωσίδι
στὴν ἀμμουδιὰ τὸν ἔθεσαν καθὼς βαριοκοιμόταν,
κι ὕστερα βγάλαν τὰ καλὰ ποὺ οἱ Φαίακες τοῦ δῶκαν

ὤπασαν οἴκαδ᾽ ἰόντι διὰ μεγάθυμον Ἀθήνην.
καὶ τὰ μὲν οὖν παρὰ πυθμέν᾽ ἐλαίης ἀθρόα θῆκαν
ἐκτὸς ὁδοῦ, μή πώς τις ὁδιτάων ἀνθρώπων,
πρίν γ᾽ Ὀδυσῆ᾽ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο·

αὐτοὶ δ᾽ αὖτ᾽ οἶκόνδε πάλιν κίον. οὐδ᾽ ἐνοσίχθων
λήθετ᾽ ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσῆϊ
πρῶτον ἐπηπείλησε, Διὸς δ᾽ ἐξείρετο βουλήν·

"Ζεῦ πάτερ, οὐκέτ᾽ ἐγώ γε μετ᾽ ἀθανάτοισι θεοῖσι
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ τι τίουσιν,
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆ᾽ ἐφάμην κακὰ πολλὰ παθόντα
οἴκαδ᾽ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ ποτ᾽ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἱ δ᾽ εὕδοντ᾽ ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες

κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ᾽ ὑφαντήν,
πόλλ᾽, ὅσ᾽ ἂν οὐδέ ποτε Τροίης ἐξήρατ᾽ Ὀδυσσεύς,
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λῆΐδος αἶσαν."

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεὺς·
"ὢ πόποι, ἐννοσίγαι᾽ εὐρυσθενές, οἷον ἔειπες.
οὔ τί σ᾽ ἀτιμάζουσι θεοί· χαλεπὸν δέ

ποὺ ἐρχόταν μὲ τῆς Ἀθηνᾶς τὴ χάρη στὴ πατρίδα.
Τά 'θεσαν ὅλα στῆς ἐλιᾶς τὴ ρίζα σωριασμένα,
ὄξω ἀπ' τὸ δρόμο, μὴν τὰ δῆ περαστικὸς κανένας,
καὶ πάη καὶ τὰ πειράξη πρὶν ξυπνήση ὁ Ὀδυσσέας.
Κι αὐτοὶ ξαναγυρίζανε στὸν τόπο τους.
Μὰ ὁ Σείστης
δὲν ξέχναε τὶς φοβέρες του στο θεϊκὸ Ὀδυσσέα,
καὶ πῆγε τοῦ Δία στὸν Ὄλυμπο τὴ γνώμη νὰ ρωτήξη·
"Δία πατέρα, ἐγὼ τιμὴ δὲ θά 'χω πιὰ καὶ δόξα
μὲς στοὺς θνητούς, μιὰς καὶ θνητοὶ δὲ μὲ τιμοῦν ἐμένα,
οἱ Φαίακες δά, ποὺ λέγουνται κι ἀπόγονοι δικοί μου.
Γιὰ τὸ Δυσσέα τὸ εἶπα ἐγὼ πὼς στὴν πατρίδα θά 'ρθη,
πολλὰ σὰν πάθη· γυρισμὸ νὰ τοῦ ἀρνηθῶ ποτές μου
δὲ θέλησα, τὶ τό 'ταξες ἐσὺ πὼς θὰ γυρίση.
Καὶ τώρα αὐτοὶ τὸν πέρασαν μὲ τὸ γοργὸ καράβι

καθὼς βαθιοκοιμότανε, τὸν ἔβγαλαν στὸ Θιάκι,
καὶ τοῦ 'δωκαν ἀρίφνητα χαρίσματα, χρυσάφι,
χαλκὸ καὶ δουλευτὰ σκουτιά, ποὺ τόσα κι ἀπ' τὴν Τροία
δὲ θά 'φερνε ἂν ἐρχότανε ἀποκεῖθε δίχως βλάβη,
μὲ τὸ σωστὸ μερίδιο του ἀπὸ λάφυρα γυρνώντας."
Κι ὁ Δίας τοῦ ἀποκρένεται ὁ συννεφομαζώχτης·
"Σείστη, μεγαλοδύναμε, τὶ λόγο πῆγες κι εἶπες ;
Δὲ σ' ἀψηφοῦν οἱ ἀθάνατοι· καὶ πῶς θ'

κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν.
ἀνδρῶν δ᾽ εἴ πέρ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων
οὔ τι τίει. σοὶ δ᾽ ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί.
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον
ἔπλετο θυμῷ."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Ποσειδάων ἐνοσίχθων·
"αἶψά κ᾽ ἐγὼν ἔρξαιμι, κελαινεφές, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ᾽ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
ῥαῖσαι, ἵν᾽ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
νηῒ θοῇ ἴκελον, ἵνα θαυμάζωσιν ἅπαντες
ἄνθρωποι, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι."
αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ᾽ ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν.
ἔνθ᾽ ἔμεν᾽· ἡ δὲ μάλα σχεδὸν ἦλυθε ποντοπόρος νηῦς
ῥίμφα διωκομένη· τῆς δὲ σχεδὸν ἦλθ᾽ ἐνοσίχθων,

ἀποκοτοῦσαν
ἐσένα τὸ μεγάλο τους καὶ πρῶτο ν' ἀψηφήσουν ;
Κι ἂν ἄντρας κάποιος δυνατὸς κι ἀπόκοτος θελήση
νὰ σὲ προσβάλη, ἐσὺ μπορεῖς νὰ γδικιωθῆς κατόπι.
Κάμε ὅπως θέλεις, καὶ καθὼς καλὸ τὸ κρίνει ὁ νοῦς σου."
Κι αὐτὰ τοῦ ἀπολογήθηκε ὁ σείστης Ποσειδώνας·
"Μεμιάς, ὦ μαυροσύννεφε, θά 'κανα αὐτὸ ποὺ κρένεις,
μὰ πάντα τὸ θυμό σου ἐγὼ φοβᾶμαι κι ἀποφεύγω.
Καὶ τώρα θέλω τ' ὅμορφο καράβι τῶν Φαιάκων
ποὺ θά 'ρθη ἀπὸ προβόδωμα στὰ θαμπερὰ πελάγη,
νὰ σπάσω καὶ στὴ χώρα τους βουνὸ νὰ ρίξω γύρω,
νὰ πάψουν καὶ νὰ μὴ μποροῦν νὰ προβοδοῦν ἀνθρώπους."
Κι ὁ Δίας τοῦ ἀποκρένεται ὁ συννεφομαζώχτης·
"Αὐτὸ θαρρῶ καλύτερο μέσα στὸ νοῦ μου, ὦ φίλε·
ὅλοι ἀπ' τὴ χώρα σὰ θωροῦν τὸ πλοῖο ν' ἀρμενίζη,
ἐσὺ ἀποδίπλα στὴ στεριὰ βράχο νὰ τὸ πετρώσης,
νὰ μοιάζη σὰν πλεούμενο, καὶ νὰ θαυμάζουνται ὅλοι·
καὶ μὲ τρανὸ τὴ χώρα τους βουνὸ νὰ τριγυρίξης."
Αὐτὸ ἀπ' τὸ Δία σὰν ἄκουσε τοῦ κόσμου ὁ μέγας σείστης
πρὸς τὴ Σκερία ξεκίνησε, τὸν τόπο τῶν Φαιάκων,
καὶ στάθηκε· σὰν πρόβαλε τ' ἀνάφρυδο καράβι
στὸ κῦμα γοργολάμνοντας, ζυγώνει ὁ Ποσειδώνας,

ὅς μιν λᾶαν ἔθηκε καὶ ἐρρίζωσεν ἔνερθε
χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.

οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ὤ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ
οἴκαδ' ἐλαυνομένην; καὶ δὴ προὐφαίνετο πᾶσα."
ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο.
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν·
"ὤ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτὲ Φαιήκων ἀνδρῶν περικαλλέα, νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
ῥαισέμεναι, μέγα δ' ἦμιν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ."
ὣς ἔφαθ', οἱ δ' ἔδεισαν, ἑτοιμάσσαντο

μὲ τήν παλάμη τὸ βαράει, στὰ βάθια τὸ ριζώνει,
πέτρα τὸ κάνει, ξεκινάει καὶ χάνεται ἀποκεῖθε.
Κι οἱ Φαίακες οἱ μακρόλαμνοι κι οἱ θαλασσακουσμένοι
μὲ λόγια τότες φτερωτὰ μιλοῦσαν μεταξύ τους,
κι ἕνας τους γύρναε κι ἔλεγε τοῦ διπλανοῦ του ἐτοῦτα·
"Ἀλλοίς, καὶ ποιός μᾶς ἔδεσε στὰ πέλαγα τὸ πλοῖο,
στὴ χώρα καθὼς γύριζε κι ὁλόβολο φαινόταν ;"
Αὐτὰ εἶπε καὶ τὶ γένηκε δὲ γνώριζε κανείς τους.
Κι ὁ Ἀλκίνος τότε ὁ βασιλιὰς ξαγόρεψέ τους κι εἶπε·
" Γιὰ δῆτε πῶς οἱ παλαιϊκὲς μᾶς βγαίνουν προφητεῖες
τοῦ κύρη μου, σὰν ἔλεγε πὼς μᾶς φτονοῦσε ὁ Σείστης,
ποὺ ὅλους ἐμεῖς ἀπείραχτοι στὴ γῆς τους προβοδᾶμε,
κι εἶπε πὼς κάποιο Φαιακινὸ καλόφτιαστο καράβι
ποὺ θά 'ρθη ἀπὸ προβόδημα στὰ θαμπερὰ πελάγη,
θὰ σπάση καὶ στὴ χώρα μας βουνὸ θὰ ρίξη γύρω.
Αὐτὰ εἶπε τότε ὁ γέροντας, καὶ σήμερα τελιοῦνται.
Μὰ ἐλᾶτε τώρα, κι ὅ,τι πῶ νὰ τὸ καλοδεχτοῦμε·
μὴν προβοδᾶτε πιὰ θνητό, σὰν ἔρχεται κανένας
στὴ χώρα μας· κι ἂς σφάξουμε τοῦ Ποσειδώνα τώρα
δώδεκα ταύρους διαλεχτούς, ἴσως καὶ σπλαχνιστῆ μας,
καὶ μὲ τρανὸ τὴ χώρα μας βουνὸ δὲν τριγυρίξη."
Εἶπε, κι αὐτοὶ φοβήθηκαν, καὶ τοίμασαν

δὲ ταύρους.
ὣς οἱ μέν ῥ᾽ εὔχοντο Ποσειδάωνι ἄνακτι
δήμου Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ἑσταότες περὶ βωμόν. ὁ δ᾽ ἔγρετο δῖος Ὀδυσσεὺς
εὕδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεῦε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὄφρα μιν αὐτὸν
ἄγνωστον τεύξειεν ἕκαστά τε μυθήσαιτο,
μή μιν πρὶν ἄλοχος γνοίη ἀστοί τε φίλοι τε,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
τοὔνεκ᾽ ἄρ᾽ ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι,
ἀτραπιτοί τε διηνεκέες λιμένες τε πάνορμοι
πέτραι τ᾽ ἠλίβατοι καὶ δένδρεα τηλεθόωντα.
στῆ δ᾽ ἄρ᾽ ἀναΐξας καί ῥ᾽ εἴσιδε πατρίδα γαῖαν·
ᾤμωξέν τ᾽ ἄρ ἔπειτα καὶ ὤ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενος δ᾽ ἔπος ηὔδα·
"ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
ἦ ῥ᾽ οἵ γ᾽ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ τε καὶ αὐτὸς
πλάζομαι; αἴθ᾽ ὄφελον μεῖναι παρὰ Φαιήκεσσιν
αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων

τοὺς ταύρους.
Καὶ τότες προσευκήθηκαν στὸ ρήγα Ποσειδώνα
οἱ ἀφέντηδες κι οἱ προεστοὶ τῆς χώρας τῶ Φαιάκων,
ὁλόρθοι γύρω στὸ βωμό. Κι ὁ μέγας ὁ Ὀδυσσέας
σηκώθη ἀπὸ τὸν ὕπνο του στὴ γῆς τὴν πατρική του,
καὶ μήτε τήνε γνώρισε, καιροὺς ξενιτεμένος·
τὶ ἡ διογέννητη Ἀθηνᾶ μ' ἀχνὸ τὸν περεχοῦσε,
νὰ τὸν φυλάξη ἀγνώριστο, καὶ νὰ τὸν δασκαλέψη,
μὴν τόνε νιώση ἡ σύγκοιτη κι οἱ φίλοι κι οἱ πολῖτες,
πρὶν κάθε τους ἀδίκημα πλερώσουν οἱ μνηστῆρες.
Γιὰ δαῦτο καὶ τοῦ σφάνταζαν ἀλλιώτικα ὅλα γύρω,
τὰ μονοπάτια τὰ μακριὰ, τὰ ὁλόκλειστα λιμάνια,
τὰ δέντρα τὰ ὁλοφούντωτα, κι οἱ βραχουριὲς παντοῦθε.
Πετιέται ἀπάνω, στέκεται, κοιτάζει τὴν πατρίδα,
καὶ τότε θλιβερὰ βογγάει, καὶ τὰ μεριὰ βαρώντας
μὲ τὶς παλάμες, κλαίγεται καὶ λέει μοιρολογώντας·
"Ἀλλοίς μου, καὶ σὲ τί λογῆς ἀνθρώπων ἤρθα χώρα ;
νά 'ναι ἄραγες ἀσύστατοι κι ἀδικοπράχτες κι ἄγριοι,
ἢ νά 'χουνε φιλοξενιὰ καὶ θεοφοβιὰ στὸ νοῦ τους ;
Ποῦ φέρνω αὐτοὺς τοὺς θησαυρούς ; καὶ ποῦ πλανιέμαι ἀτός μου;
Μακάρι ἂς ἔμνησκαν αὐτοὶ στὴ χώρα τῶ Φαιάκων,
καὶ τότε σὲ ἄλλο βασιλιὰ θὰ πρόσφευγα μεγάλο,

ἐξικόμην, ὅς κέν μ᾽ ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
νῦν δ᾽ οὔτ᾽ ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὐτοῦ
καλλείψω, μή πώς μοι ἔλωρ ἄλλοισι γένηται.
ὦ πόποι, οὐκ ἄρα πάντα νοήμονες οὐδὲ δίκαιοι

ἦσαν Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
οἵ μ᾽ εἰς ἄλλην γαῖαν ἀπήγαγον, ἦ τέ μ᾽ ἔφαντο
ἄξειν εἰς Ἰθάκην εὐδείελον, οὐδ᾽
ἐτέλεσσαν.
Ζεὺς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
ἀνθρώπους ἐφορᾷ καὶ τίνυται ὅς τις ἁμάρτῃ.

ἀλλ᾽ ἄγε δὴ τὰ χρήματ᾽ ἀριθμήσω καὶ ἴδωμαι,
μή τί μοι οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες."
"ὣς εἰπὼν τρίποδας περικαλλέας ἠδὲ λέβητας
ἠρίθμει καὶ χρυσὸν ὑφαντά τε εἵματα καλά.
τῶν μὲν ἄρ᾽ τι πόθει· ὁ δ᾽ ὀδύρετο πατρίδα γαῖαν
ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
πόλλ᾽ ὀλοφυρόμενος. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἐπιβώτορι μήλων,
παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασι,
δίπτυχον ἀμφ᾽ ὤμοισιν ἔχουσ᾽ εὐεργέα λώπην·
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσι πέδιλ᾽ ἔχε, χερσὶ δ᾽ ἄκοντα.
τὴν δ᾽ Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ ἐναντίος ἦλθε,
καί μιν φωνήσας ἔπεα πτερόεντα

ποὺ θὰ μὲ καλοδέχουνταν καὶ θὰ μὲ προβοδοῦσε.
Ποῦ τώρα νὰ τὰ θέσω αὐτὰ δὲν ξέρω, μήτε πάλε
τ' ἀφήνω ἐδῶ, μὴν ἔρθουνε καὶ μοῦ τ' ἁρπάξουν ἄλλοι.
Ἀλλοίς μου, σὲ ὅλα γνωστικοὶ δὲν ἤτανε καὶ δίκιοι
οἱ ἀφεντάδες κι οἱ προεστοὶ τῶ Φαιάκων, τὶ μὲ φέραν
σὲ ξένη γῆς· μοῦ κρένανε πὼς τάχα θὰ μὲ πᾶνε
στὸ Θιάκι μου τὸ ξάστερο, καὶ δὲ μοῦ τὸ τελέσαν.
Ὁ Δίας ὁ συνακουστὴς γι' αὐτὸ νὰ τοὺς πλερώση,
ποὺ ὅλους θωρεῖ ἀποπάνωθε, καὶ τοὺς κακοὺς παιδεύει.
Μὰ τώρα ἂς πάω, τοὺς θησαυροὺς νὰ δῶ καὶ νὰ μετρήσω,
μὴν πῆραν κάτι φεύγοντας μὲ τὸ γοργὸ καράβι."
Σὰν εἶπε αὐτά, τοὺς τρίποδες μετροῦσε τοὺς πανώριους,
καὶ τὰ λεβέτια, τὰ σκουτιά, καὶ τὸ λαμπρὸ χρυσάφι,
καὶ τίποτες δὲν τοῦ 'λειπε· μὰ ἔκλαιγε γιὰ τὴ γῆς του,
καὶ πικραναστενάζοντας σερνότανε στὴν ἄκρη
τοῦ πολυτάραχου γιαλοῦ. Κι ἦρθε ἡ Ἀθηνᾶ σιμά του,
μοιάζοντας νέο πιστικὸ ποὺ πρόβατα φυλάγει,
περίσσια τρυφερόκορμο, καὶ σὰ βασιλοπαίδι.
Εἶχε διπλὴ στὸν ὦμο της καλόφτιαση φλοκάτα,
στὰ ὡραῖα πόδια σάνταλα, στὰ χέρια της κοντάρι,
Ἅμα τὴν εἶδε χάρηκε καὶ ζύγωσε ὁ Δυσσέας,
καὶ φώναξέ την, κι εἶπε της μὲ λόγια

προσηύδα·
"ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἐγώ γε
εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ' ἱκάνω.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐὺ εἰδῶ·
τίς γῆ, τίς δῆμος, τίνες ἀνέρες ἐγγεγάασιν;
ἦ πού τις νήσων εὐδείελος, ἦέ τις ἀκτὴ
κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;"
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"νήπιός εἰς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι. οὐδέ τι λίην
οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε,
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
ἦ τοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν,
οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ' εὐρεῖα τέτυκται.
ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει τεθαλυῖά τ' ἐέρση·
αἰγίβοτος δ' ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕλη
παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασι.
τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκει,

φτερωμένα·
"Φίλε, ποὺ πρῶτος ἔλαχες σ' αὐτὴ τὴ χώρα ὀμπρός μου,
γειά σου, καὶ μὴ μοῦ φέρνεσαι κακόγνωμα· μόν' σῶσε
κι ἐτοῦτα ἐδῶ κι ἐμένανε· τὶ σὰ θεό μου ἐσένα
κοιτώντας καὶ δοξάζοντας στὰ γόνατά σου πέφτω.
Καὶ τοῦτο τώρα ξήγα μου μὲ ἀλήθεια, νὰ τὸ ξέρω·
Ποιά γῆ 'ναι αὐτή, καὶ ποιός λαός; τί ἀνθρῶποι ἐδῶ γεννιοῦνται;
νά 'ναι νησάκι ξάστερο κι αὐτό, γιά μήπως ἄκρη
τῆς καρπερῆς εἶναι στεριᾶς πρὸς τὸ γιαλὸ ἁπλωμένη ;"
Τότε γυρνᾶ καὶ τοῦ μιλᾶ ἡ θεὰ ἡ γαλανομάτα·
"Γιά κούφιος εἶσαι, ὦ ξένε μου, γιὰ ἀπὸ μακριὰ μᾶς ἤρθες,
καὶ μὲ ρωτᾶς γι' αὐτὴ τὴ γῆς. Δὲν εἶναι δὰ καὶ τόσο
στὸν κόσμο ἀγνώριστη· πολλοὶ τὴν ξέρουν κι ὅσοι ζοῦνε
πρὸς τοῦ ἥλιου τὴν ἀνατολή, κι ὅσοι στὰ μέρη ζοῦνε
ποὺ πέφτουν καταπίσωθε πρὸς τ' ἀχνερὰ σκοτάδια.
Δὲν εἶναι γῆς γιὰ ἀλόγατα, παρὰ γεμάτη πέτρα·
μὰ πάλε μήτε γῆς φτωχή, κι ἁπλόχωρη ἂς μὴν εἶναι.
Στάρι περίσσιο καὶ κρασὶ καλὸ μᾶς δίνει ὁ τόπος,
τὶ πάντα πέφτει ἐδῶ βροχὴ καὶ μᾶς δροσαίνουν πάχνες·
γίδια καὶ βόδια βρίσκουνε καλὴ βοσκὴ ἐδῶ πέρα,
μὰ καὶ τὰ δέντρα μὲ νερὰ ποτίζουνται περίσσια.
Κι ἔτσι τὸ Θιάκι ἀκούστηκε κι ὡς τὴν Τρωάδα ἀκόμα,

τήν περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης."

"ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὡς οἱ ἔειπε Παλλὰς Ἀθηναίη, κούρη Διὸς, αἰγιόχοιο·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
οὐδ' ὅ γ' ἀληθέα εἶπε, πάλιν δ' ὅ γε λάζετο μῦθον,
αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν·
"πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
χρήμασι σὺν τοίσδεσσι· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
φεύγω, ἐπεὶ φίλον υἱα κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ
ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν,
οὕνεκά με στερέσαι τῆς λῃΐδος ἤθελε πάσης
Τρωϊάδος, τῆς εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων,
οὕνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος θεράπευον
δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων.
τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ
ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·
νὺξ δὲ μάλα δνοφερὴ κάτεχ' οὐρανόν, οὐδέ τις ἡμέας
ἀνθρώπων ἐνόησε, λάθον δέ ἑ θυμὸν

πού λένε ἀπ' τὴν Ἀχαϊκὴ τὴ γῆς μακριὰ πὼς εἶναι."
Αὐτὰ εἶπε, κι ἀναγάλλιασε ὁ μέγας ὁ Ὀδυσσέας,
βλέποντας πὼς ὁ τόπος του ἦταν ἡ γῆς ἐκείνη,
ἀπ' ὅσα τοῦ φανέρωσε τοῦ Δία ἡ θυγατέρα.
Καὶ φώναξε την κι εἶπε της μὲ λόγια φτερωμένα,
ἀλήθεια ὅμως δὲν ἔλεγε, παρὰ τὸ λόγο γύρνα,
πάντα μεγάλες πονηριὲς στὸ νοῦ του μελετώντας·
" Καὶ στὴν ἁπλόχωρη ἄκουγα τὴν Κρήτη γιὰ τὸ Θιάκι,
πέρ' ἀπ' τὰ πέλαγα· κι ἐγὼ τώρα ἔρχουμαι ἀπατός μου,
μ' αὐτοὺς ἐδῶ τοὺς θησαυρούς· στὰ τέκνα μου ἄλλα τόσα
ἀφῆκα, σάνε σκότωσα τὸ γιὸ τοῦ Ἰδομενέα,
τὸ γοργοπόδη Ὀρσίλοχο, καὶ ξέφυγα ἀποκεῖθε.
Κάθε ἄντρα σιταρόθρεφτο στὸ τρέξιμο νικοῦσε
στὴν Κρήτη αὐτός· μὰ θέλησε τὰ τρωαδίτικα ὅλα
νὰ μοῦ κρατήση λάφυρα, ποὺ ἐγώ 'παθα γιὰ δαῦτα,
καὶ σὲ πολέμους ἀντρικοὺς καὶ στ' ἄγρια τὰ πελάγη,
τὶ τοῦ γονιοῦ του ἀκόλουθος δὲν ἔστεργα νὰ γίνω
στὴν Τροία, παρὰ μαχόμουν μ' ἄλλους δικούς μου πρῶτος.
Σιμὰ στὸ δρόμο τοῦ 'στησα μὲ φίλο μου καρτέρι,
κι ἀπ' τὰ χωράφια ἐρχάμενο τὸν πῆρα μὲ κοντάρι.
Ἤτανε νύχτα σκοτερὴ στὰ οὐράνια, καὶ κανένας
δὲν ἔνιωσε, μόνε κρυφὰ τοῦ πῆρα τὴν ψυχή

ἀπούρας.
αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,
αὐτίκ᾽ ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
ἐλλισάμην, καί σφιν μενοεικέα λῃΐδα δῶκα·
τούς μ᾽ ἐκέλευσα Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι
ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
ἀλλ᾽ ἦ τοι σφέας κεῖθεν ἀπώσατο ἶς ἀνέμοιο
πόλλ᾽ ἀεκαζομένους, οὐδ᾽ ἤθελον ἐξαπατῆσαι.
κεῖθεν δὲ πλαγχθέντες ἱκάνομεν ἐνθάδε νυκτός.
σπουδῇ δ᾽ ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἡμῖν
δόρπου μνῆστις ἔην, μάλα περ χατέουσιν ἐλέσθαι,
ἀλλ᾽ αὔτως ἀποβάντες ἐκείμεθα νηὸς ἄπαντες.
ἔνθ᾽ ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα,
οἱ δὲ χρήματ᾽ ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες
κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
οἱ δ᾽ ἐς Σιδονίην εὖ ναιομένην ἀναβάντες
ᾤχοντ᾽· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ."
ὣς φάτο, μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
χειρί τέ μιν κατέρεξε· δέμας δ᾽ ἤϊκτο γυναικὶ
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργα ἰδυίῃ·
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"κερδαλέος κ᾽ εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι

του.
Καὶ σὰν τόνε θανάτωσα μὲ σουβλερὸ κοντάρι,
πῆγα σὲ πλοῖο σὲ Φοίνικες ἀρχόντους νὰ προσπέσω,
καὶ δῶρα ἀκριβοπόθητα τοὺς ἔδινα ζητώντας
μαζί τους νὰ μὲ πάρουνε στὴν Πύλο νὰ μ' ἀφήσουν,
ἢ στὴν ἱερὴ τὴν Ἤλιδα ποὺ Ἐπειῶτες τὴν ὁρίζουν.
Ὅμως τοῦ ἀνέμου ἡ δύναμη τοὺς ἔσπρωχνε ἀποκεῖθε
χωρὶς νὰ θέν· δὲ ζήταγαν αὐτοὶ νὰ μὲ γελάσουν.
Καὶ τότες παραδέρνοντας φτάσαμ' ἐδῶ τὴ νύχτα,
καὶ στὸ λιμένα μπήκαμε βαρὺ κουπὶ τραβώντας.
Δὲ συλλογιόμασταν φαΐ, κι ἂς εἴχαμέ του ἀνάγκη·
μόνε ἀπ' τὸ πλοῖο βγήκαμε κι αὐτοῦ πλαγιάσαμε ὅλοι.
Στ' ἀποσταμένο μου κορμὶ γλυκὸς κατέβηκε ὕπνος,
κι ἐκεῖνοι τότες ἔβγαλαν τὰ πράματα ἀπ' τὸ πλοῖο,
κι ἀπάνω ἐδῶ στὴν ἀμμουδιὰ ποὺ κοίτομουν τὰ θέσαν.

Κατόπι στὴν ὡριόχτιστη κινῆσαν Σιδονία,
κι ἔμεινα ἐγὼ μονάχος μου μὲ τὴν καρδιὰ θλιμμένη."

Εἶπε, καὶ χαμογέλασε ἡ θεὰ ἡ γαλανομάτα,
κι ἁπλώνοντας το χέρι της τὸν χάδεψε, καὶ φάνη
σὰ δέσποινα ὥρια καὶ τρανὴ σ' ἔργα λαμπρὰ πιδέξια.
Καὶ φώναξέ τον κι εἶπε του μὲ λόγια φτερωμένα·
"Μαριόλος καὶ παμπόνηρος θά 'ναι ὅποιος σὲ περάση

ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε', ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
βουλῇ καὶ μύθοισιν, ἐγὼ δ' ἐν πᾶσι θεοῖσι
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ' εἶμ' ἀκουσμένη. Τοῦ Διὸς τὴν κόρη τὴν
ἔγνως Παλλάδα,
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥ τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα,
νῦν αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ' ἰόντι ἐμῇ βουλῇ τε νόῳ τε,
εἴπω θ' ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσι
κήδε' ἀνασχέσθαι· σὺ δὲ τετλάμεναι καὶ σοῦ φύλαξε· κι ἐσὺ καρδιὰ νὰ κάμης ν'
ἀνάγκῃ, ἀπομένης,
μηδέ τῳ ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν, καὶ σὲ κανένα μὴν ξηγᾶς οὔτ' ἄντρα οὔτε γυναίκα,
πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῇ πῶς ἀπ' τὰ ξένα γύρισες, παρὰ ὅσα κι ἂν παθαίνης
πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν." ἀπὸ κακόβουλους θνητούς, ἀμίλητα νὰ τά 'χης.″
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· Τότε ὁ Δυσσέας ὁ τρίξυπνος γυρίζει καὶ τῆς κρένει·
"ἀργαλέον σε, θεά, γνῶναι βροτῷ ἀντιάσαντι, ″Δύσκολα ὁ ἄνθρωπος, θεά, σὲ νιώθει ἂ σ' ἀγναντέψη,
καὶ μάλ' ἐπισταμένῳ· σὲ γὰρ αὐτὴν ὅσο κι ἂν ξέρη· γιατὶ ἐσὺ λογῆς μοιασίδια

παντὶ ἐΐσκεις.
τοῦτο δ᾽ ἐγὼν εὖ οἶδ᾽, ὅτι μοι πάρος ἠπίη ἦσθα,
ἦος ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
βῆμεν δ᾽ ἐν νήεσσι, θεὸς δ᾽ ἐκέδασσεν Ἀχαιούς,
οὔ σέ γ᾽ ἔπειτα ἴδον, κούρη Διός, οὐδ᾽ ἐνόησα
νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις.
ἀλλ᾽ αἰεὶ φρεσὶν ἦσιν ἔχων δεδαϊγμένον ἦτορ
ἠλώμην, ἧός με θεοὶ κακότητος ἔλυσαν·
πρίν γ᾽ ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
θάρσυνάς τε ἔπεσσι καὶ ἐς πόλιν ἤγαγες αὐτή.
νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι--οὐ γὰρ ὀΐω
ἥκειν εἰς ᾽Ιθάκην εὐδείελον, ἀλλά τιν᾽ ἄλλην
γαῖαν ἀναστρέφομαι· σὲ δὲ κερτομέουσαν ὀΐω
ταῦτ᾽ ἀγορευέμεναι, ἵν᾽ ἐμὰς φρένας ἠπεροπεύσῃς--
εἰπέ μοι εἰ ἐτεόν γε φίλην ἐς πατρίδ᾽ ἱκάνω."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
"αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
οὕνεκ᾽ ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων.
ἀσπασίως γάρ κ᾽ ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἵετ᾽ ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ᾽ ἄλοχόν τε·
παίρνεις.
Τοῦτο γνωρίζω ἐγὼ καλά, πὼς πρῶτα μοῦ ἤσουν φίλη,
ὅσον καιρὸ μαχόμασταν οἱ Ἀχαιοὶ στὴν Τροία.
Μὰ ἀφότου ἐμεῖς κουρσέψαμε τὴ χώρα τοῦ Πριάμου,
καὶ στὰ καράβια μπήκαμε, κι ὁ θεὸς μᾶς σκόρπισε ὅλους,
δὲ σ' εἶδα μήτε σ' ἔνιωσα, διογέννητη, ἀπὸ τότες,
μὲς στὸ καράβι μου νὰ ρθῆς καὶ νὰ μὲ διαφεντέψῃς.
Παρὰ πλανιόμουν ἄπαυα μὲ τὴν καρδιὰ καμένη,
ὡσότου ἀπὸ τὰ βάσανα οἱ θεοὶ μὲ λευτερῶσαν,
κι ἐσὺ πιὰ μὲ τὰ λόγια σου στὴν πλούσια γῆ τῶ Φαιάκων
μὲ γκάρδιωνες, καὶ μ' ἔφερνες ἀτή σου μὲς στὴ χώρα.
Μὰ στοῦ γονιοῦ σου τ' ὄνομα παρακαλῶ σε τώρα,
τὶ δὲν πιστεύω νά 'φτασα στὸ ξάστερο μου Θιάκι,
μόνε πλανιέμαι σ' ἄλλη γῆς, κι αὐτὰ θαρρῶ ποὺ μοῦ 'πες,
μὲ πονηριὰ μοῦ τά 'πλασες, τὸ νοῦ μου νὰ γελάσῃς·
λέγε μου, ἀλήθεια, βρίσκουμαι στὴν ποθητὴ πατρίδα ;"
Κι ἡ γαλανόματη Ἀθηνᾶ τοῦ ἀπολογήθη τότες·
"Μὲ τέτοιες πάντα συλλογὲς τὸ νοῦ σου βασανίζεις·
γι' αὐτὸ κι ἐγὼ στὰ πάθια σου μονάχο δὲ σ' ἀφήνω,
πού 'σαι δὰ τόσο γνωστικός, καλὸς κι ἀνοιχτομάτης.
Ἂν ἦταν ἄλλος κι ἔρχονταν στὸν τόπο του ἀπ' τὰ ξένα,
θένα ' τρεχε, τὴ σύγκοιτη νὰ δῆ καὶ τὰ παιδιά του·

σοὶ δ᾽ οὔ πω φίλον ἐστὶ δαήμεναι οὐδὲ πυθέσθαι,
πρίν γ᾽ ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥ τέ τοι αὖτως
ἧσται ἐνὶ μεγάροισιν, ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.
αὐτὰρ ἐγὼ τὸ μὲν οὔ ποτ᾽ ἀπίστεον, ἀλλ᾽ ἐνὶ θυμῷ
ἧδε᾽, ὃ νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους·
ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
πατροκασιγνήτῳ, ὅς τοι κότον ἔνθετο θυμῷ,
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ᾽ ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ᾽ ἐστὶ λιμήν, ἁλίοιο γέροντος,
ἥδε δ᾽ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
ἀγχόθι δ᾽ αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
ἱρὸν νυμφάων, αἳ νηϊάδες καλέονται·
τοῦτο δέ τοι σπέος ἐστὶ κατηρεφές, ἔνθα σὺ πολλὰς
ἕρδεσκες νύμφῃσι τεληέσσας ἑκατόμβας·
τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταειμένον ὕλῃ."
ὣς εἰποῦσα θεὰ σκέδασ᾽ ἠέρα, εἴσατο δὲ χθών·
γήθησέν τ᾽ ἄρ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
χαίρων ᾗ γαίῃ, κύσε δὲ ζείδωρον ἄρουραν.
αὐτίκα δὲ νύμφῃς ἠρήσατο, χεῖρας ἀνασχών·
"νύμφαι νηϊάδες, κοῦραι Διός, οὔ ποτ᾽

μὰ ἀκόμα ἐσὺ δὲ λαχταρεῖς νὰ μάθης καὶ ν' ἀκούσης,
μόν' πρῶτα τὴ γυναῖκα σου ζητᾶς νὰ δοκιμάσης,
ποὺ μὲς στὸν πύργο κάθεται καὶ τυραννιέται ἡ ἔρμη,
κι οἱ νύχτες της, κι οἱ μέρες της περνᾶνε μὲ τὰ δάκρυα.
Ποτὲς δὲν τὸ φοβόμουνα, μόν' τό 'χα ἐγὼ στὸ νοῦ μου,
πὼς πίσω θένα 'ρθῆς χωρὶς κανένα σύντροφό σου·
ὅμως στὸν Ποσειδώνα ἐγώ, στ' ἀδέρφι τοῦ γονιοῦ μου,
δὲν ἤθελα ν' ἀντισταθῶ, τὶ σοῦ ἦταν χολωμένος,
τὸ μάτι ἀφότου τύφλωσες τοῦ ἀγαπημένου γιοῦ του.
Τώρα τοὺς τόπους τοῦ Θιακιοῦ γιὰ νὰ πειστῆς σοῦ δείχνω.
Νά, τοῦ παλιοῦ θαλασσινοῦ τοῦ Φόρκυνα ὁ λιμιώνας·
νά, κι ἡ μακρόφυλλη ἡ ἐλιὰ στοῦ λιμανιοῦ τὴν ἄκρη,
καὶ δίπλα της ἡ ἀχνόθαμπη σπηλιά, ἡ χαριτωμένη,
ἱερὸ λημέρι τῶν Νυφῶν ποὺ λέγουνται Ναϊάδες·
ἐκεῖ 'ναι καὶ τὸ θολωτὸ τὸ σπήλιο ποὺ σ' ἐκεῖνες
πολλὲς ἐσὺ ἑκατοβοδιὲς καλόδεχτες τελοῦσες·
νά, καὶ τὸ Νήριτο βουνό, τ' ὁλόσκεπο ἀπὸ δάσια."
Εἶπε, καὶ σκόρπισε ὁ ἀχνός, καὶ φάνη ἡ γῆς τριγύρω·
τὴν εἶδε κι ἀναγάλλιασε ὁ πολύπαθος Δυσσέας,
καὶ χαίροντας σὰ φίλησε τὴ γῆς τὴν πλουτοδότρα,
στὶς Νύφες προσευκήθηκε σηκώνοντας τὰ χέρια·
"Ὦ Νύφες, κόρες τοῦ Διός, ν' ἀξιωθῶ

ἐγώ γε
ὄψεσθ᾽ ὔμμ᾽ ἐφάμην· νῦν δ᾽ εὐχωλῇς ἀγανῇσι
χαίρετ᾽· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,
αἴ κεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
αὐτόν τε ζώειν καί μοι φίλον υἱὸν ἀέξῃ."
τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
ἀλλὰ χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
θείμεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
αὐτοὶ δὲ φραζώμεθ᾽ ὅπως ὄχ᾽ ἄριστα γένηται."
ὣς εἰποῦσα θεὰ δῦνε σπέος ἠεροειδές,
μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
ἄσσον πάντ᾽ ἐφόρει, χρυσὸν καὶ ἀτειρέα χαλκὸν
εἵματά τ᾽ εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
καὶ τὰ μὲν εὖ κατέθηκε, λίθον δ᾽ ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
τὼ δὲ καθεζομένω ἱερῆς παρὰ πυθμέν᾽ ἐλαίης
φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
φράζευ ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις,
οἳ δή τοι τρίετες μέγαρον κάτα κοιρανέουσι,
σας πάλε
δὲν τό 'λπιζα· σᾶς χαιρετῶ μὲ τὶς γλυκειὲς εὐκές μου,
καὶ δῶρα θὰ σᾶς φέρνουμε σὰν πρῶτα ἐμεῖς περίσσια,
ἂν ἡ νικήτρια ἡ Ἀθηνᾶ, τοῦ Δία ἡ θυγατέρα,
ζωὴ μοῦ δώση, καὶ ἀντρειὰ στὸ γιὸ τὸν ἀκριβό μου. ″
Κι ἡ γαλανόματη Ἀθηνᾶ τοῦ λάλησε καὶ τοῦ εἶπε·
″Θάρρος· γι' αὐτὰ ἂς μὴ νοιάζεται καθόλου τώρα ὁ νοῦς σου.
Μόν' ἔλα, καὶ τὰ πράματα στὰ βάθια τ' ὡριου σπήλιου
ἂς πᾶμε ν' ἀπιθώσουμε, κρυμμένα ἐκεῖ νὰ τά 'χης·
κατόπι συλλογιόμαστε τί 'ναι καλὸ νὰ γίνη. ″
Εἶπε, καὶ μπῆκε ἡ θέαινα στὸ ἀχνόθαμπο τὸ σπήλιο,
γιὰ νά 'βρη τοὺς κρυψῶνας του· καὶ τότες ὁ Ὀδυσσέας
τῆς ἔφερε τὰ χρυσικὰ καὶ τὰ χαλκοστολίδια,
καὶ τὰ καλόφτιαστα σκουτιὰ ποὺ οἱ Φαίακες τοῦ χαρίσαν.
Κι ἀφοῦ καλὰ τ' ἀπίθωσε, βάζει τρανὸ λιθάρι
στοῦ σπήλιου τὸ ἔμπα ἡ Ἀθηνᾶ, τοῦ Δία ἡ θυγατέρα.
Τότες καθίσαν στῆς ἱερῆς ἐλιᾶς τὴ ρίζα οἱ δυό τους,
νὰ δοῦν πὼς θὰ ξεκάμουνε τοὺς ἄτιμους μνηστῆρες.
Κι ἄρχισε πρώτη ἡ Ἀθηνᾶ, ἡ θεὰ ἡ γαλανομάτα·
″ Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
δὲς τώρα τοὺς ἀδιάντροπους μνηστῆρες πῶς θὰ σπάσης,
ποὺ τρία χρόνια κυβερνοῦν τὸν πύργο σου, ζητώντας

μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες·
ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν
πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
εἰ μή μοι σὺ ἕκαστα, θεά, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
πὰρ δέ μοι αὐτὴ στῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
οἷον ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
αἴ κέ μοι ὡς μεμαυῖα παρασταίης, γλαυκῶπι,
καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην
σὺν σοί, πότνα θεά, ὅτε μοι πρόφρασσ' ἐπαρήγοις."
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
"καὶ λίην τοι ἐγώ γε παρέσσομαι, οὐδέ με λήσεις,
ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' ὀΐω
αἵματί τ' ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας,
μὲ δῶρα ν' ἀποχτήσουνε τὸ ἰσόθεο σου ταίρι·
κι ἐκείνη, πάντα κλαίγοντας, ποὺ ἀκόμα νὰ γυρίσης,
ἐλπίδες καὶ ταξίματα τοῦ καθενοῦ τους δίνει,
καὶ τοὺς μηνάει μηνύματα, κι ἂς κλώθη ὁ νοῦς της ἄλλα."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος γύρισε καὶ τῆς εἶπε·
"Ἄλλοί, μὲ τοῦ Ἀγαμέμνονα τοῦ γιοῦ τοῦ Ἀτρέα τὴ μοῖρα,
θάνατο θά 'βρισκα κακὸ κι ἐγὼ μὲς στὸ παλάτι,
ἂν ὅλα δὲ μοῦ τά 'λεγες καθάρια ἐσὺ, ὦ θεά μου.
Καὶ τώρα ὁρμήνεψέ με πῶς νὰ πάω νὰ τοὺς παιδέψω·
ἀτή σου στέκου πλάγι μου καὶ δίνε μου ἀντρειοσύνη,
σὰν τότες ποὺ χαλνούσαμε τὰ ὥρια πυργιὰ τῆς Τροίας.
Ἂν ἔτσι μοῦ παράστεκες λαμπρή, ὦ γαλανομάτα,
καὶ μὲ τρακόσους θά 'βγαινα νὰ χτυπηθῶ νομάτους
σιμά σου, τὶ τὴν πρόθυμη διαφέντεψη σου θά 'χα."
Κι ἡ γαλανόματη θεὰ τοῦ ἀπολογήθη τότες·
"Σιμά σου θά 'μαι, καὶ πολὺ, καὶ δὲ θὰ σ' ἀστοχήσω
σὰν ἔρθη ἡ ὥρα· καὶ θαρρῶ πολλοὶ ἀπὸ τοὺς μνηστῆρες
ποὺ τώρα κατατρώγουνε τὸ βιός σου θὰ σκορπίσουν
καὶ τὸ αἷμα τους καὶ τὰ μυαλὰ τότε στὸ χῶμα ἀπάνω.
Μὰ πρῶτα πρέπει ἀγνώριστο στοὺς ἄλλους νὰ σὲ κάνω·
θὰ σοῦ ζαρώσω τ' ὄμορφο καὶ λυγερὸ κορμί σου,
θὰ σοῦ ἀφανίσω τὰ ξανθὰ μαλλιὰ τῆς

ἀμφὶ δὲ λαῖφος
ἔσσω ὅ κε στυγέῃσιν ἰδὼν ἄνθρωπον ἔχοντα,
κνυζώσω δέ τοι ὅσσε πάρος περικαλλέ᾽ ἐόντε,
ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανήῃς
σῇ τ᾽ ἀλόχῳ καὶ παιδί, τὸν ἐν μεγάροισιν ἔλειπες.
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδε,
παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
ἔσθουσαι βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
πίνουσαι, τά θ᾽ ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
ὅφρ᾽ ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ·
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ που ἔτ᾽ εἴῃς."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"τίπτε τ᾽ ἄρ᾽ οὔ οἱ ἔειπες, ἐνὶ φρεσὶ πάντα ἰδυῖα;
ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
πόντον ἐπ᾽ ἀτρύγετον· βίοτον δέ οἱ ἄλλοι ἔδουσι;"
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

κεφαλῆς σου,
καὶ θὰ ντυθῆς παλιόρουχο, νὰ σὲ σιχαίνουνται ὅλοι·
τὰ κάνω,
ποὺ τιποτένιος νὰ φανῆς καὶ στοὺς μνηστῆρες ὅλους,
καὶ στὴ γυναίκα καὶ στὸ γιὸ ποὺ μὲς στὸ σπίτι ἀφῆκες.
Καὶ πρῶτα τὸ χοιροβοσκὸ πήγαινε ν' ἀνταμώσης,
ποὺ νοιάζεται τοὺς χοίρους σου, καὶ σὲ πονεῖ ἡ καρδιά του,
μὰ καὶ τὸ γιόκα σου ἀγαπᾶ, καὶ τὸ χρυσό σου ταίρι.
Σιμὰ στὰ ζῶα θὰ κάθεται, ποὺ βόσκουνε στὴν πέτρα
τοῦ Κόρακα, ποὺ εἶναι κοντὰ κι ἡ Ἀρέθουσα ἡ βρυσούλα.
Τρῶν βαλανίδια νόστιμα, κι ἀχνὸ νεράκι πίνουν,
καὶ καλοθρέφουνται μ' αὐτὰ καὶ πλήθιο πάχος πιάνουν.
Ἐκεῖ μαζί του κάθισε καὶ ρώτηξε τον ὅλα,
ὥσπου στὴν καλογύναικη νὰ πάω ἐγὼ τὴ Σπάρτη,
τὸ γιό σου τὸν Τηλέμαχο, Ὀδυσσέα μου, νὰ φωνάξω·
αὐτὸς στὴ Λακεδαίμονα, τοῦ Μενελάου τὴ χώρα,
πῆγε νὰ μάθη ἂν τάχα ζῆς κι ἀκούγεσαι στὸν κόσμο."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος ἀπολογήθη κι εἶπε·
"Τί δὲν τοῦ τό 'λεγες ἐσὺ, ποὺ ὅλα .τὰ ξέρει ὁ νοῦς σου ;
ἢ τάχα μὲς στὰ πέλαγα κι αὐτὸς γιὰ νὰ πλανιέται
μὲ βάσανα, καὶ νὰ τοῦ τρῶν οἱ ἄλλοι τὰ καλά του ; "
Κι ἡ γαλανόματη θεὰ τοῦ ἀπολογήθη τότες·

"μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω.
αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο
κεῖσ᾽ ἐλθών· ἀτὰρ οὔ τιν᾽ ἔχει πόνον, ἀλλὰ ἔκηλος
ἧσται ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ᾽ ἄσπετα κεῖται.

ἦ μέν μιν λοχόωσι νέοι σὺν νηΐ μελαίνῃ,
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
ἀλλὰ τά γ᾽ οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν."

ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ᾽ Ἀθήνη.
κάρψεν μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
ξανθὰς δ᾽ ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος,
κνύζωσεν δέ οἱ ὄσσε πάρος περικαλλέ᾽ ἐόντε·
ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν ἠδὲ χιτῶνα,
ῥωγαλέα ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσσ᾽ ἐλάφοιο,
ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
τώ γ᾽ ὣς βουλεύσαντε διέτμαγεν. ἡ μὲν ἔπειτα
εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ᾽ Ὀδυσῆος.

" Γι' αὐτὸν μὴν πολυνοιάζεσαι· ἐγὼ τὸν ὁδηγοῦσα
ποὺ τ' ὄνομά του ν' ἀκουστῆ πηγαίνοντας κεῖ κάτω.
Βάσανα αὐτὸς δὲν ἔχει ἐκεῖ, μόν' κάθεται στοὺς πύργους
τοῦ γιοῦ τοῦ Ἀτρέα, καὶ χαίρεται τ' ἀρίφνητα καλά του.
Μὲ μαῦρο πλοῖο οἱ ἄγουροι κι ἂν τοῦ 'στησαν καρτέρι,
τὸ χαλασμό του θέλοντας στὸ Θιάκι πρὶ γυρίση,
δὲν τὸ φοβᾶμαι αὐτό· θαρρῶ πὼς κάμποσους μνηστῆρες
θὰ φάη ἡ γῆς, ποὺ σήμερα τὸ βιός σου καταλοῦνε."

Αὐτὰ σὰν εἶπε, μὲ ραβδὶ τὸν ἄγγιξε ἡ Παλλάδα,
καὶ ζάρωσε τὸ λυγερὸ καὶ τ' ὄμορφο κορμί του,
καὶ τὰ ξανθά του ἀφάνισε μαλλιὰ τῆς κεφαλῆς του,
καὶ σκέπασε μὲ γέρικο πετσὶ τὰ μέλη του ὅλα·
τὰ δυό του μάτια θάμπωσε ποὺ πρῶτα ἀστραποφέγγαν,
καὶ μ' ἄσκημα παλιόρουχα τοῦ 'ντυσε τὸ κορμί του,
κουρελιασμένα καὶ λερὰ καὶ μαῦρα ἀπὸ καπνίλα,
μ' ἀπάνω λάφινη προβιὰ μακριὰ καὶ μαδημένη·
τοῦ δίνει καὶ ραβδὶ χοντρό, κι ἕναν τορβὰ στὸν ὦμο
σκισμένο καὶ μὲ πρόστυχο σκοινὶ γιὰ κρεμαστήρι.
Αὐτὰ εἶπαν, καὶ χωρίστηκαν κι ἐκείνη πῆγε νά 'βρη
στὴ θεία τὴ Λακεδαίμονα τ' ἀγόρι τοῦ Ὀδυσσέα.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ξ

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

αὐτὰρ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν
χῶρον ἀν᾽ ὑλήεντα δι᾽ ἄκριας, ᾗ οἱ Ἀθήνη
πέφραδε δῖον ὑφορβόν, ὅ οἱ βιότοιο μάλιστα
κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
τὸν δ᾽ ἄρ᾽ ἐνὶ προδόμῳ εὗρ᾽ ἥμενον, ἔνθα οἱ αὐλὴ
ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
καλή τε μεγάλη τε, περίδρομος· ἦν ῥα συβώτης
αὐτὸς δείμαθ᾽ ὕεσσιν ἀποιχομένοιο ἄνακτος,
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος,
ῥυτοῖσιν λάεσσι καὶ ἐθρίγκωσεν ἀχέρδῳ·
σταυροὺς δ᾽ ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας·
ἔντοσθεν δ᾽ αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
θήλειαι τοκάδες· τοὶ δ᾽ ἄρσενες ἐκτὸς ἴαυον,
πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
ἀντίθεοι μνηστῆρες, ἐπεὶ προΐαλλε συβώτης
αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον

Κι ἀπ' τὸ λιμάνι πῆρε αὐτὸς βουνήσιο μονοπάτι
σὲ δάσια μέσα, ποὺ ἡ θεὰ τοῦ τό 'χε πῆ πὼς ζοῦσε
ὁ πάγκαλος χοιροβοσκὸς ποὺ νοιάζουνταν τὸ βιός του
πιότερο ἀπ' ὅλους ποὺ ὁ τρανὸς Δυσσέας εἶχε δικούς του.
Τὸν βρῆκε καὶ καθότανε στὰ ξώθυρα μονάχος,
μπρὸς σὲ μεγάλο αὐλόγυρο ἀψηλόστεκο κι ὡραῖο,
μὲ δρόμο γύρω, ποὺ ἴδιος του τὸν εἶχε ἐκεῖ φτιασμένο
γιὰ τοῦ ξενιτεμένου του τοῦ ἀφεντικοῦ τοὺς χοίρους,
δίχως νὰ ξέρη ἡ ἀφέντισσα κι ὁ γέρος ὁ Λαέρτης,
ἀπὸ βουνόπετρες συρτές, μ' ἀγριαπιδιὲς φραγμένο.
Κι ἀπόξω ὀρθόστησε πολλὰ παλούκια πυκνωμένα
γύρω τριγύρω ἀπὸ ἰδρυὰ καλὰ πελεκημένα·
καὶ χοιρομάντρες δώδεκα μὲς στὴν αὐλὴ εἶχε χτίσει
κοντὰ κοντά, κι ἡ καθεμιὰ κλειοῦσε πενήντα μάνες
γουροῦνες χαμοπλαγιαστές· τ' ἀσερνικὰ μαντρίζαν
ἔξω, πολὺ πιὸ λιγοστά· τὶ οἱ θεϊκοὶ οἱ μνηστῆρες
τὰ τρῶγαν, κι ὁ χοιροβοσκὸς τοὺς ἔφερνε ὁλοένα
κι ἀπό 'να, τὸ καλύτερο καὶ πιὸ παχὺ θρεφτάρι·

ἁπάντων·
οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες αἰὲν ἴαυον
τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,
τάμνων δέρμα βόειον ἐϋχροές· οἱ δὲ δὴ ἄλλοι
ᾤχοντ' ἄλλυδις ἄλλος ἅμ' ἀγρομένοισι σύεσσιν,
οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε
σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
ὄφρ' ἱερεύσαντες κρειῶν κορεσαίατο θυμόν.
ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι.
οἱ μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
ἕζετο κερδοσύνη, σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
ἔνθα κεν ᾧ πὰρ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος·
ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μετασπὼν
ἔσσυτ' ἀνὰ πρόθυρον, σκῦτος δέ οἱ ἔκπεσε χειρός.
τοὺς μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλον
πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·
"ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
ἐξαπίνης, καί κέν μοι ἐλεγχείην κατέχευας.
καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε στοναχάς τε·
ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων

τρακόσα ἑξήντα ἀρσενικὰ τοῦ μνήσκανε μονάχα.
Τέσσερεις σκύλοι σὰ θεριὰ ξενύχτιζαν κοντά τους,
ποὺ ὁ πρῶτος τῶ χοιροβοσκῶν τοὺς εἶχε ἀναθρεμμένους.
Καινούργια ἐκεῖνος ταίριαζε στὰ πόδια του τσαρούχια,
βόδινο κόβοντας πετσὶ καλοχρωματισμένο·
γυρίζαν οἱ ἄλλοι ἐδῶ κι ἐκεῖ μὲ τὰ χοιροκοπάδια,
οἱ τρεῖς· τὸν τέταρτο ὁ βοσκὸς στὴ χώρα εἶχε σταλμένο,
θρεφτάρι στοὺς ἀπόκοτους μνηστῆρες γιὰ νὰ φέρη,
γιὰ νὰ τὸ σφάξουνε, νὰ φᾶν καὶ κρέας νὰ χορτάσουν.
Καὶ ξάφνω τὰ μαντρόσκυλα σὰν εἶδαν τὸ Δυσσέα,
τοῦ χύθηκαν γαυγίζοντας· τότες μὲ γνώση χάμου
κάθισε αὐτός, μὰ τοῦ 'πεσεν ἡ ράβδα ἀπὸ τὸ χέρι,
κι ἐκεῖ θὰ κακοπάθαινε, στὴ στάνη τοῦ ἀποδίπλα,
μὰ χούμιξε γοργόποδος ξοπίσω ὁ χοιροτρόφος
στὴν ξώπορτα, καὶ τὸ πετσὶ τοῦ ξέφυγε ἀπ' τὸ χέρι.
Καὶ τὰ σκυλιά του ἐδῶ κι ἐκεῖ σὰ σκόρπισε μὲ πέτρες
καὶ μὲ φοβέρες, γύρισε κι αὐτὰ εἶπε στὸν ἀφέντη·
"Ἀκόμα λίγο, κι ἄξαφνα σὲ ξέσκιζαν οἱ σκύλοι,
κι ἀπ' ἀφορμή σου, γέρο μου, πολὺ θὰ ντροπιαζόμουν.
Μὰ κι ἄλλα οἱ θεοὶ παθήματα καὶ στεναγμοὺς μοῦ δῶκαν,
τὶ κάθουμαι καὶ κλαίγω ἐδῶ θεόμοιαστον ἀφέντη·

ἦμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
πλάζετ᾽ ἐπ᾽ ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε,
εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.

ἀλλ᾽ ἔπεο, κλισίηνδ᾽ ἴομεν, γέρον, ὄφρα καὶ αὐτός,
σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμόν,
εἴπῃς ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε᾽ ἀνέτλης."
ὣς εἰπὼν κλισίηνδ᾽ ἡγήσατο δῖος ὑφορβός,
εἶσεν δ᾽ εἰσαγαγών, ῥῶπας δ᾽ ὑπέχευε δασείας,
ἐστόρεσεν δ᾽ ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγός,
αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ. χαῖρε δ᾽ Ὀδυσσεὺς
ὅττι μιν ὣς ὑπέδεκτο, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
ὅττι μάλιστ᾽ ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ξεῖν᾽, οὔ μοι θέμις ἔστ᾽, οὐδ᾽ εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε· δόσις δ᾽ ὀλίγη τε φίλη τε
γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν
αἰεὶ δειδιότων, ὅτ᾽ ἐπικρατέωσιν ἄνακτες
οἱ νέοι. ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,
ὅς κεν ἔμ᾽ ἐνδυκέως ἐφίλει καὶ κτῆσιν

κοιτάζω τὰ θρεφτάρια αὐτὰ γιὰ νὰ τὰ τρῶνε οἱ ξένοι,
κι ἐκεῖνος δίχως πόρεψη πλανιέται μερονύχτα
σὲ χῶρες μέσα ἀλλόγλωσσων ἀνθρώπων καὶ λημέρια,
ἂ ζῆ δὰ ἀκόμα κι ἂν θωρῆ τοῦ γήλιου τὴ λαμπράδα.
Μὰ ἔλα, γέρο, τώρα ἐσὺ, κι ἂς πᾶμε στὴν καλύβα,
κι ἀπὸ ψωμὶ κι ἀπὸ κρασὶ ἡ καρδιά σου σὰ χορτάση,
λὲς ἀποποῦθε φάνηκες, καὶ ποιὰ τὰ βάσανα σου."
Εἶπε ὁ καλὸς χοιροβοσκός, καὶ μέσα τόνε πῆρε,
καὶ τοῦ 'στρωσε δασιὰ κλαδιὰ μ' ἀγριογιδιοῦ ἀποπάνω
προβιὰ τριχάτη καὶ τρανή, ποὺ στρῶμα του τὴν εἶχε.
Κι αὐτὸς μ' ἐδαῦτα χάρηκε, καὶ φώναξέ τον κι εἶπε·
"Ὁ Δίας κι οἱ ἀθάνατοι θεοὶ ἂς σοῦ δίνουν, ξένε,
γιὰ τὸ καλό σου δέξιμο, τὰ ποὺ ζητάει ἡ καρδιά σου."
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Μὰ κι ἀπὸ σένα πιὸ μικρὸς νὰ ἐρχότανε, δὲ θά 'ταν,
ὦ ξένε μου, πρεπούμενο νὰ μὴν τιμήσω ξένο·
τ' εἶναι τοῦ Δία ὅλ' οἱ φτωχοὶ κι οἱ ξένοι· κι ἀρεστό 'ναι
τὸ λίγο ποὺ ἐμεῖς δίνουμε· νόμος αὐτὸς τῶ δούλων,
ποὺ τὸν καινούργιο ἀφέντη τους τόνε, φοβοῦνται πάντα.
Τὶ τοῦ 'κοψαν οἱ ἀθάνατοι τὸ γυρισμό του ἐκείνου,
ποὺ θὰ μ' ἀγάπαε γκαρδιακὰ καὶ θά 'δινέ

ὄπασσεν,
οἶκόν τε κλῆρόν τε πολυμνήστην τε γυναῖκα,
οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
ὅς οἱ πολλὰ κάμῃσι, θεὸς δ᾽ ἐπὶ ἔργον ἀέξῃ,
ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἐπιμίμνω.
τῷ κέ με πόλλ᾽ ὤνησεν ἄναξ, εἰ αὐτόθ᾽ ἐγήρα·
ἀλλ᾽ ὄλεθ᾽--ὡς ὤφελλ᾽ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ᾽ ἔλυσε·
καὶ γὰρ κεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
᾽Ιλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο."
ὣς εἰπὼν ζωστῆρι θοῶς συνέεργε χιτῶνα,
βῆ δ᾽ ἴμεν ἐς συφεούς, ὅθι ἔθνεα ἔρχατο χοίρων.
ἔνθεν ἑλὼν δύ᾽ ἔνεικε καὶ ἀμφοτέρους ἱέρευσεν,
εὖσέ τε μίστυλλέν τε καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειρεν.
ὀπτήσας δ᾽ ἄρα πάντα φέρων παρέθηκ᾽ Ὀδυσῆϊ
θέρμ᾽ αὐτοῖς ὀβελοῖσιν· ὁ δ᾽ ἄλφιτα λευκὰ πάλυνεν·
ἐν δ᾽ ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον,
αὐτὸς δ᾽ ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
"ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμῳέσσι πάρεστι,
χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ᾽ ἐλεητύν.
οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,

μου πλούτια,
σπίτι καὶ χτῆμα καὶ μαζὶ γυναίκα ζηλεμένη,
κι ὅσα ὁ ἀφέντης ὁ καλὸς χαρίζει σὲ ἄνθρωπό του,
ποὺ καλοδούλεψε, κι ὁ θεὸς τὰ ἔργατά του ἀξαίνει,
καθὼς ἐμένα τὰ ἔργατα ποὺ κάνω αὐτὰ μοῦ ἀξαίνει.
Ἂ γέραζε κι ὁ ἀφέντης μου δῶ πέρα, τί χαρά μου.
Μὰ χάθηκε, ποὺ ἂς χάνουνταν ἡ φύτρα τῆς Ἑλένης
ἁλάκερη, ποὺ ἀντρῶν ψυχὲς πλῆθος γι' αὐτὴ χαθῆκαν·
γιατί γιὰ τοῦ Ἀγαμέμνονα τὴ χάρη κι αὐτὸς πῆγε
στὸ Ἴλιο τ' ἀλογάρικο, τοὺς Τρῶες νὰ πολεμήση. ″
Εἶπε, καὶ στὸ χιτώνα του σφιχτόδεσε τὴ ζώνη,
καὶ πρὸς τὶς μάντρες κίνησε, ποὺ ἦταν κλεισμένοι χοῖροι.
Δυὸ πῆρε καὶ τοὺς ἔσφαξε, κι ἀπὲ καψάλισε τους,
τοὺς λιάνισε καὶ πέρασε τὰ κρέατα στὶς σοῦβλες,
καὶ σὰν καλοψηθήκανε τὰ φέρνει τοῦ Ὀδυσσέα,
ὁλόζεστα μὲ τὰ σουβλιά, καὶ μ' ἄσπρο ἀλεύρι ἀπάνω.
Σμίγει καὶ τὸ μελόγλυκο κρασὶ μὲς στὸ καρδάρι,
καθίζει ἀγνάντια, τὸν καλεῖ, κι αὐτὰ τοῦ συντυχαίνει·
“ Τρῶγε ἀπὸ δούλου χοιρινὸ κρεάσι τώρα, ὦ ξένε·
τὰ παχουλὰ θρεφτάρια μας τὰ χαίρουνται οἱ μνηστῆρες,
ποὺ μέσα τους εἶναι ἄσπλαχνη κι ἀθεόφοβη ἡ ψυχή τους.
Μὰ τ' ἄνομα οἱ μακαριστοὶ θεοὶ δὲν τ' ἀγαπᾶνε,

ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ᾽ ἀνθρώπων.
παρὰ τὰ δίκια καὶ καλὰ τιμοῦν καμώματά μας.

καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵ τ᾽ ἐπὶ γαίης
Κι ἂν κακοπράχτες κι ἄτιμοι πατήσουνε γῆς ξένη,

ἀλλοτρίης βῶσιν καί σφι Ζεὺς λῃΐδα δώῃ,
καὶ λάφυρα ν' ἁρπάξουνε τοὺς βοηθήση ὁ Δίας,

πλησάμενοι δέ τε νῆας ἔβαν οἶκόνδε νέεσθαι,
τὸ πλοῖο φορτώνουν, καὶ γοργὰ στὸν τόπο τους γυρνοῦνε,

καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει.
τὶ τήν ψυχή τους τυραννεῖ θεϊκῆς ὀργῆς τρομάρα.

οἵδε δὲ καί τι ἴσασι, θεοῦ δέ τιν᾽ ἔκλυον αὐδήν,
Μὰ ἐτοῦτοι ἀπὸ θεοῦ φωνή θ' ἀκοῦσαν καὶ θὰ μάθαν

κείνου λυγρὸν ὄλεθρον, ὅτ᾽ οὐκ ἐθέλουσι δικαίως
τὸ μαῦρο τέλος του ἐπειδὴς δὲν προξενεύουν δίκια,

μνᾶσθαι οὐδὲ νέεσθαι ἐπὶ σφέτερ᾽, ἀλλὰ μήτε γυρνοῦν στὰ σπίτια τους, μόν' κάθουνται καὶ τρῶνε,

ἔκηλοι κτήματα δαρδάπτουσιν ὑπέρβιον,
τὰ πλούτια μας μ' ἀδιαντροπιὰ χωρὶς νὰ τὰ λυποῦνται.

οὐδ᾽ ἔπι φειδώ.

ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ Διός εἰσιν,
Τὶ κάθε μέρα καὶ νυχτιὰ ποὺ μᾶς χαρίζει ὁ Δίας,

οὔ ποθ᾽ ἓν ἱρεύουσ᾽ ἱερήϊον, οὐδὲ δύ᾽ οἴω·
ἕνα σφαχτὸ δὲ σφάζουνε, καὶ μήτε δυὸ μονάχα·

οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
ἀτέλειωτα καὶ τὸ κρασὶ τραβοῦν καὶ τὸ ρουφᾶνε,

ἦ γάρ οἱ ζωή γ᾽ ἦν ἄσπετος· οὔ τινι τόσση
γιατ' εἶχε βιὸς ἀρίφνητο, κι ὅσο κανένας ἄλλος

ἀνδρῶν ἠρώων, οὔτ᾽ ἠπείροιο μελαίνης
δὲν εἶχε στὴ μαυροστεριὰ μηδὲ στὸ Θιάκι μέσα.

οὔτ᾽ αὐτῆς Ἰθάκης· οὐδὲ ξυνεείκοσι φωτῶν
Εἴκοσι ἀρχόντοι μαζωχτοὶ δὲν ἔχουν τόσα πλούτια·

ἔστ᾽ ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω.
νὰ σ' τὰ μετρήσω. Δώδεκα κοπὲς βοδιῶνε κεῖθε·

δώδεκ᾽ ἐν ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν,
κι εἶναι ἄλλες τόσες πρόβατα, κι ἀκόμα τόσες χοῖροι·

τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν
γίδια κοπάδια δώδεκα, ἁπλωτά, ποὺ οἱ πιστικοί του

βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες.
τὰ βόσκουν καὶ τὰ νοιάζουνται, καὶ ξένοι καὶ δικοί του.

ἐνθάδε δ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν ἔνδεκα πάντα
Κι ἐδῶ, στὴν ἄκρη τοῦ νησιοῦ, γιδιῶν κοπάδια βόσκουν

ἐσχατιῇ βόσκοντ᾽, ἐπὶ δ᾽ ἀνέρες ἐσθλοὶ ὄρονται.
ἔντεκα, καὶ καλόβουλοι τὰ σαλαγᾶνε ἀνθρῶποι.

τῶν αἰεί σφιν ἕκαστος ἐπ᾽ ἤματι μῆλον
Καθεμερνὰ καθένας τους θὰ φέρη στοὺς

ἀγινεῖ,
ζατρεφέων αἰγῶν ὅς τις φαίνηται ἄριστος.
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε ῥύομαί τε,
καί σφι συῶν τὸν ἄριστον ἐὺ κρίνας ἀποπέμπω."
ὣς φύθ', ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε πῖνέ τε οἶνον
ἁρπαλέως ἀκέων, κακὰ δὲ μνηστῆρσι φύτευεν.
αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ,
καί οἱ πλησάμενος δῶκε σκύφον, ᾧ περ ὁ ἄλλος
ἔπινεν,
οἴνου ἐνίπλειον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἐοῖσιν,
ὥδε μάλ' ἀφνειὸς καὶ καρτερὸς ὡς ἀγορεύεις;
φῆς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς.
εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
εἴ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθην."
τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν·
"ὦ γέρον, οὔ τις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν,
ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ὃς δέ κ' ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,

μνηστῆρες
ἀπὸ τὰ γίδια τὰ παχιὰ τὸ πιὸ καλὸ ποὺ βρίσκει.
Ἐγὼ φυλάω καὶ νοιάζουμαι τοὺς χοίρους ἐδῶ ἐτούτους,
καὶ πάντα τὸν καλύτερο διαλέγω καὶ τοὺς στέλνω. ″
Εἶπε· κι ἐκεῖνος ἁρπαχτὰ τρωγόπινε σωπώντας,
καὶ μέσα του κρυφόπλεχνε κακὸ γιὰ τοὺς μνηστῆρες.
Καὶ σάνε καλοδείπνησε καὶ φράνθηκε ἡ καρδιά του,
κρατοῦσε,
κρασὶ γεμάτο τοῦ 'δωσε, κι αὐτὸς τὸ καλοδέχτη,
καὶ φώναξέ του κι εἶπε του μὲ λόγια φτερωμένα·
″ Φίλε, καὶ ποιὸς σ' ἀγόρασε μὲ βιὸς δικό του ἐσένα,
μεγάλος καὶ βαθιόπλουτος, καθὼς τὸν παρασταίνεις,
καὶ λὲς γιὰ τοῦ Ἀγαμέμνονα τὴ χάρη θά 'χη πέσει ;
Πές μου, μὴν τόνε γνώρισα ποιός ἦταν· γιατὶ ὁ Δίας
κι οἱ ἄλλοι θεοὶ θὰ ξέρουν ἂν τὸν εἶδα κι ἐδῶ φέρνω
μαντάτα του· τὶ γύρισα μέρη πολλὰ στὸν κόσμο.″
Κι ὁ πρῶτος τῶ χοιροβοσκῶν ἀπάντησε καὶ τοῦ πε,
″ Μήδ' ἡ γυναίκα μήτε ὁ γιός, ὦ γέρο, δὲν ἀκούγει
τὸν ταξιδιώτη ποὺ ἔρχεται καὶ λέει μαντάτα φέρνει·
πολλοὶ πλανιοῦνται κι ἔρχουνται γιὰ λίγη πόρεψή τους,
μὰ τοὺς γελοῦν μὲ ψέματα καὶ κρύβουν τὴν ἀλήθεια.
Ἂν τύχη κοσμογυριστὴς καὶ φτάση ἐδῶ στὸ Θιάκι,

ἐλθὼν ἐς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
ἡ δ᾽ εὖ δεξαμένη φιλέει καὶ ἕκαστα μεταλλᾷ,
καί οἱ ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,
ἣ θέμις ἐστὶ γυναικός, ἐπὴν πόσις ἄλλοθ᾽ ὄληται.
αἶψά κε καὶ σύ, γεραιέ, ἔπος παρατεκτήναιο.
εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δοίη.
τοῦ δ᾽ ἤδη μέλλουσι κύνες ταχέες τ᾽ οἰωνοὶ
ῥινὸν ἀπ᾽ ὀστεόφιν ἐρύσαι, ψυχὴ δὲ λέλοιπεν·
ἢ τόν γ᾽ ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ᾽ αὐτοῦ
κεῖται ἐπ᾽ ἠπείρου ψαμάθῳ εἰλυμένα πολλῇ.
ὣς ὁ μὲν ἔνθ᾽ ἀπόλωλε, φίλοισι δὲ κήδε᾽ ὀπίσσω
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ᾽ ἄλλον
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ᾽ ἐπέλθω,
οὐδ᾽ εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
οἶκον, ὅθι πρῶτον γενόμην καί μ᾽ ἔτρεφον αὐτοί.
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ
ὀφθαλμοῖσιν ἰδέσθαι ἐὼν ἐν πατρίδι γαίῃ·
ἀλλά μ᾽ Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
τὸν μὲν ἐγών, ὦ ξεῖνε, καὶ οὐ παρεόντ᾽ ὀνομάζειν
αἰδέομαι· πέρι γάρ μ᾽ ἐφίλει καὶ κήδετο θυμῷ·
ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα."
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος

ἔρχεται, λόγια πλανερὰ στὴ δέσποινα μου κρένει,
κι αὐτὴ τὸν καλοδέχεται, κι ὅλα ζητάει νὰ μάθη,
χύνοντας δάκρυα περισσά, σὰν πού 'ναι τὸ συνήθειο
κάθε γυναίκας ποὺ ἄντρα της στὰ ξένα ἔχει χαμένο.
Ἔτσι κι ἐσὺ θὰ σκάρωνες, ὦ γέρο, παραμύθια,
σ' ὅποιον χλαμύδα σοῦ 'δινε νὰ βάλης καὶ χιτώνα.
Ὡς τόσο ἐκειοῦ θὰ τοῦ 'γδαραν τὰ κόκκαλά του οἱ σκύλοι
καὶ τὰ ὄρνια τὰ γοργόφτερα, καὶ τέλειωσε ἡ ζωή του·
ἢ τὸν ψάρια τόνε φάγανε στὴ θάλασσα, καὶ τώρα
τὰ κόκκαλά του στὴ στεριὰ κοίτουνται μὲς στοὺς ἄμμους.
Χάθηκ' ἐκεῖνος, καὶ σ' ἐμᾶς τοὺς φίλους μὰ σ' ἐμένα
ἀκόμα πιότερο ἄφησε τῆς στέρησης τὸν πόνο·
τὶ τέτοιο ἀφέντη πάγκαλο δὲ θά 'βρω ὅπου κι ἂν πάω,
μήτε στῆς μάνας μου ξανὰ καὶ στοῦ κυροῦ ἃ γυρίσω
τὸ σπίτι ποὺ γεννήθηκα, καὶ μ' ἔθρεψαν ἐκεῖνοι.
Μήτε γιὰ κείνους τόσο ἐγὼ δὲ θά 'κλαιγα, κι ἂς θέλω
νὰ τοὺς χαροῦν τὰ μάτια μου στὴν ποθητὴ πατρίδα·
μὰ τοῦ Ὀδυσσέα ποὺ χάθηκε μὲ συνεπαίρνει ὁ πόθος.
Ποὺ τ' ὄνομά του ντρέπουμαι νὰ πῶ, κι ἂς λείπη, ὦ ξένε,
τὶ μ' ἀγαποῦσε ὁλόψυχα καὶ μὲ πονοῦσε ἐκεῖνος·
φίλο ἀδερφὸ τὸν κράζω ἐγώ, κι ἂς βρίσκεται μακριά μου."
Τότες τοῦ λάλησε ὁ τρανὸς, πολύπαθος

Ὀδυσσεύς·
"ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδ' ἔτι φῇσθα
κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
ὡς νεῖται Ὀδυσεύς· εὐαγγέλιον δέ μοι ἔστω
αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται·
ἕσσαι με χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά·
πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔ τι δεχοίμην.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι
γίγνεται, ὃς πενίῃ εἴκων ἀπατήλια βάζει.
ἵστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς.
τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο,
οἵκαδε νοστήσει, καὶ τίσεται ὅς τις ἐκείνου
ἐνθάδ' ἀτιμάζει ἄλοχον καὶ φαίδιμον υἱόν."
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἔκηλος
πῖνε, καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
μίμνησκ'· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν

Δυσσέας·
"Φίλε, ποὺ ἀρνιέσαι ὁλότελα νὰ πῆς πὼς θὰ ξανάρθη
ἐκεῖνος πάλε, κι ἄπιστος ὁλοένα μένει ὁ νοῦς σου,
ἐγὼ τοῦ βρόντου δὲ μιλῶ, παρὰ σοῦ λέω μὲ ὅρκο,
πὼς ὁ Δυσσέας ἔρχεται· κι ὅσο γιὰ συχαρίκια,
εὐτὺς ποὺ στὰ παλάτια του ὁ ἀφέντης σου πατήση,
μὲ ὥρια χλαμύδα καὶ καλὸ χιτώνα θὰ μὲ ντύσης·
πρὶν ὅμως δὲν τὰ δέχουμαι, πολλὴ κι ἂν τά 'χω ἀνάγκη·
τὶ ὅσο ἐγὼ σιχαίνουμαι τὶς μαῦρες πόρτες τοῦ Ἅδη,
τόσο κι ἐκεῖνον ποὺ ψευτιὲς σοφίζεται ἀπὸ φτώχεια.
Ὁ Δίας νά 'ναι μάρτυρας, τὸ ξενικὸ τραπέζι,
κι ἐτούτη ἡ στιὰ τοῦ θεόλαμπρου Ὀδυσσέα ποὺ μὲ δέχτη,
πὼς ὅλ' αὐτὰ θὰ τελεστοῦν καθὼς ἐγὼ τὰ λέγω.
Μέσα στὸ χρόνο αὐτὸν ἐδῶ θὰ φτάση ὁ Ὀδυσσέας.
Τοῦτος ὁ μήνας ἅμα βγῆ, κι ἅμα πατήση ὁ ἄλλος,
θὰ ρθῆ πάλε στὸ σπίτι του, καὶ θὰ παιδέψη ἐκείνους
ποὺ βρίζουν τὴ γυναίκα του καὶ τὸ χρυσό του γιόκα."
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης, κι εἶπες·
"Μήτε σοῦ δίνω ἐγὼ ποτὲς τὰ συχαρίκια, ὦ γέρο,
καὶ μήτε ὁ Ὀδυσσέας θὰ ρθῆ στὸ σπίτι του·
μόν' πίνε
ἥσυχα ἐσὺ, καὶ πίνοντας ἄλλη κουβέντα ἂς βροῦμε,
κι αὐτὰ μὴ μοῦ θυμίζης τα, γιατί πονεῖ ἡ καρδιά μου

ἄχνυται, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος.
ἀλλ᾽ ἦ τοι ὅρκον μὲν ἐάσομεν, αὐτὰρ Ὀδυσσεὺς
ἔλθοι ὅπως μιν ἐγώ γ᾽ ἐθέλω καὶ Πηνελόπεια
Λαέρτης θ᾽ ὁ γέρων καὶ Τηλέμαχος θεοειδής.
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ᾽ Ὀδυσσεύς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοὶ ἔρνεϊ ἶσον,
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔ τι κι εἶπα, δὲ θά 'βγη πιὸ ἀχαμνὸς ἀπ' τὸ χέρηα
πατρὸς ἑοῖο φίλοιο, δέμας καὶ εἶδος ἀγητόν,
τὸν δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας
ἠέ τις ἀνθρώπων· ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
οἴκαδ᾽ ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
νώνυμον ἐξ᾽Ιθάκης Ἀρκεισίου ἀντιθέοιο.
ἀλλ᾽ ἦ τοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ
ἦ κε φύγῃ καί κέν οἱ ὑπέρσχῃ χεῖρα Κρονίων.
ἀλλ᾽ ἄγε μοι σύ, γεραιέ, τὰ σ᾽ αὐτοῦ κήδε᾽ ἐνίσπες
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὺ εἰδῶ·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁππποίης τ᾽ ἐπὶ νηὸς ἀφίκεο· πῶς δέ σε ναῦται
ἤγαγον εἰς᾽Ιθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ᾽ ἱκέσθαι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη

σὰ μοῦ θυμίζουν ἄξαφνα τὸ δοξαστό μου ἀφέντη.
Καὶ τώρα ἂς τὸν ἀφήσουμε τὸν ὅρκο, ἂν καὶ μακάρι
νά 'ρθη ὁ Δυσσέας, καθὼς κι ἐγὼ ποθῶ κι ἡ Πηνελόπη,
κι ὁ θεόμοιαστος Τηλέμαχος κι ὁ γέρος ὁ Λαέρτης.
Ὡς τόσο τὸν Τηλέμαχο, τὸ τέκνο τοῦ Ὀδυσσέα,
τὸν πικροκλαίω, ποὺ οἱ θεοὶ τὸν θρέψαν σὰ βλαστάρι,
λαμπρὸ γονιό του,
τὸν ξακουστὸ στὴν ὀμορφιὰ καὶ στὸ κορμί, μὰ τώρα
κάποιος θνητὸς ἢ ἀθάνατος τοῦ θάμπωσε τὰ φρένα·,
στὴν ὥρια Πύλο τράβηξε ν' ἀκούση τοῦ γονιοῦ του
μαντάτα. Κι οἱ καμαρωτοὶ μνηστῆρες τοῦ 'χουν στήσει
καρτέρι πὰς στὸ γυρισμό, γιὰ νὰ χαθῆ τὸ γένος
καὶ τ' ὄνομα τοῦ ἰσόθεου τοῦ Ἀρκείσιου ἀπ' τὸ Θιάκι.
Μὰ ἂς τὸν ἀφήσουμε, ἢ πιαστῆ ἀπ' αὐτούς, ἢ καὶ γλυτώση,
σὰ βάλη ὁ Δίας τὸ χέρι του καὶ τόνε διαφεντέψη.
Μόνε ἔλα, γέρο, κι ὅλα σου δηγήσου μου τὰ πάθια·
πές μου κι ἐτοῦτο ξάστερα· ποιός εἶσαι, κι ἀποποῦθε;
ποιοί 'ν' οἱ γονιοί σου, ὁ τόπος σου; μὲ τί καράβι φάνης ;
οἱ ναῦτες πῶς σὲ φέρανε στὸ Θιάκι ; ποιοί παινιένται
πὼς εἶναι ; τί θαρρῶ πεζὸς ἐδῶ δὲ μᾶς ὁρίζεις."

Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τοῦ

πολύμητις Ὀδυσσεύς
"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ
ἠδὲ μέθυ γλυκερὸν κλισίης ἔντοσθεν ἐοῦσι,
δαίνυσθαι ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἔποιεν·
ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
οὔ τι διαπρήξαιμι λέγων ἐμὰ κήδεα θυμοῦ,
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
"ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι
υἱέες ἐν μεγάρῳ ἠμὲν τράφεν ἠδ' ἐγένοντο
γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
παλλακίς, ἀλλά με ἶσον ἰθαιγενέεσσιν ἐτίμα
Κάστωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι
ὃς τότ' ἐνὶ Κρήτεσσι θεὸς ὡς τίετο δήμῳ
ὄλβῳ τε πλούτῳ τε καὶ υἱάσι κυδαλίμοισιν.
ἀλλ' ἦ τοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι
εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδύσαντο
παῖδες ὑπέρθυμοι καὶ ἐπὶ κλήρους ἐβάλοντο,
αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν καὶ οἰκί' ἔνειμαν.
ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων
εἵνεκ' ἐμῆς ἀρετῆς, ἐπεὶ οὐκ ἀποφώλιος ἦα

ἀπολογήθη κι εἶπε·
"Ὅλα σωστὰ κι ἀληθινὰ θὰ σοῦ τὰ πῶ ἐγὼ τοῦτα.
Καὶ νά 'χαμε γιὰ κάμποσον καιρὸ μὲς στὴν καλύβα
φαΐ καὶ γλυκερὸ κρασί, καὶ καλοκαθισμένοι
νὰ τρώγαμε, νὰ πίναμε, κι οἱ ἄλλοι νὰ δουλεῦαν,
θὰ σοῦ μιλοῦσα ἀλάκερο τὸ χρόνο δίχως κόπο,
καὶ πάλε δὲ θὰ τέλειωνα τὰ πάθια τῆς ψυχῆς μου,
ὅσα ἀπὸ θέλημα θεῶν σωρὸς μοῦ μαζωχτῆκαν.
Ἀπ' τὴν ἁπλόχωρη βαστάει ἡ φύτρα μου τὴν Κρήτη,
καὶ πλούσιου ἀνθρώπου εἶμαι παιδί· κι ἄλλους πολλοὺς στὸ σπίτι
γέννησε γιοὺς κι ἀνάθρεψε μὲ τὴ στεφανωτή του,
μὰ ἐμένα ἐκεῖ μὲ γέννησε σκλάβα ἀγαπητικιά του.
Ὅμως σὰν τ' ἄλλα του παιδιὰ κι ἐμένα μὲ τιμοῦσε,
ὁ Κάστορας τοῦ Ὕλακα· θρέμμα του ἐγὼ παινιέμαι,
ποὺ τόνε λάτρευε σὰ θεὸ στὴν Κρήτη ὁ κόσμος ὅλος,
τὶ πλούτια καὶ καλοτυχιὰ καὶ ξακουστὰ εἶχε τέκνα.
Μὰ τοῦ θανάτου οἱ δαίμονες στὸν Ἅδη σὰν τὸν πῆγαν,
τὰ παλληκάρια του τὸ βιὸς μοιράστηκαν μὲ κλήρους,
κι ἐμένα λίγο μερτικὸ μοῦ ἀφῆκαν, κι ἕνα σπίτι.
Κόρη γονιῶν μυριόπλουτων πῆρα γυναίκα τότες,
ἀπὸ δική μου λεβεντιά, γιατί ἄναντρος δὲν ἤμουν
μήτε ἀνωφέλευτος ἐγώ· τώρα μου λεῖψαν ὅλα.

οὐδὲ φυγοπτόλεμος· νῦν δ᾽ ἤδη πάντα λέλοιπεν
ἀλλ᾽ ἔμπης καλάμην γέ σ᾽ ὀΐομαι εἰσορόωντα
γιγνώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ᾽ ἔδοσαν καὶ Ἀθήνη
καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
ἄνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,
οὔ ποτέ μοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἔλεσκον
ἀνδρῶν δυσμενέων ὅ τέ μοι εἴξειε πόδεσσιν.
τοῖος ἔα ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν
οὐδ᾽ οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα,
ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεστοι καὶ ὀϊστοί,
λυγρά, τά τ᾽ ἄλλοισίν γε καταριγηλὰ πέλονται.
αὐτὰρ ἐμοὶ τὰ φίλ᾽ ἔσκε τά που θεὸς ἐν φρεσὶ θῆκεν·
ἄλλος γάρ τ᾽ ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν
εἰνάκις ἀνδράσιν ἦρξα καὶ ὠκυπόροισι νέεσσιν
ἄνδρας ἐς ἀλλοδαπούς, καί μοι μάλα τύγχανε πολλά.
τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ᾽ ὀπίσσω
λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί

Μὰ κι ἀπ' τὴν καλαμιὰ θαρρῶ ποὺ βλέπεις,
θὰ μὲ νιώσης,
τὶ ἤμουν πριχοῦ μὲ ζώσουνε τὰ βάσανα κι οἱ πόνοι.
Θάρρος καὶ τόλμη ἡ Ἀθηνᾶ κι ὁ Ἄρης μοῦ χαρίσαν,
ποὺ ἀσκέρια ὀμπρός μου σπάζανε· σὰν ἔπαιρνα μαζί μου
παλληκαράδες διαλεχτούς, καὶ στήναμε καρτέρι,
μεγάλο πλέχνοντας κακὸ τοῦ ὀχτροῦ, ἡ ἀντρειωμένη
ψυχή μου τότες θάνατο δὲ λόγιαζε ὀμπροστά της,
μόν' πρῶτος πρῶτος χούμιζα, κι ὅποιος ὀχτρὸς δὲ μπόρειε
νὰ μὲ ξεφύγη, τοῦ 'παιρνα τὴ ζωὴ μὲ τὸ κοντάρι.
Τέτοιος ἐγὼ στὸν πόλεμο· δὲ μ' ἄρεζαν χωράφια
καὶ σπιτικά, ποὺ συνηθοῦν λαμπρὰ παιδιὰ νὰ θρέφουν,
μόνε ὅλο πλοῖα μὲ τὰ κουπιὰ λαχτάραγε ἡ καρδιά μου,
πολέμους, καὶ καλόξεστα κοντάρια καὶ σαγίτες,
κακά, ποὺ φόβο σὲ ἀλλονοὺς κι ἀνατριχίλα δίνουν.
Μὰ πάλε, τὰ ὅσα μοῦ 'βαζε ὁ θεὸς στὸ νοῦ ἀγαποῦσα·
τὶ ἄλλα ὁ ἕνας κυνηγάει, κι ἄλλα ζητάει ὁ ἄλλος.
Καὶ πρὶν ἀκόμα οἱ Ἀχαιοὶ πατήσουνε στὴν Τροία,
ἐννιὰ φορὲς ἐγὼ ἀρχηγὸς μὲ τὰ καράβια βγῆκα
σὲ ξένους τόπους, καὶ πολλὰ μάζευα τότες πλούτια.
Διάλεγα μέρος, καὶ πολλὰ μοῦ πέφταν καὶ στὸν κλῆρο.
Μεγάλωσε κι ἀρχόντηνε μεμιὰς τὸ σπιτικό

ῥα ἔπειτα
δεινός τ᾽ αἰδοῖός τε μετὰ Κρήτεσσι τετύγμην.
"ἀλλ᾽ ὅτε δὴ τήν γε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσαθ᾽, ἢ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ᾽ ἔλυσε,
δὴ τότ᾽ ἔμ᾽ ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
νήεσσ᾽ ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
ἦεν ἀνήνασθαι, χαλεπὴ δ᾽ ἔχε δήμου φῆμις.
ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
οἴκαδε σὺν νήεσσι, θεὸς δ᾽ ἐκέδασσεν Ἀχαιούς.
αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
μῆνα γὰρ οἷον ἔμεινα τεταρπόμενος τεκέεσσιν
κουριδίῃ τ᾽ ἀλόχῳ καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
νῆας ἐὺ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν.
ἐννέα νῆας στεῖλα, θοῶς δ᾽ ἐσαγείρατο λαός.
ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
δαίνυντ᾽· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον
θεοῖσίν τε ῥέζειν αὐτοῖσί τε δαῖτα πένεσθαι.
ἑβδομάτῃ δ᾽ ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ
ῥηϊδίως, ὡς εἴ τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
νηῶν πημάνθη, ἀλλ᾽ ἀσκηθέες καὶ

μου,
κι ὅλοι τὴν Κρήτη μ' ἔβλεπαν μὲ σεβασμὸ καὶ φόβο.
Μὰ σὰ στοχάστη ὁ βροντηχτής ὁ Δίας τὸ ταξίδι
τὸ τρομερό, ποὺ ἀρίθμητους ἀφάνισε λεβέντες,
ἐμένα καὶ τὸν ξακουστὸ Ἰδομενέα προστάξαν
νὰ πᾶμε οἱ δυό μας ἀρχηγοὶ στὸ Ἴλιο μὲ τὰ πλοῖα.
Δὲν ἦταν τρόπος ν' ἀρνηθῶ· βαρὺς τοῦ λαοῦ ὁ λόγος.
Χρόνους ἐννιὰ χτυπιούμασταν Ἀχαιοὶ μὲ Τρωαδῖτες,
στοὺς δέκα χρόνους, πήραμε τὴ χώρα τοῦ Πριάμου·
ὅμως στὸ γυρισμὸ θεὸς μᾶς σκόρπισε τὰ πλοῖα,
κι ἐμένα ὁ Δίας συφορὲς τοῦ δόλιου μελετοῦσε·
τὶ μόλις μήνα χάρηκα παιδιά, γυναίκα, πλούτια,
καὶ πόθος μοῦ 'ρθε στὴν καρδιὰ καράβια ν' ἀρματώσω,
καὶ μὲ συντρόφους διαλεχτοὺς στὴν Αἴγυπτο νὰ σύρω.
Ἐννιὰ καράβια ἀρμάτωσα, καὶ τρέξαν μέσα κόσμος,
Ἑξι μερόνυχτα οἱ καλοὶ συντρόφοι τρωγοπίναν,
καὶ τότε ἐγὼ τοὺς ἔδινα παχιὰ σφαχτὰ ὁλοένα,
νὰ θυσιάζουνε στοὺς θεούς, νὰ γεύουνται κι ἀτοί τους.
Ἑβδομη μέρα, ἀπ' τὴν πλατειὰ τὴν Κρήτη ξεκινώντας
μὲ δυνατὸ καλὸ Βοριὰ ἀρμενίζαμε στὰ πρύμα,
ποὺ ρέμα λὲς μᾶς ἔσερνε· μήτ' ἕνα ἀπ' τὰ καράβια
δὲν ἔπαθε, μόν' ἄβλαβοι καθόμασταν, κι

ἄνουσοι
ἤμεθα, τὰς δ᾽ ἄνεμός τε κυβερνῆταί τ᾽ ἴθυνον.
"πεμπταῖοι δ᾽ Αἴγυπτον ἐϋρρείτην ἱκόμεσθα,
στῆσα δ᾽ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
ἔνθ᾽ ἦ τοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
οἱ δ᾽ ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ᾽ Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ᾽ ἔκτεινον· τάχα δ᾽ ἐς πόλιν ἵκετ᾽ ἀϋτή.
οἱ δὲ βοῆς ἀΐοντες ἅμ᾽ ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ᾽ ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ᾽ ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶν ὧδε νόημα
ποίησ᾽--ὡς ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ᾽ ὑπέδεκτο--
αὐτίκ᾽ ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα

ἐκεῖνα
τὰ πήγαινε ἴσια ὁ ἄνεμος μαζὶ μὲ τοὺς ποδότες,
Σὲ μέρες πέντε φτάσαμε στοῦ ποταμοῦ τοῦ Αἰγύπτου
τὸ καλὸ ρέμα· καὶ ἄραξα τὰ δίπλωρα καράβια.
Πρόσταξα τότες τοὺς καλοὺς συντρόφους μου νὰ μείνουν
αὐτοῦ, πλάϊ στὰ καράβια τους, γιὰ νὰ τὰ διαφεντεύουν,
κι ἔστειλα βίγλες νὰ τηροῦν ἀπ' τὶς κορφὲς τριγύρω·
μὰ ἐκεῖνοι ξεπαρθήκανε κι ὅπου ἤθελαν τραβῆξαν·
τῶν Αἰγυπτίων κουρσέψανε τὰ ὁλόμορφα χωράφια,
καὶ παῖρναν γυναικόπαιδα, χαλνούσανε τοὺς ἄντρες.
Κι ἤρθε ὡς τὴ χώρα τὸ βουητό, κι ἀκοῦν αὐτοὶ καὶ τρέχουν
σὰν ἔφεξε· καὶ γέμισε πεζούρα καὶ καβάλα
ὅλος ὁ κάμπος, κι ἄστραφτε ὁ χαλκός· κι ὁ βροντοχάρης
ὁ Δίας στοὺς συντρόφους μου ρίχνει κακὴ φευγάλα,
κι ἕνας δὲν κότανε νὰ σταθῆ κι ὀχτρό του ν' ἀντικρύση,
γιατί παντοῦθε ἀφανισμὸς κακὸς τοὺς εἶχε ζώσει.
Τότες πολλοὺς μοῦ σκότωσαν τὰ κοφτερὰ σπαθιά τους,
κι ἄλλους τοὺς πιάσαν ζωντανοὺς καὶ στὴ σκλαβιὰ τοὺς ρίξαν.
Ὡς τόσο αὐτὸ τὸ στοχασμὸ μοῦ φέρνει ὁ Δίας στὸ νοῦ μου,
ἂν καὶ μακάρι ὁ θανατος νὰ μ' εὕρισκε ἐκεῖ πέρα,
τὶ κι ἄλλα μὲ προσμένανε παθήματα κατόπι.
Βγάζω καὶ θέτω καταγῆς τὸ κράνος, τὴν ἀσπίδα,

καὶ σάκος ὤμοιϊν, δόρυ δ᾽ ἔκβαλον ἔκτοσε χειρός·
αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἦλυθον ἵππων
καὶ κύσα γούναθ᾽ ἑλών· ὁδ᾽ ἐρύσατο καί μ᾽ ἐλέησεν,
ἐς δίφρον δέ μ᾽ ἔσας ἄγεν οἰκαδε δάκρυ χέοντα.
ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
ἱέμενοι κτεῖναι--δὴ γὰρ κεχολώατο λίην--
ἀλλ᾽ ἀπὸ κεῖνος ἔρυκε, Διὸς δ᾽ ὠπίζετο μῆνιν
ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
"ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ᾽ ἄγειρα
χρήματ᾽ ἀν᾽ Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
ἀλλ᾽ ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθεν,
δὴ τότε Φοῖνιξ ἦλθεν ἀνὴρ ἀπατήλια εἰδώς,
τρώκτης, ὃς δὴ πολλὰ κάκ᾽ ἀνθρώποισιν ἐώργει·
ὅς μ᾽ ἄγε παρπεπιθὼν ἧσι φρεσίν, ὄφρ᾽ ἱκόμεσθα
Φοινίκην, ὅθι τοῦ γε δόμοι καὶ κτήματ᾽ ἔκειτο.
ἔνθα παρ᾽ αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν.
ἀλλ᾽ ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο
ἄψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
ἐς Λιβύην μ᾽ ἐπὶ νηὸς ἐέσσατο ποντοπόροιο
ψεύδεα βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι,
κεῖθι δέ μ᾽ ὡς περάσειε καὶ ἄσπετον ὦνον ἕλοιτο.
τῷ ἑπόμην ἐπὶ νηός, ὀϊόμενός περ,

καὶ τὸ κοντάρι, κι ἀντικρὺ στοῦ βασιλέα τ' ἀμάξι
πηγαίνοντας, προσπέφτω του, φιλῶ τὰ γόνατά του·
κι ἐκεῖνος μὲ σπλαχνίστηκε, μὲ κάθισε στ' ἀμάξι,
καὶ μέσα στὰ παλάτια του μὲ πῆρε δακρυσμένο.
Πολλοὶ μὲ τὰ κοντάρια τους χυνόντανε ἀφρισμένοι,
γιὰ νὰ μὲ κόψουνε, μὰ αὐτὸς ἀλάργα τοὺς κρατοῦσε·
φοβότανε τὴ μάνητα τοῦ Δία τοῦ ξενοσώστη,
ποὺ τὰ ἔργα τὰ παράνομα τά 'χει σὲ μέγα μῖσος.
Ἔμεινα ἐκεῖ χρόνους ἑφτά, καὶ τότε ἀπὸ τοὺς ντόπιους
μάζεψα πλούτια ἀρίφνητα, γιατὶ ὅλοι τους μοῦ δίναν.
Σὰν ἔγιναν τὰ χρόνια ὀχτώ, τότε ἦρθε κάποιος ἄντρας
ἀπ' τὴ Φοινίκη, μάστορης στὸ ψέμα καὶ στὸ δόλο,
κι ἀχόρταγος, ποὺ πάμπολλους εἶχε ἀδικήσει ἀνθρώπους.
Ἐκεῖνος μὲ κατάπεισε νὰ πᾶμε στὴ Φοινίκη,
ποὺ βρίσκονταν τὰ σπίτια του καὶ τ' ἄλλα χτήματά του,
Ἔμεινα χρόνο ἀλάκερο μαζί του στὴ Φοινίκη.
Μὰ οἱ μῆνες σάνε διάβηκαν κι οἱ μέρες σὰν τελειῶσαν,
κι ὁ χρόνος σάνε γύρισε κι οἱ ἐποχὲς ξανάρθαν,
μὲ πελαγόδρομο σκαρὶ μὲ παίρνει στὴ Λιβύα,
μὲ ἀπάτη, τάχα τὸ φορτιὸ μαζί του γιὰ νὰ φέρω,
μὰ μὲ σκοπό, σὰν πάω ἐκεῖ νὰ μ' ἀκριβοπουλήση.
Τὸν ἔνιωσα, μὰ ἀνέβηκα στὸ πλοῖο του

ἀνάγκῃ.
ἡ δ᾽ ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ,
μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφισι μήδετ᾽ ὄλεθρον.
ἀλλ᾽ ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
φαίνετο γαιάων, ἀλλ᾽ οὐρανὸς ἠδὲ θάλασσα,
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
νηὸς ὕπερ γλαφυρῆς, ἦχλυσε δὲ πόντος ὑπ᾽ αὐτῆς.
Ζεὺς δ᾽ ἄμυδις βρόντησε καὶ ἔμβαλε νηῒ κεραυνόν·
ἡ δ᾽ ἐλελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
ἐν δὲ θεείου πλῆτο· πέσον δ᾽ ἐκ νηὸς ἅπαντες.
οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
κύμασιν ἐμφορέοντο· θεὸς δ᾽ ἀποαίνυτο νόστον.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτός, ἔχοντί περ ἄλγεα θυμῷ,
ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
τῷ ῥα περιπλεχθεὶς φερόμην ὀλοοῖς ἀνέμοισιν.
ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
αἴθρῃ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
χειρὸς ἀναστήσας, ὄφρ᾽ ἵκετο δώματα πατρός·

ἀπ' ἀνάγκη.
Μὲ δυνατὸ καλὸ βοριὰ τραβοῦσε τοῦ πελάγου
πέρ' ἀπ' τὴν Κρήτη· χαλασμὸ τοὺς μελετοῦσε ὁ Δίας.
Τὴν Κρήτη σὰν ἀφήσαμε, κι ἄλλη στεριὰ τριγύρω
δὲ φαίνονταν, παρὰ οὐρανὸς καὶ θάλασσα παντοῦθε,
σύννεφο μαῦρο ἀπάνω μας τοῦ Κρόνου ὁ γιὸς ἁπλώνει,
ποὺ θεοσκότεινα ἔγιναν τὰ πέλαγα ἀποκάτου.
Τότες ὁ Δίας βρόντηξε, καὶ μὲ τ' ἀστροπελέκι
χτυπάει τὸ πλοῖο, κι ὁλόβολο τ' ἀναποδογυρίζει
γεμάτο θειάφι· πέφτουνε στὴ θάλασσα οἱ συντρόφοι,
γύρω στὸ μαυροκάραβο γυρνώντας σὰν κουροῦνες
καὶ χέρι θεοῦ τοὺς ἔκοβε τοῦ γυρισμοῦ τὴ γλύκα.
Μὰ ἐμένα τοῦ πολύπαθου τετράψηλο κατάρτι
μοῦ βάζει ἀπ' τὸ μαυρόπλωρο καράβι ὁ γιὸς τοῦ Κρόνου
στὰ χέρια, ἀπὸ τὴ συφορὰ γιὰ νὰ γλυτώσω ἐκείνη.
Τ' ἀγκάλιασα, καὶ μ' ἔπαιρναν οἱ λυσσασμένοι ἀνέμοι.
Μέρες ἐννιὰ πλανιόμουνα, τὴ δέκατη τὴ νύχτα
μεγάλο κῦμα μ' ἔρριξε στῶν Θεσπρωτῶν τὴ χώρα.
Ἐκεῖ μὲ δέχτη ὁ Φείδωνας ὁ ρήγας, δίχως λύτρα
τὶ ὁ γιός του, ποὺ μὲ πρόφτασε ἀπ' τὸ κρύο κι ἀπ' τὸν κόπο
κατακομμένο μ' ἔφερε στὸ πατρικὸ παλάτι,
κι ὁ ρήγας τότες μ' ἔντυσε χλαμύδα καὶ χιτώνα.

ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσεν.
"ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
ξεινίσαι ἠδὲ φιλῆσαι ἰόντ' ἐς πατρίδα γαῖαν,
καί μοι κτήματ' ἔδειξεν ὅσα ξυναγείρατ' Ὀδυσσεύς,
χαλκόν τε χρυσόν τε πολύκμητόν τε σίδηρον.
καί νύ ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσει' Ἰθάκης ἐς πίονα δῆμον
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
ὤμοσε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
ἔνθ' ὅ γέ μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἤνδανε βουλὴ
ἀμφ' ἐμοί, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο.
ἐκ μέν με χλαῖνάν τε χιτῶνά τε εἵματ'

Γιὰ τὸ Δυσσέα ἔμαθα ἐκεῖ, τὶ μοῦ 'λεγε κι ὁ ἴδιος
πὼς τόνε δέχτη φιλικά, στὸν τόπο του σὰ γύρνα·
καὶ μοῦ 'δειξε ὅσους θησαυροὺς εἶχε ὁ Δυσσέας συνάξει,
χαλκό, χρυσάφι, σίδερο μὲ τέχνη δουλεμένο,
ποὺ σῶναν καὶ τὴ δέκατη νὰ θρέψουνε γενιά του·
τόσα τοῦ μένανε καλὰ στοῦ βασιλέα τὰ σπίτια.
Καὶ στὴ Δωδώνη μοῦ 'λεγε πὼς εἶχε αὐτὸς περάσει,
ἀπ' τ' ἀψηλόκορφο τὸ ἰδρὺ τὸ θέλημα τοῦ Δία
ν' ἀκούση πὼς θὰ ξαναρθῆ στὸ πλούσιο τὸ νησί του,
κρυφὰ μαθὲς ἢ φανερά, τόσον καιρὸ ποὺ λείπει.
Καὶ μὲς στὸ σπίτι στάζοντας μοῦ ὁρκίστη πὼς τὸ πλοῖο
ἦταν ριγμένο, κι ἕτοιμοι στεκόνταν οἱ συντρόφοι,
στὴ γῆς νὰ τόνε φέρουνε τῆς ποθητῆς πατρίδας.
Ἐμένα ὅμως πρωτόστειλε, γιατ' ἔτυχε καράβι
Θεσπρωτικὸ νὰ ξεκινάη στὸ καρπερὸ Δουλίχι.
Στὸ βασιλέα τὸν Ἄκαστο τοὺς εἶπε νὰ μὲ φέρουν,
καλὰ μὰ αὐτοὶ κακὰ βουλεύτηκαν, γιὰ νὰ τραβήξω κι ἄλλα
παθήματα καὶ συφορές· κι ἀπ' τὴ στεριὰ σὰ βγῆκε
πολὺ ἀνοιχτὰ τὸ πλεούμενο, σοφίστηκαν νὰ βροῦνε
τὸν τρόπο νὰ μὲ ρίξουνε μὲς στῆς σκλαβιᾶς τὰ πάθια.
Μοῦ βγάλαν τὴ χλαμύδα μου, μοῦ

ἔδυσαν,
ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον ἠδὲ χιτῶνα,
ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρηαι·
ἐσπέριοι δ᾽ Ἰθάκης εὐδειέλου ἔργ᾽ ἀφίκοντο.

ἔνθ᾽ ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηΐ
ὅπλῳ ἐϋστρεφέϊ στερεῶς, αὐτοὶ δ᾽ ἀποβάντες
ἐσσυμένως παρὰ θῖνα θαλάσσης
δόρπον ἕλοντο.
αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
ξεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ
στῆθος, ἔπειτα δὲ χερσὶ διήρεσσ᾽ ἀμφοτέρῃσι
νηχόμενος, μάλα δ᾽ ὦκα θύρηθ᾽ ἔα ἀμφὶς ἐκείνων.
ἔνθ᾽ ἀναβάς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
κείμην πεπτηώς. οἱ δὲ μεγάλα στενάχοντες
φοίτων· ἀλλ᾽ οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
μαίεσθαι προτέρω, τοὶ μὲν πάλιν αὖτις ἔβαινον
νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ᾽ ἔκρυψαν θεοὶ αὐτοὶ
ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἠδ᾽ ὅσ᾽ ἀλήθης.

βγάλαν τὸ χιτώνα,
κι ἄλλο παλιὸ μὲ ντύσανε κουρέλι καὶ χιτώνα,
αὐτὰ ἐδῶ τὰ παλιόρουχα ποὺ βλέπεις κι ἔχω τώρα·
καὶ πρὸς τὸ βράδυ φτάσανε στὸ ξάστερο τὸ Θιάκι.
Σφιχτὰ μὲς στὸ καλόθρονο σὰ μ' ἔδεσαν καράβι,
καὶ μὲ σκοινὶ πολύστρεφτο, πηδήξανε μὲ βιάση
στὴ γῆς, καὶ καλοκάθισαν νὰ φᾶνε στ' ἀκρογιάλι.
Ὡς τόσο γλήγορα οἱ θεοὶ μοῦ ξέλυσαν τὸν κόμπο,
κι ἐγὼ μὲ τὸ παλιόρουχο σκεπάζοντας τὴν ὄψη,
ἀπ' τὸ καλοπελέκητο κατέβηκα τιμόνι,
πάνω στὴ θάλασσα ἔρριξα τὸ στῆθος, καὶ τὰ χέρια
ἁπλώνοντας κολυμπητὰ βγαίνω στὴ γῆς, καὶ τρέχω
κι ἀνάμερα τους κρύβουμαι στὰ φυλλωτὰ τὰ δάσια.
Τοῦ κάκου γύριζαν αὐτοὶ καὶ δυνατὰ φωνάζαν.

μὰ δὲν τὸ κρίνανε καλὸ παρέκει νὰ ζητήσουν,
καὶ γύρισαν καὶ μπήκανε στὸ βαθουλὸ καράβι·
κι ἔτσ' οἱ θεοὶ μὲ κρύψανε καλὰ καὶ δίχως κόπο,
καὶ στὴν αὐλὴ μὲ φέρανε φρόνιμου ἀνθρώπου. Βλέπεις,
ἀκόμα εἶναι τῆς μοίρας μου στὸν κόσμο αὐτὸν νὰ ζήσω."
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Ἄμοιρε ξένε, περισσὰ μὲ λύπησες δηγώντας
ἕνα ἕνα τὰ ὅσα τράβηξες καὶ τὰ ὅσα πῆγες κι ἦρθες.

ἀλλὰ τά γ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις
εἰπὼν ἀμφ' Ὀδυσῆϊ· τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς
νόστον ἐμοῖο ἄνακτος, ὅ τ' ἤχθετο πᾶσι θεοῖσι
πάγχυ μάλ', ὅττι μιν οὔ τι μετὰ Τρώεσσι δάμασσαν
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσε.
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω
νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο.

αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
ἐλθέμεν ὀτρύνῃσιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθῃ.

ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες·
ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ μὰ ἐγὼ κανένα δὲ ρωτῶ πιὰ ἀπ' τὸν καιρὸ ἐρέσθαι,
ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
ὅς ῥ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀλητεί̈ς,
ἦλθεν ἐμὰ πρὸς δώματ'· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν

Μὰ δὲ λαλεῖς, θαρρῶ, σωστά, καὶ μήτε θὰ μὲ πείσης
μὲ τὰ ὅσα μοῦ δηγήθηκες ἐσὺ γιὰ τὸ Δυσσέα.
Γιατί μαθὲς νὰ κάθεσαι καὶ ψέματα νὰ κρένης;
Καὶ μοναχός μου ξέρω ἐγὼ τὸ ἂν θὰ γυρίση ἐκεῖνος·
ξέρω πὼς ὅλ' οἱ ἀθάνατοι τὸν ἔχουνε μισήσει,
καὶ νὰ χαθῇ δὲ στέρξανε στοὺς Τρωαδῖτες μέσα,
γιά ἀπὸ τὸν πόλεμο ὕστερα σ' ἀγαπητὲς ἀγκάλες.
Καὶ τότες οἱ Παναχαιοὶ θὰ τοῦ 'στηναν μνημούρι,
κι ὄνομα θά 'βγαζε λαμπρὸ ν' ἀφήση τοῦ παιδιοῦ του.
Μὰ τώρα οἱ Ἅρπυιες ἄδοξα τὸν πῆραν, κι ἐγὼ μένω
στὴ μάντρα μου ὁλομόναχος· μήτε στὴ χώρα κάτου
δὲν πάω, ἐξὸν ἡ φρόνιμη σὰν τύχη Πηνελόπη
νὰ μὲ φωνάξη, μήνυμα ἀπὸ κάπου σὰν τῆς ἔρθη.
Καθίζουν τότες κι ὅλοι τους ψιλορωτοῦν τὸν ξένο,
κι αὐτοὶ ποὺ κλαῖνε καὶ πονοῦν γιὰ τὸ χαμὸ τοῦ ρήγα,
κι αὐτοὶ ποὺ χαίρουν, καὶ τὸ βιὸς ἀπλέρωτα τοῦ τρῶνε·
μὰ ἐγὼ κανένα δὲ ρωτῶ πιὰ ἀπ' τὸν καιρὸ ποὺ κάποιος
μὲ γέλασε Αἰτωλὸς φονιάς, ποὺ σὲ χωριὰ καὶ χῶρες
πλανέθηκε, κι ἦρθ' ὡς ἐδῶ, κι ἐγὼ τὸν καλοδέχτην.
Καὶ πὼς τὸν εἶδε μοῦ 'λεγε στοῦ Ἰδομενέα στὴν Κρήτη,
τὰ πλοῖα του σὰ διόρθωνε τ' ἀνεμοτσακισμένα,
καὶ πὼς μὲ τοὺς ἰσόθεους συντρόφους του

ἄελλαι·
καὶ φάτ᾽ ἐλεύσεσθαι ἢ ἐς θέρος ἢ ἐς ὀπώρην,
πολλὰ χρήματ᾽ ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισι.
καὶ σύ, γέρον πολυπενθές, ἐπεί σέ μοι ἤγαγε δαίμων,
μήτε τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε·
οὐ γὰρ τοὔνεκ᾽ ἐγώ σ᾽ αἰδέσσομαι οὐδὲ φιλήσω,
ἀλλὰ Δία ξένιον δείσας αὐτόν τ᾽ ἐλεαίρων."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
οἷόν σ᾽ οὐδ᾽ ὁμόσας περ ἐπήγαγον οὐδέ σε πείθω.
ἀλλ᾽ ἄγε νῦν ῥήτρην ποιησόμεθ᾽· αὐτὰρ ὄπισθε
μάρτυροι ἀμφοτέροισι θεοί, τοὶ Ὄλυμπον ἔχουσιν.
εἰ μέν κεν νοστήσῃ ἄναξ τεὸς ἐς τόδε δῶμα,
ἕσσας με χλαῖνάν τε χιτῶνά τε εἵματα πέμψαι
Δουλίχιόνδ᾽ ἰέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεὸς ὡς ἀγορεύω,
δμῶας ἐπισσεύας βαλέειν μεγάλης κατὰ πέτρης,
ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν."
τὸν δ᾽ ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
"ξεῖν᾽, οὕτω γάρ κέν μοι ἐϋκλείη τ᾽ ἀρετή τε
εἴη ἐπ᾽ ἀνθρώπους ἅμα τ᾽ αὐτίκα καὶ μετέπειτα,
ὅς σ᾽ ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,

θὰ φτάση
τὸ θέρο ἢ τὸ χινόπωρο μὲ πλούτια φορτωμένος.
Κι ἐσὺ, ποὺ θεὸς σὲ φέρνει ἐδῶ, πολύπαθέ μου γέρο,
νὰ μοῦ κερδίσης μὴ ζητᾶς μὲ δόλους τὴν καρδιά μου·
μὰ συμφωνία ἂς κάμουμε, καὶ μάρτυρες ἂς εἶναι
οἱ ἀθάνατοι ἀποπάνωθε, ποὺ κατοικοῦν τὰ οὐράνια·
σ' ἐτοῦτο ἂν ὁ ἀφέντης σου στὸ σπίτι του γυρίση,
ἐσὺ μοῦ δίνεις φόρεμα χλαμύδα καὶ χιτώνα,
καὶ στὸ Δουλίχι στέλνεις με, ποὺ τὸ ποθεῖ ἡ καρδιά μου·
μὰ ἂν ὁ ἀφέντης δὲ φανῆ καθὼς ἐγὼ σοῦ κρένω,
τοὺς δούλους βάλε ἀπ' τὸν γκρεμνὸ νὰ πᾶνε νὰ μὲ ρίξουν,
ποὺ ἄλλος φτωχὸς νὰ μὴν κοτάη νὰ σὲ ξαναγελάση."
Κι ὁ πάγκαλος χοιροβοσκὸς τοῦ ἀπολογήθη κι εἶπε·
"Μεγάλη δόξα καὶ τιμὴ στὸν κόσμο θά 'χα, ὦ ξένε,
καὶ τώρα καὶ κατοπινά, στὸ σπίτι μου μιᾶς κι ἤρθες,
καὶ σοῦ 'δωκα νὰ φᾶς νὰ πιῆς, κατόπι ἂν σὲ χαλνοῦσα,

αὖτις δὲ κτείναιμι φίλον τ᾽ ἀπὸ θυμὸν ἐλοίμην·
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
νῦν δ᾽ ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
εἶεν, ἵν᾽ ἐν κλισίῃ λαρὸν τετυκοίμεθα δόρπον."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί.
τὰς μὲν ἄρα ἔρξαν κατὰ ἤθεα κοιμηθῆναι,
κλαγγὴ δ᾽ ἄσπετος ὦρτο συῶν αὐλιζομενάων
αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
"ἄξεθ᾽ ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω
τηλεδαπῷ· πρὸς δ᾽ αὐτοὶ ὀνησόμεθ᾽, οἵ περ ὀΐζὺν
δὴν ἔχομεν πάσχοντες ὑῶν ἕνεκ᾽ ἀργιοδόντων·
ἄλλοι δ᾽ ἡμέτερον κάματον νήποινον ἔδουσιν."
ὣς ἄρα φωνήσας κέασε ξύλα νηλέϊ χαλκῷ,
οἱ δ᾽ ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον.
τὸν μὲν ἔπειτ᾽ ἔστησαν ἐπ᾽ ἐσχάρῃ· οὐδὲ συβώτης
λήθετ᾽ ἄρ᾽ ἀθανάτων· φρεσὶ γὰρ κέχρητ᾽ ἀγαθῇσιν·
ἀλλ᾽ ὅγ᾽ ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
ἀργιόδοντος ὑός, καὶ ἐπεύχετο πᾶσι θεοῖσιν
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
κόψε δ᾽ ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε κείων·
τὸν δ᾽ ἔλιπε ψυχή. τοὶ δ᾽ ἔσφαξάν τε

καὶ δίχως πόνο σοῦ 'παιρνα τὴν ποθητὴ ζωή σου.
Μὲ τί καρδιὰ θὰ πρόσφερνα τότες εὐκὴ τοῦ Δία ;
Μὰ ὥρα γιὰ δεῖπνο· ἂς ἔρχουνταν ἀμέσως οἱ συντρόφοι,
τραπέζι νὰ μᾶς στρώσουνε λαμπρὸ μὲς στὸ καλύβι."
Αὐτὰ καθὼς μιλούσανε τὰ λόγια μεταξύ τους,
ζυγώνουν οἱ χοιροβοσκοὶ καὶ φέρνουνε τοὺς χοίρους.
Τοὺς κλείσανε νὰ κοιμηθοῦν ἐκεῖ ποὺ συνηθοῦσαν,
κι αὐτοί, στὶς μάντρες μπαίνοντας, βγάζαν ἀχὸ μεγάλο.
Κι ὁ πάγκαλος χοιροβοσκὸς φωνάζει στοὺς συντρόφους·
" Φέρτε μου τὸ καλύτερο καπρὶ γιὰ νὰ τὸ σφάξω
μερονύχτα
πολλὰ τραβᾶμε ὅλο γι' αὐτὰ τ' ἀσπρόδοντα καπριά μας,
κι ἄλλοι μᾶς τρῶν τὸν κόπο μας χωρὶς νὰ μᾶς πλερώνουν. "
Αὐτὰ τοὺς εἶπε, κι ἔσκισε τὰ ξύλα μ' ἀξινάρι,
κι αὐτοὶ τοῦ φέρανε παχὺ καπρὶ πέντε χρονῶνε,
ἐκεῖ παράδιπλα τῆς στιᾶς· τοὺς θεοὺς δὲν ἀστοχοῦσε
ὁ γέρος ὁ χοιροβοσκός, τί 'χε στὰ φρένα γνώση.
Ἔκοψε τρίχες ἀπαρχὴ ἀπ' τοῦ χοίρου τὸ κεφάλι,
καὶ στὴ φωτιὰ τὶς ἔρριξε· καὶ τῶν θεῶν εὐκόταν
νὰ φέρουνε στὸ σπίτι του τὸ γνωστικὸ Ὀδυσσέα.
Κατόπι σήκωσε δαυλὸ ποὺ δὲν τὸν εἶχε σκίσει,
καὶ βάρεσε καὶ σκότωσε τὸ ζῶ· κι οἱ ἄλλοι

καὶ εὖσαν·
αἶψα δέ μιν διέχευαν· ὁ δ᾽ ὠμοθετεῖτο συβώτης,
πάντων ἀρχόμενος μελέων, ἐς πίονα δημόν,
καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα,
βάλλον δ᾽ εἰν ἐλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
ἵστατο δαιτρεύσων· περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη.
καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαΐζων·
τὴν μὲν ἴαν νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἱεῖ,
θῆκεν ἐπευξάμενος, τὰς δ᾽ ἄλλας νεῖμεν ἑκάστῳ·
νώτοισιν δ᾽ Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
ἀργιόδοντος ὑός, κύδαινε δὲ θυμὸν ἄνακτος·
καί μιν φωνήσας προσέφη πολύμητις Ὀδυσσεύς·
"αἴθ᾽ οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο
ὡς ἐμοί, ὅττι τε τοῖον ἐόντ᾽ ἀγαθοῖσι γεραίρεις."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ᾽ ἐάσει,
ὅττι κεν ᾧ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα."
ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσι,
σπείσας δ᾽ αἴθοπα οἶνον Ὀδυσσῆϊ πτολιπόρθῳ

τότες
τὸ σφάξαν, τὸ καψάλισαν, τὸ κόψανε κομμάτια,
καὶ στοίβαξε αὐτὸς τὰ ὠμὰ ποὺ τά 'κοβε ἀπ' ὁλοῦθε,
μέσα στὴν σκέπη τὴν παχειά, καὶ τά 'καμε ἀπαρχή του·
καὶ σὰν τ' ἀλεύρωσε καλά, πὰς στὴ γωνιὰ τὰ βάζει.
Καὶ τ' ἄλλα τὰ λιανίσανε, τὰ πέρασαν στὶς σοῦβλες,
τὰ ψήσανε μὲ προσοχή, τὰ ξεσουβλίσαν ὅλα,
καὶ στοὺς ταβλάδες τά 'ριξαν· καὶ στάθη τότε ὁ γέρος,
ποὺ ἔνιωθε πάντα τὸ σωστό, νὰ τὸ καλομοιράση.
Σὲ μέρη ἑφτὰ τὰ χώρισε· στὶς Νύφες θεὲς τὸ πρῶτο
καὶ στὸν Ἑρμῆ, τῆς Μαίας τὸ γιό, μαζὶ μ' εὐκὲς προσφέρνει,
καὶ τ' ἄλλα στὸν καθένα τους· καὶ τοῦ Ὀδυσσέα χωρίζει
τὸ ψαρονέφρι ἁλάκερο τοῦ χοίρου γιὰ τιμή του·
καὶ τὸ εἶδε αὐτὸς καὶ χάρηκε, κι ὀνόμασέ τον κι εἶπε·
"Ὅσο σ' ἀγάπησα, Εὔμαιε, κι ὁ Δίας νὰ σ' ἀγαπήση,
ποὺ ἐμένα τὸν ἀσήμαντο τιμᾶς μὲ τέτοια δῶρα."
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Τρῶγε, καλέ μου ξένε, ἐσὺ καὶ τὰ καλά μας χαίρου·
τὸ ἕνα ὁ θεὸς χαρίζει μας, καὶ τ' ἄλλο μᾶς τ' ἀρνιέται
ὅπως στὸ νοῦ του βουληθῆ, τὶ δύνεται τὰ πάντα."
Αὐτὰ εἶπε, κι ἔκαψε ἀπαρχὲς στοὺς θεούς τοὺς παναιώνιους,
κι ἔσταξε, κι ἔβαλε καυκὶ λαμπρὸ κρασὶ γεμάτο

ἐν χείρεσσιν ἔθηκεν· ὁ δ᾽ ἕζετο ᾗ παρὰ μοίρῃ.
σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὅν ῥα συβώτης
αὐτὸς κτήσατο οἷος ἀποιχομένοιο ἄνακτος,
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος·
πὰρ δ᾽ ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος, οἱ δ᾽ ἐπὶ κοῖτον
σίτου καὶ κρειῶν κεκορημένοι ἐσσεύοντο.
νὺξ δ᾽ ἄρ᾽ ἐπῆλθε κακὴ σκοτομήνιος, ὗε δ᾽ ἄρα Ζεὺς
πάννυχος, αὐτὰρ ἄη Ζέφυρος μέγας αἰὲν ἔφυδρος.
τοῖς δ᾽ Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
εἴ πώς οἱ ἐκδὺς χλαῖναν πόροι, ἤ τιν᾽ ἑταίρων
ἄλλον ἐποτρύνειεν, ἐπεί ἑο κήδετο λίην·
"κέκλυθι νῦν, Εὔμαιε καὶ ἄλλοι πάντες ἑταῖροι,
εὐξάμενός τι ἔπος ἐρέω· οἶνος γὰρ ἀνώγει
ἠλεός, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀεῖσαι
καί θ᾽ ἁπαλὸν γελάσαι, καί τ᾽ ὀρχήσασθαι ἀνῆκε,
καί τι ἔπος προέηκεν ὅ περ τ᾽ ἄρρητον ἄμεινον.
ἀλλ᾽ ἐπεὶ οὖν τὸ πρῶτον ἀνέκραγον, οὐκ ἐπικεύσω.
εἴθ᾽ ὡς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὅθ᾽ ὑπὸ Τροίην λόχον ἤγομεν ἀρτύναντες.

μὲς στοῦ Ὀδυσσέα τοῦ κουρσευτῆ τὰ χέρια· τότε δίπλα
στὸ μερτικό του κάθισε· καὶ μοίραζε ὁ Μεσαύλης
ψωμί, ποὺ ὁ Εὔμαιος δοῦλο του τὸν εἶχε ἀγορασμένο
ἀτός του ἀπὸ τοὺς Ταφινούς, σὰν ἔλειπε ὁ ἀφέντης,
δίχως νὰ ξέρη ἡ ἀφέντισσα κι ὁ γέρος ὁ Λαέρτης·
κι ἁπλῶσαν χέρια στὰ ἕτοιμα φαγιὰ πού 'χαν ὀμπρός τους.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,
πῆρ' ὁ Μεσαύλης τὸ ψωμί, κι ἐκεῖνοι χορτασμένοι
ἀπὸ ψωμὶ καὶ κρέατα κινῆσαν νὰ πλαγιάσουν.
Νύχτα ἤρθε χασοφέγγαρη κι ἀγριωπή, ποὺ ὁ Δίας
ἔβρεχε, κι ἄνεμος ὑγρὸς ὁλονυχτὶς φυσοῦσε.
Τότες τοῦ γέρου μίλησε ὁ Δυσσέας, νὰ δοκιμάση
ἂν ὁ ἴδιος τὴ χλαμύδα του θὰ βγάλη νὰ τοῦ δώση,
ἢ σὲ ἄλλο σύντροφο θὰ πῆ, ἀφοῦ τόση τοῦ εἶχε ἀγάπη·
"Ἄκουσε τώρα, ὦ Εὔμαιε, κι ὅλοι οἱ συντρόφοι γύρω
κάτι ἔταξα, καὶ θὰ τὸ πῶ· τὶ τὸ τρελλὸ μ' ἀνάβει
κρασὶ ποὺ καὶ τοὺς γνωστικοὺς κινάει νὰ τραγουδᾶνε,
μὲ γέλια νὰ γλεντίζουνε, καὶ στοὺς χοροὺς νὰ βγαίνουν,
μὰ καὶ νὰ λὲν ὅσα ἤτανε καλὸ νὰ μὴ λεχτοῦνε.
Τώρα κι ἐγώ, ποὺ ἀρχίνησα νὰ λέω, δὲ θὰ τὸ κρύψω.
Μακάρι νιότη ν'άχα ἐγώ, καὶ τέτοια γερωσύνη,
σὰν ποὺ εἶχα σάνε στήσαμε καρτέρι

ὀμπρὸς στὴν Τροία.

ἡγείσθην δ᾽ Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Μενέλαος,
Ὁ γιὸς τοῦ Ἀτρέα ὁ Μενέλαος κι ὁ μέγας Ὀδυσσέας

τοῖσι δ᾽ ἅμα τρίτος ἄρχον ἐγών· αὐτοὶ γὰρ ἄνωγον.
ἤτανε τότες ἀρχηγοί, κι ἐμένα βάλαν τρίτο.

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἱκόμεσθα ποτὶ πτόλιν αἰπύ τε τεῖχος,
Στὴ χώρα φτάνοντας σιμὰ καὶ στ' ἀψηλὸ τὸ κάστρο,

ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνά,
ἐκεῖ τριγύρω στὰ πηχτὰ χαμόδεντρα, στοῦ βάλτου

ἂν δόνακας καὶ ἕλος, ὑπὸ τεύχεσι πεπτηῶτες
τὶς καλαμιὲς πλαγιάσαμε κρυμμένοι στ' ἄρματα μας·

κείμεθα. νὺξ δ᾽ ἄρ᾽ ἐπῆλθε κακὴ Βορέαο πεσόντος,
καὶ νύχτα πλάκωσε κακή, Βοριὰς πολὺς φυσοῦσε,

πηγυλίς· αὐτὰρ ὕπερθε χιὼν γένετ᾽ ἠΰτε πάχνη,
ποὺ ὅλα παγῶναν, καὶ ψυχρὸ σὰν πάχνη ἔπεφτε χιόνι,

ψυχρή, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
καὶ τὸ κρουστάλλι ὁλόγυρα κολνοῦσε στὶς ἀσπίδες.

ἔνθ᾽ ἄλλοι πάντες χλαίνας ἔχον ἠδὲ χιτῶνας,
Ὅλοι εἶχαν καὶ φορούσανε χλαμύδες καὶ χιτῶνες,

εὗδον δ᾽ εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
κι ἀναπαυόνταν ἥσυχα κάτω ἀπὸ τὶς ἀσπίδες·

αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
ἐγὼ ὅμως τὴ χλαμύδα μου σὲ σύντροφο εἶχ' ἀφήσει

ἀφραδίῃς, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης,
ἀστόχαστα· δὲν τό 'λεγα ποτὲς νὰ ξεπαγιάσω·

ἀλλ᾽ ἑπόμην σάκος οἷον ἔχων καὶ ζῶμα φαεινόν.
μόνο τὴ ζώνη τὴ λαμπρὴ καὶ τὴν ἀσπίδα πῆρα.

ἀλλ᾽ ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ᾽ ἄστρα βεβήκει,
Στὴν τρίτη βίγλα τῆς νυχτός, τότες ποὺ τ' ἄστρα γέρνουν,

καὶ τότ᾽ ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα
μὲ τὸν ἀγκώνα σάλεψα τὸν Ὀδυσσέα σιμά μου,

ἀγκῶνι νύξας· ὁ δ᾽ ἄρ᾽ ἐμμαπέως ὑπάκουσε·
κι αὐτὸς μεμιὰς μ' ἀγρίκησε· καὶ φώναξά τον κι εἶπα·

"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
“ Γιὲ τοῦ Λαέρτη Διογενῆ, πολύτεχνε Ὀδυσσέα,

οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
πάω νὰ πεθάνω· κάποιος θεὸς μὲ γέλασε νὰ μείνω

δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ᾽ ἤπαφε δαίμων
μὲ τὸ χιτώνα μοναχά, καὶ γλυτωμὸ δὲ βλέπω. ”

οἰοχίτων᾽ ἔμεναι· νῦν δ᾽ οὐκέτι φυκτὰ πέλονται."
Ἔτσ' εἶπα, καὶ στὰ φρένα του νά, τί στοχάστη ἐκεῖνος,

"ὣς ἐφάμην, ὁ δ᾽ ἔπειτα νόον σχέθε τόνδ᾽ ἐνὶ θυμῷ,

οἷος κεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι·
φθεγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·
"σίγα νῦν, μή τίς σευ Ἀχαιῶν ἄλλος ἀκούσῃ."
"ἦ καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν εἶπέ τε μῦθον·
᾽κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.
λίην γὰρ νηῶν ἑκὰς ἤλθομεν· ἀλλά τις εἴη
εἰπεῖν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.᾽
"ὣς ἔφατ᾽, ὦρτο δ᾽ ἔπειτα Θόας, Ἀνδραίμονος υἱός,
καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν,
βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ᾽ ἐνὶ εἵματι κείνου
κείμην ἀσπασίως, φάε δὲ χρυσόθρονος ᾽Ηώς.
ὣς νῦν ἠβώοιμι βίη τέ μοι ἔμπεδος εἴη·
δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος·
νῦν δέ μ᾽ ἀτιμάζουσι κακὰ χροΐ εἵματ᾽ ἔχοντα."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
τῷ οὔτ᾽ ἐσθῆτος δευήσεαι οὔτε τευ ἄλλου,
ὧν ἐπέοιχ᾽ ἱκέτην ταλαπείριον

μεγάλος καθὼς ἤτανε στὸ νοῦ καὶ στοὺς πολέμους·
σιγομιλώντας ἔσκυψε καὶ μοῦ 'πε· " Σώπα τώρα,
μὴν τύχη κι ἄλλος Ἀχαιὸς κανένας σ' ἀγρικήση."
Κατόπι στὸν ἀγκώνα του τὴν κεφαλὴ ἀκουμπώντας,
μίλησε· "Ἀκοῦστε, φίλοι μου, κι ὄνειρο μοῦ 'ρθε θεῖο
στὸν ὕπνο· βγήκαμε πολὺ μακριὰ ἀπὸ τὰ καράβια,
κι ἂς πάη τοῦ Ἀγαμέμνονα κάποιος νὰ πῆ, τοῦ ἀφέντη,
ἀπ' τὰ καράβια πιὸ πολλοὺς νὰ στείλη ἐδῶ νά 'ρθοῦνε."
Εἶπε, κι ὁ Θόας τοῦ Ἀντραίμονα ὁ γιὸς πηδάει ἀμέσως
καὶ τὴν πορφυροχρώματη χλαμύδα του πετώντας
τρέχει στὰ πλοῖα· τυλίχτηκα τότες ἐγὼ τὸ ροῦχο
χαρούμενος, καὶ πλάγιασα· καὶ φάνηκε ἡ Αὐγούλα
λάμποντας ἡ χρυσόθρονη. Καὶ νά 'χα τώρα ἐκεῖνα
τὰ νιάτα καὶ τὴ δύναμη, θὰ μοῦ 'δινε χλαμύδα
κάποιος μὲς στῶ χοιροβοσκῶν τὶς μάντρες, ἀπ' ἀγάπη
καὶ σεβασμὸ πρὸς ἄνθρωπο καλὸ καὶ παινεμένο·
μὰ τώρα μ' ἀψηφοῦν, γιατὶ μὲ βλέπουν μὲ κουρέλια."
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Καλὰ μᾶς τὴ δηγήθηκες τὴν ἱστορία σου, γέρο,
δὲν εἶπες τίποτε ἄτοπο, μηδὲ ποὺ θὰ σὲ βλάψη·
δὲ θὰ σοῦ λείψη μήτ' αὐτό, μηδ' ὅ,τι ἄλλο ταιριάζει
σὲ ἱκέτη ποὺ ἔπαθε πολλά, καὶ ποὺ ἔρχεται

ἀντιάσαντα,
νῦν· ἀτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δνοπαλίξεις.
οὐ γὰρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες
ἐνθάδε ἔννυσθαι, μία δ᾽ οἵη φωτὶ ἑκάστῳ.
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός,
αὐτός τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δώσει,
πέμψει δ᾽ ὅππῃ σε κραδίη θυμός τε κελεύει."
"ὣς εἰπὼν ἀνόρουσε, τίθει δ᾽ ἄρα οἱ πυρὸς ἐγγὺς
εὐνήν, ἐν δ᾽ ὀΐων τε καὶ αἰγῶν δέρματ᾽ ἔβαλλεν.
ἔνθ᾽ Ὀδυσεὺς κατέλεκτ᾽· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ
πυκνὴν καὶ μεγάλην, ἥ οἱ παρεκέσκετ᾽ ἀμοιβάς,
ἔννυσθαι ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
"ὣς ὁ μὲν ἔνθ᾽ Ὀδυσεὺς κοιμήσατο, τοὶ δὲ παρ᾽ αὐτὸν
ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
ἤνδανεν αὐτόθι κοῖτος, ὑῶν ἄπο κοιμηθῆναι,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἔξω ἰὼν ὡπλίζετο· χαῖρε δ᾽ Ὀδυσσεύς,
ὅττι ῥά οἱ βιότου περικήδετο νόσφιν ἐόντος.
πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ᾽ ὤμοις,
ἀμφὶ δὲ χλαῖναν ἑέσσατ᾽ ἀλεξάνεμον, μάλα πυκνήν,
ἂν δὲ νάκην ἕλετ᾽ αἰγὸς ἐϋτρεφέος μεγάλοιο,
εἵλετο δ᾽ ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.
βῆ δ᾽ ἴμεναι κείων ὅθι περ σύες ἀργιόδοντες

ὁμπροστά μας·
ὅμως σὰ φέξη πάλε αὐγή, θὰ βάλης τὰ παλιά σου.
Γιατ' ἀλλαξὲς δὲν ἔχουμε χλαμύδες καὶ χιτῶνες
ἐδῶ πολλές, παρ' ἀπὸ μιὰ καθένας μας τὴν ἔχει.
Ὅμως σὰν ἔρθη ὁ ἀκριβογιος τοῦ αφέντη τοῦ Ὀδυσσέα,
τότε θένα σοῦ δώση αὐτὸς χλαμύδα καὶ χιτώνα,
κι ὅπου ἡ καρδιά σου λαχταρεῖ θὰ σὲ ξεπροβοδήση."
Σὰν εἶπε αὐτὰ σηκώθηκε καὶ τοῦ ἔφτιασε τὸ στρῶμα
σιμὰ στὴ στιὰ, ὅπου ἔβαλε γιδιῶνε καὶ προβάτων
προβιές, κι ἀπάνω τοῦ ἔρριξε, σὰν πλάγιασε ὁ Δυσσέας,
τρανὴ χλαμύδα καὶ χοντρή, ποὺ κι ἄλλη εἶχε δική του,
νὰ τὴ φορῆ σὰν πλάκωνε πολὺ βαρὺς χειμώνας.
Ἔτσι ὁ Δυσσέας κοιμήθηκε, κοιμήθηκαν καὶ τ' ἄλλα
τὰ παλληκάρια πλάγι του· μὰ ὡς τόσο ὁ χοιροτρόφος
δὲν ἔστεργε νὰ κοιμηθῆ μακριάθε ἀπὸ τοὺς χοίρους,
μόνε ἀρματώθηκε νὰ βγῆ· καὶ χάρηκε ὁ Δυσσέας
ποὺ γιὰ τὸ βιός του νοιάζουνταν σὰν ἔλειπε ὁ ἀφέντης.
Πρῶτα στοὺς ὤμους τοὺς πλατιοὺς κρεμάζει τὸ σπαθί του,
βάζει χλαμύδα χοντρουλή, προφύλαμα τοῦ ἀνέμου,
κι ἔρριξ' ἀπάνω του προβιὰ παχειᾶς μεγάλης γίδας,
πῆρε κοντάρι σουβλερό, νὰ διώχνη σκύλους κι ἄντρες,
καὶ πῆγε πλάγιασε κοντὰ στ' ἀσπρόδοντα θρεφτάρια,

πέτρῃ ὕπο γλαφυρῇ εὖδον, Βορέω ὑπ' ἰωγῇ.

κάτου ἀπὸ πέτρα θολωτὴ καὶ στοῦ Βοριᾶ τὸ ἀπάγγιο.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ο

Τηλεμάχου πρὸς Εὔμαιον ἄφιξις.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἡ δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
ᾤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
νόστου ὑπομνήσουσα καὶ ὀτρυνέουσα νέεσθαι.
εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο,
ἦ τοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς, ἀλλ' ἐνὶ θυμῷ
νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν.
ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
"Τηλέμαχ', οὐκέτι καλὰ δόμων ἄπο τῆλ' ἀλάλησαι,
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον
πεμπέμεν, ὄφρ' ἔτι οἶκοι ἀμύμονα μητέρα τέτμῃς.
ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε

Κι ἡ Ἀθηνᾶ στὴ διάπλατη τὴ Λακεδαίμονα ἦρθε,
στὸν ἄξιο γιὸ τοῦ ἀντρόψυχου Ὀδυσσέα νὰ θυμίση
τὸ γυρισμό του νὰ νοιαστῆ, καὶ νά 'ρθη στὴν πατρίδα.
Τὸν, βρῆκε μὲ τοῦ Νέστορα τὸ γιὸ τὸν παινεμένο
στὸ πρόσπιτο τοῦ δοξαστοῦ Μενέλαου πλαγιασμένο·
βαθιὰ γλυκοκοιμότανε τοῦ Νέστορα τὸ τέκνο,
ὄχι ὅμως κι ὁ Τηλέμαχος, ποὺ ἀκοίμητο τὸν κράτα
ἡ συλλογὴ τοῦ κύρη του στὴ θεία τὴ νύχτα μέσα.
Σιμά του στάθη κι εἶπε του ἡ θεὰ ἡ γαλανομάτα·
" Τηλέμαχε, δὲν πρέπει πιὰ στὰ ξένα νὰ πλανιέσαι,
στὸ σπίτι βιὸς ἀφήνοντας κι ἀγέρωχους ἀνθρώπους,
μὴν τύχη αὐτοὶ καὶ μοιραστοῦν καὶ καταλύσουν ὅλους
τοὺς θησαυρούς σου, καὶ σοῦ βγη χαμένο τὸ ταξίδι.
Τρέχα πὲς στὸν τρανόφωνο Μενέλαο νὰ σὲ στείλη
στὸ σπίτι, ἀκόμα γιὰ νὰ βρῆς τὴν ἀκριβή σου μάνα,
ποὺ τώρα τὴν παρακινοῦν κι ὁ κύρης καὶ τ'

κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας
μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἔεδνα·
μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται.
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπυίῃ,
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνηκότος οὐδὲ μεταλλᾷ.
ἀλλὰ σύ γ᾽ ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
δμῳάων ἥ τίς τοι ἀρίστη φαίνεται εἶναι,
εἰς ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
ἄλλο δέ τοί τι ἔπος ἐρέω, σὺ δὲ σύνθεο θυμῷ.
μνηστήρων σ᾽ ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
ἐν πορθμῷ᾽Ιθάκης τε Σάμοιό τε παιπαλοέσσης.
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
ἀλλὰ τά γ᾽ οὐκ ὀΐω· πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
νυκτὶ δ᾽ ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
ἀθανάτων ὅς τίς σε φυλάσσει τε ῥύεταί τε.
αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν᾽Ιθάκης ἀφίκηαι,
νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους,

ἀδέρφια
νὰ πάρη τὸν Εὐρύμαχο, ποὺ τοὺς μνηστῆρες ὅλους
καὶ στ' ἀντιπροίκια πέρασε καὶ στὰ περίσσια δῶρα.
Μὴν τύχη κι ἄθελά σου αὐτὴ πάρη τὸ βιὸς καὶ φύγη.

Τὶ τῆς γυναίκας τὴν ψυχὴ τὴν ξέρεις δὰ πῶς εἶναι·
θέλει ν' ἀξαίνη τὰ καλὰ τοῦ ἀντρὸς ποὺ θὰ τὴν πάρη,
μὰ τὰ προτερινὰ παιδιὰ καὶ τὸν ἀγαπημένο
τὸ σύγκοιτο ποὺ πέθανε, δὲ θέλει νὰ τοὺς ξέρη.
Πήγαινε τώρα, τὸ ἔχει σου νὰ μπιστευτῆς στὰ χέρια
τῆς παρακόρης ποὺ θὰ δῆς πιὸ τίμια ἀπὸ τὶς ἄλλες,
ὡσότου νύφη δοξαστὴ οἱ θεοὶ σοῦ φανερώσουν.
Κι ἄλλο ἕνα λόγο θὰ σοῦ πῶ, κι ἐσὺ στὸ νοῦ σου βάλ' τον·
κρυφὸ καρτέρι σοῦ 'στησαν οἱ πρῶτοι ἀπ' τοὺς μνηστῆρες,
μὲς στὸ στενὸ ποὺ ἀνάμεσο Θιάκι καὶ Σάμη πέφτει,
γιὰ νὰ σοῦ πάρουν τὴ ζωὴ στὸν τόπο σου πρὶν φτάσης.
Δὲν τὸ φοβᾶμαι αὐτό· θαρρῶ πὼς κάμποσους μνηστῆρες
θὰ φάη ἡ γῆς, ποὺ σήμερα τὸ βιός σου καταλοῦνε.
Ὡς τόσο βάστα ἀπ' τὰ νησιὰ μακριὰ τ' ὡριὸ καράβι,
κι ὅλο τὴ νύχτα ἀρμένιζε· καὶ πρύμο θὰ σοῦ στείλη
ἀγέρα ὅποιος ἀθάνατος σὲ διαφεντεύει πάντα.
Στὸ πρῶτο πρῶτο τοῦ Θιακιοῦ τ' ἀκρόγιαλο ποὺ φτάσης
στεῖλε μὲ τοὺς συντρόφους σου μαζὶ τὸ πλοῖο στὴ χώρα,

αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν.
ἔνθα δὲ νύκτ᾽ ἀέσαι· τὸν δ᾽ ὀτρῦναι πόλιν εἴσω
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
οὕνεκά οἱ σῶς ἐσσὶ καὶ ἐκ Πύλου εἰλήλουθας."
ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
αὐτὰρ ὁ Νεστορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν
λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν·
"ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
ζεῦξον ὑφ᾽ ἅρματ᾽ ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο."
τὸν δ᾽ αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
"Τηλέμαχ᾽, οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ᾽ ἔσσεται ἠώς.
ἀλλὰ μέν᾽ εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήῃ
ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ."
ὣς ἔφατ᾽, αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
ἀγχίμολον δέ σφ᾽ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
ἀνστὰς ἐξ εὐνῆς, Ἑλένης πάρα καλλικόμοιο.
τὸν δ᾽ ὡς οὖν ἐνόησεν Ὀδυσσῆος

καὶ πρῶτα ἀπ' ὅλα ἐσὺ νὰ πᾶς νὰ βρῆς τὸ χοιροτρόφο,
ποὺ νοιάζεται τοὺς χοίρους σου, καὶ σὲ πονεῖ ἡ καρδιά του.
Ἐκεῖ τὴ νύχτα πέρασε, καὶ στεῖλ' τονε στὴ χώρα
τὴν εἴδηση τῆς γνωστικιᾶς νὰ φέρη Πηνελόπης,
πὼς γλύτωσες, κι εἶσ' ἄβλαβος, κι ἔφτασες ἀπ' τὴν Πύλο."
Εἶπε, καὶ τράβηξε ψηλὰ στὸν Ὄλυμπο ν' ἀνέβη.
Κι αὐτὸς τὸ γιὸ τοῦ Νέστορα σκουντώντας μὲ τὸ πόδι,
ἀπ' τὸ θεόγλυκο ὕπνο του τὸν ξύπνησε, καὶ τοῦ εἶπε·
"Πεισίστρατε τοῦ Νέστορα, σήκου, στ' ἁμάξι ζέψε
τ' ἄλογα τὰ μονόνυχα, νὰ πάρουμε τὸ δρόμο."
Καὶ τότε ὁ γιὸς τοῦ Νέστορα τοῦ ἀντίσκοψε καὶ τοῦ εἶπε·
"Δὲ γίνεται, Τηλέμαχε, νὰ βγοῦμε μὲς στὴ νύχτα,
βιάση πολλὴ κι ἂν ἔχουμε· θὰ φέξη ὅπου καὶ νά 'ναι.
Περίμενε ὥσπου ὁ δοξαστὸς Μενέλαος τοῦ Ἀτρέα
φορτώση πᾶς στ' ἁμάξι σου τὰ δῶρα ποὺ σοῦ δίνει,
καὶ μὲ γλυκοὺς χαιρετισμοὺς σοῦ πῆ τὸ κατευόδιο·
τὶ ἀπ' ὅσους τὸν φιλοξενοῦν θυμᾶται ὁ ξενος πάντα
ἐκεῖνον ποὺ μὲ ξέχωρη τὸν καλοδέχτη ἀγάπη."
Αὐτὰ εἶπε, κι ἡ χρυσόθρονη φάνηκε εὐτὺς ἡ Αὐγούλα.
Κι ἔρχεται ὁ μεγαλόφωνος Μενέλαος σιμά τους,
ἅμα σηκώθη ἀπ' τὸ πλευρὸ τῆς ὥριας σύγκοιτής του.
Καὶ σὰν τὸν εἶδε ὁ ἀκριβογιὸς τοῦ θεϊκοῦ

φίλος υἱός,
σπερχόμενός ῥα χιτῶνα περὶ χροΐ σιγαλόεντα
δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ᾽ ὤμοις
ἥρως, βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἤδη νῦν μ᾽ ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·
ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ᾽ ἱκέσθαι."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
"Τηλέμαχ᾽, οὔ τί σ᾽ ἐγώ γε πολὺν χρόνον ἐνθάδ᾽ ἐρύξω
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
ἀνδρὶ ξεινοδόκῳ, ὅς κ᾽ ἔξοχα μὲν φιλέῃσιν,
ἔξοχα δ᾽ ἐχθαίρῃσιν· ἀμείνω δ᾽ αἴσιμα πάντα.
ἶσόν τοι κακόν ἐσθ᾽, ὅς τ᾽ οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνει καὶ ὃς ἐσσύμενον κατερύκει.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
ἀλλὰ μέν᾽ εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θείω
καλά, σὺ δ᾽ ὀφθαλμοῖσιν ἴδῃς, εἴπω δὲ γυναιξὶ
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἄλις ἔνδον ἐόντων.
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
δειπνήσαντας ἴμεν πολλὴν ἐπ᾽ ἀπείρονα γαῖαν.
εἰ δ᾽ ἐθέλεις τραφθῆναι ἀν᾽ Ἑλλάδα καὶ μέσον Ἄργος,

Ὀδυσσέα,
ντύνεται ἀμέσως βιαστικὰ τὸ λαμπερὸ χιτώνα,
στοὺς ἀντρειωμένους ὤμους του ρίχνει βαρειὰ φλοκάτα,
καὶ βγαίνει καὶ προστέκεται· κι αὐτὰ τοῦ συντυχαίνει
τὸ παλληκάρι ὁ ἀκριβογιὸς τοῦ θεϊκοῦ Ὀδυσσέα·
"Γιὲ τοῦ Ἀτρέα διόθρεφτε, Μενέλαε βασιλέα,
εἶναι ὥρα νὰ μὲ στείλης πιὰ στὴν ποθητὴ πατρίδα,
γιατ' ἡ καρδιά μου λαχταρεῖ νὰ ξαναρθῶ στὸ σπίτι."
Καὶ τότε ὁ μεγαλόφωνος Μενέλαος τοῦ κρένει·
"Νὰ σὲ κρατήσω ἐδῶ πολύ, Τηλέμαχε, δὲ θέλω,
τὸ γυρισμό σου ἀφοῦ ποθεῖς· ὅποιος περίσσια δείχνει.
στὸν ξένο ἀγάπη γιά ὄχτρητα, τὸν κατακρίνω ἐτοῦτον·
σ' ὅλα τὸ μέτριο πιὸ καλό· κακό νὰ λὲς τοῦ ξένου
νὰ φύγη, ἂ δὲν τὸ θέλη αὐτός· κακό, καὶ νὰ κρατᾶς τον
στὴ βιάση του. Σὰ βρίσκεται σιμά σου, φίλευέ τον·
ἂν πάλε θέλη μισεμό, καλοπροβόδιζέ τον.
Μεῖνε ὅμως πρῶτα νὰ μὲ δῆς στ' ἁμάξι ν' ἀπιθώνω
τὰ ὥρια σου δῶρα, καὶ νὰ πῶ τῶ γυναικῶνε μέσα
μὲ τὰ πολλὰ βρισκούμενα τραπέζι νὰ μᾶς στρώσουν.
Δόξα περίλαμπρη γιὰ μᾶς, καὶ γιὰ τὰ σένα κέρδος,
ποὺ πᾶτε δρόμο μακρινό, νὰ φᾶτε καὶ νὰ πιῆτε.
Καὶ στὴν Ἑλλάδα ἂν θὲς νὰ βγῆς, καὶ σ' ὅλο τὸ Ἄργος μέσα,

ὄφρα τοι αὐτὸς ἔπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἔρχουμαι ἀντάμα σου κι ἐγώ· τὸ ἁμάξι θὰ σοῦ ζέψω,

ἄστεα δ᾽ ἀνθρώπων ἠγήσομαι· οὐδέ τις ἡμέας
καὶ θὰ σὲ πάρω σὲ πολλὲς ἀνθρώπων πολιτεῖες·

αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
κανένας τότες μ' ἀδειανὰ δὲ θὰ μᾶς στείλη χέρια,

ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων,
παρὰ σ' ἐμᾶς ἢ τρίποδα καλόχαλκο, ἢ λεβέτι,

ἠὲ δύ᾽ ἡμιόνους ἠὲ χρύσειον ἄλεισον."
ἢ δυὸ μουλάρια, ἢ καὶ χρυσὸ ποτήρι θὰ χαρίση."

τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κρένει·

"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
"Τοῦ Ἀτρέα γόνε διόθρεφτε, Μενέλαε βασιλέα,

βούλομαι ἤδη νεῖσθαι ἐφ᾽ ἡμέτερ᾽· οὐ γὰρ ὄπισθεν
θέλω νὰ πάω στὸν τόπο μου, τὶ δὲν ἀφῆκα πίσω

οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσιν·
σὰν ἔφευγα κανένανε νὰ μοῦ φυλάη τὸ βιός μου·

μὴ πατέρ᾽ ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι,
μὴν τύχη ὁ ἴδιος μου χαθῶ τὸν κύρη μου ζητώντας,

ἦ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται."
ἢ χάσω πολυτίμητο στολίδι ἀπ' τὰ παλάτια."

αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
Σὰν ἄκουσε ὁ τρανόφωνος Μενέλαος ἐτοῦτο,

αὐτίκ᾽ ἄρ᾽ ᾗ ἀλόχῳ ἠδὲ δμῳῇσι κέλευσε
παράγγειλε στὴ σύγκοιτη καὶ στὶς γυναῖκες μέσα

δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
μὲ τὰ πολλὰ βρισκούμενα τραπέζι νὰ τοιμάσουν.

ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοΐδης Ἐτεωνεύς,
Μόλις σηκώθηκε, ἔφτασε κοντὰ κι ὁ Ἐτεωνέας,

ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ᾽ αὐτοῦ·
ποὺ δὲν καθόταν μακριά· καὶ τοῦ 'πε ὁ γιὸς τοῦ Ἀτρέα

τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος
ν' ἀνάψη ἀμέσως τὶς φωτιές, τὰ κρέατα νὰ ψήση,

ὀπτῆσαί τε κρεῶν· ὁ δ᾽ ἄρ᾽ οὐκ ἀπίθησεν ἀκούσας.
κι ἄκουσ' αὐτὸς τὴν προσταγή. Κι ὁ ἴδιος πῆγε τότε

αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
στὸ θάλαμο ὁ Μενέλαος τὸ μοσκομυρισμένο,

οὐκ οἷος, ἅμα τῷ γ᾽ Ἑλένη κίε καὶ Μεγαπένθης.
μὲ τὴν Ἑλένη ἀντάμα του καὶ μὲ τὸ Μεγαπένθη.

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι κειμήλια κεῖτο,
Κι ἐκεῖ ποὺ φυλαγόντουσαν οἱ θησαυροὶ σὰ φτάσαν,

Ἀτρεΐδης μὲν ἔπειτα δέπας λάβεν
πῆρε στὸ χέρι ὁ βασιλιὰς διπλόκουπο

ἀμφικύπελλον,
υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε' ἄνωγεν
ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
ἀστὴρ δ' ὡς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
βὰν δ' ἰέναι προτέρω διὰ δώματος, ἦος ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
"Τηλέμαχ', ἦ τοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
ὡς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστι.
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται,
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ έ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
κεῖσέ με νοστήσαντα· τεὴν δ' ἐθέλω τόδ' ὀπάσσαι."
ὣς εἰπὼν ἐν χειρὶ τίθει δέπας ἀμφικύπελλον
ἥρως Ἀτρεΐδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
θῆκ' αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος

ποτήρι,
κι εἶπ^ του γιοῦ του εν' ἀργυρὸ κροντηρι νὰ σηκώση·
κι ἡ Ἑλένη στὰ σεντούκια της ζυγώνει, ποὺ εἶχε μέσα
ὡριόπλουμα φορέματα, δουλειὰ δική της ὅλα.
Ἕν' ἀπὸ κεῖνα σήκωσε καὶ πῆρε η ὥρια Ἑλένη,
ἀπ' ὅλα τὸ πλατύτερο καὶ πιὸ ὄμορφο στὸ ξόμπλι,
ποὺ σὰν ἀστέρι ἦταν λαμπρό, καὶ κάτω ἀπ' ὅλα τό 'χε.
Καὶ στὸν Τηλέμαχο ἤρθανε περνώντας τὰ παλάτια,
κι ὁ ξανθομάλλης βασιλιὰς τοῦ μίλησε καὶ τοῦ εἶπε·
"Τὸ γυρισμὸ ποὺ λαχταρᾶς, Τηλέμαχε, ἂς σοῦ δώση
ὁ Δίας ὁ πολύβροντος, ὁ σύγκοιτος τῆς Ἥρας.
Κι ἀπ' ὅσα δῶρα σπίτι μου φυλάω θησαυρισμένα,
σοῦ δίνω τ' ὀμορφότερο, τὸ πιὸ βαριότιμό μου.
Σοῦ δίνω ψιλοδούλευτο κροντήρι, ὅλο ἀσήμι,
κι ἀπάνωθε τὰ χείλη του μὲ μάλαμα σμιγμένα·
δουλειὰ τοῦ Ἡφαίστου· ὁ Φαίδιμος ὁ ἥρωας τό 'χει δώσει,
ὁ ρήγας τῶ Σιδωνιτῶν, τότες ποὺ ἐδῶ γυρνώντας
στ' ἀρχοντικό του κόνεψα· δικό σου θέλω νά 'ναι."
Εἶπε καὶ τὸ διπλόκουπο τοῦ πρόσφερε ποτήρι
τοῦ Ἀτρέα ὁ γιὸς ὁ ἥρωας· καὶ τότε ὁ ἀντρειωμένος
ὁ Μεγαπένθης ἔφερε κι ἀπίθωσε ὀμπροστά του
τ' ἀστραφτερὸ κροντήρι του τ' ἀσημοδουλεμένο·

πέπλον ἔχουσ᾽ ἐν χερσίν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·

"δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι,
μνῆμ᾽ Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
σῇ ἀλόχῳ φορέειν· τῆος δὲ φίλῃ παρὰ μητρὶ
κείσθω ἐνὶ μεγάρῳ. σὺ δέ μοι χαίρων ἀφίκοιο
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."

ὣς εἰποῦσ᾽ ἐν χερσὶ τίθει, ὁ δ᾽ ἐδέξατο χαίρων.
καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ·
τοὺς δ᾽ ἦγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος.
ἐζέσθην δ᾽ ἄρ᾽ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε.
χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα·
εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων·
πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο καὶ νέμε μοίρας·
οἰνοχόει δ᾽ υἱὸς Μενελάου κυδαλίμοιο.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ

Κατόπι ἡ κρινομάγουλη στάθη ὀμπροστά του Ἑλένη
σηκώνοντας τὸ φόρεμα, κι ὀνόμασέ τον κι εἶπε·

"Τοῦτο κι ἐγώ, παιδάκι μου, τὸ δῶρο σοῦ χαρίζω,
ἀπ' τὴν Ἑλένη θύμημα γιὰ τὴ χρυσὴ τὴν ὥρα
τοῦ γάμου σου, νὰ τὸ φορῇ ἡ καλή σου, κι ὡς τὰ τότες,
ἂς τὸ φυλάη ἡ ἀγαπητὴ μανούλα σου στὸ σπίτι.
Τώρα μὲ γειὰ καὶ μὲ χαρὰ νὰ τ' ἀξιωθῇς νὰ φτάσης
στ' ἀρχοντικὸ παλάτι σου, στὴν ποθητή πατρίδα."

Εἶπε, καὶ τοῦ τὸ πρόσφερε, κι αὐτὸς τὸ καλοδέχτη.
Παίρνοντας τότες ὁ ἥρωας Πεισίστρατος, τὰ δῶρα,
τὰ θάμασε καὶ τά 'βαλε μὲς στ' ἀμαξιοῦ τὴν κόφα.
Κι ὁ ξανθουλὸς Μενέλαος τοὺς ἔφερε στὸν πύργο,
κι ἐκεῖνοι ἀράδα στὰ θρονιὰ καθίσαν καὶ στὶς ἔδρες.

Καὶ μπρίκι γιὰ τὸ νίψιμο τοὺς φέρνει τότε ἡ βάγια,
ὡριο χρυσό, καὶ χύνει τους στὴν ἀργυρὴ λεγένη
γιὰ νὰ πλυθοῦν, καὶ στρώνει τους τὸ γυαλιστὸ τραπέζι.
Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,
κι ἀπὸ τὰ καλοφάγια της τοὺς ἔβαλε περίσσια.

Κι ὁ Ἐτεωνέας ἔκοβε καὶ μοίραζε τὸ κρέας,
καθὼς κρασὶ τοὺς κέρνα ὁ γιὸς τοῦ δοξασμένου ρήγα.
Κι αὐτοὶ ἄπλωναν τὰ χέρια τους στὰ φαγητὰ ὀμπροστά τους.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,

ἔρον ἔντο,
δὴ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
ἵππους τε ζεύγνυντ᾽ ἀνά θ᾽ ἅρματα ποικίλ᾽ ἔβαινον,
ἐκ δ᾽ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
τοὺς δὲ μετ᾽ Ἀτρεΐδης ἔκιε ξανθὸς Μενέλαος,
οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
ἐν δέπαϊ χρυσέῳ, ὄφρα λείψαντε κιοίτην.
στῆ δ᾽ ἵππων προπάροιθε, δεδισκόμενος δὲ προσηύδα·
"χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
εἰπεῖν· ἦ γὰρ ἐμοί γε πατὴρ ὡς ἤπιος ἦεν,
ἦος ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"καὶ λίην κείνῳ γε, διοτρεφές, ὡς ἀγορεύεις,
πάντα τάδ᾽ ἐλθόντες καταλέξομεν· αἶ γὰρ ἐγὼν ὡς
νοστήσας Ἰθάκηνδε, κιχὼν Ὀδυσῆ᾽ ἐνὶ οἴκῳ,
εἴποιμ᾽ ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά."
ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
ἤμερον ἐξ αὐλῆς· οἱ δ᾽ ἰύζοντες ἕποντο
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
δεξιὸς ἤϊξε πρόσθ᾽ ἵππων· οἱ δὲ ἰδόντες

πᾶνε ὁ Τηλέμαχος κι ὁ γιὸς τοῦ Νέστορα καὶ ζεύουν,

καὶ μὲς στ' ἁμάξι μπαίνουνε τ' ὁμορφοπλουμισμένο,
καὶ βγαίνουν ἀπ' τὰ πρόθυρα κι ἀπ' τὸν πολύβοο πύργο.
Τότες τοὺς ἦρθε ὁ ξανθουλὸς Μενέλαος τοῦ Ἀτρέα,
χρυσὸ ποτήρι μὲ κρασὶ θεόγλυκο κρατώντας
στὸ δεξὶ χέρι, στάξιμο νὰ κάμουν πρὶν κινήσουν.

Καὶ στάθηκε ὁμπρὸς στ' ἄλογα, καὶ χαιρετώντας εἶπε·
"Γειά σας, παιδιά, καὶ πῆτε του τοῦ Νέστορα τοῦ ρήγα
παρόμοια εὐκή· σὰν ἀγαθὸς μοῦ στάθηκε πατέρας
ὅσον καιρὸ μαχόμασταν οἱ Ἀχαιοὶ στὴν Τροία."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπολογήθη κι εἶπε·

"Σὰ φτάσουμε, ὦ διόθρεφτε, θὰ τοῦ τὰ ποῦμε ἐκείνου
ὅλα καθὼς ἐσὺ τὰ λὲς· μακάρι καὶ στὸ Θιάκι
ἔτσι νὰ φτάσω, καὶ νὰ βρῶ τὸν Ὀδυσσέα στὸ σπίτι,
καὶ πόση ἀγάπη μοῦ 'δειξες νὰ πῶ, καὶ πῶς γυρίζω
μαζί μου φέρνοντας λαμπρὰ καὶ πάμπολλα σου δῶρα."

Κι αὐτὰ σὰν εἶπε, πέταξε πουλὶ πρὸς τὰ δεξά του,
ἀϊτός, κι εἶχε στὰ νύχια του λευκὴ πελώρια χήνα,
ἥμερη, μέσ' ἀπ' τὴν αὐλή· καὶ τρέχανε κατόπι
γυναῖκες κι ἄντρες κράζοντας· καὶ τὸ πουλὶ κοντά τους
ἦρθε καὶ χούμηξε δεξὰ στ 'ἄλογα ὁμπρὸς πετώντας·

γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
"φράζεο δή, Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἦ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας ἦε σοὶ αὐτῷ."
ὣς φάτο, μερμήριξε δ' ἀρηΐφιλος Μενέλαος,
ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.
τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη φάτο μῦθον·
"κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκῳ
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε,
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
οἴκαδε νοστήσει καὶ τίσεται· ἠὲ καὶ ἤδη
οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης·
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὡς εὐχετοῴμην."
ἦ καὶ ἐφ' ἵπποιϊν μάστιν βάλεν· οἱ δὲ μάλ' ὦκα
ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ

κι εἶδαν αὐτοὶ καὶ χάρηκαν κι ἀναγαλλιάσαν ὅλοι.
Καὶ τότες ὁ Πεισίστρατος τοῦ Νέστορα αὐτὰ εἶπε·
"Στοχάσου τώρα, διόθρεφτε Μενέλαε, βασιλέα,
ἂν τὸ σημάδι αὐτὸ ὁ θεὸς τὸ δείχνη ἐμᾶς ἢ ἐσένα."
Εἶπε, κι ὁ πολεμόχαρος Μενέλαος συλλογιόταν
νὰ βρῆ τὸ νόημα καὶ σωστὰ νὰ τοῦ τὸ ξεδιαλύνη.
Μὰ ἡ λαμπροφόρα πρόλαβε ἡ Ἑλένη καὶ τοὺς εἶπε·
"Ἀκοῦτε, ἐγὼ σᾶς τὸ ξηγῶ καθὼς στὸ νοῦ μου μέσα
οἱ ἀθάνατοι τὸ βάζουνε, καὶ λέω πὼς ἔτσι θά 'βγη.
Σὰν πού 'ρθε ὁ ἀϊτὸς ἀπ' τὸ βουνό, ποὺ ἔχει γενιὰ καὶ φύτρα,
κι ἀπ' τὴν αὐλή της ἅρπαξε τὴ φυλαγμένη χήνα,
ἔτσι ὁ Δυσσέας στὸ σπίτι του, σὰν πλανηθῆ καὶ πάθη,
θένα 'ρθη καὶ θὰ γδικιωθῆ· μπορεῖ καὶ νά 'ρθε κιόλας,
καὶ νὰ σκαρώνη φοβερὰ δεινὰ γιὰ τοὺς μνηστῆρες."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Νὰ δώση ὁ Δίας ὁ βροντηχτής, ὁ σύγκοιτος τῆς Ἥρας,
κι ἀπὸ κεῖ πέρα τότ' ἐγὼ σᾶ θεὰ θὰ σὲ δοξάζω."
Καὶ τ' ἄλογα μαστίγωσε, καὶ κεῖνα πῆραν δρόμο,
κι ἀπὸ τὴ χώρα διάβηκαν καὶ χύθηκαν στὸν κάμπο·
Πὰς στὰ λαιμά τους ὁ ζυγὸς ὁλημερὶς κουνοῦσε,
μὰ ὁ ἥλιος σὰ βασίλεψε κι ἀπόσκιωσαν οἱ δρόμοι,
στὶς Φῆρες σταματήσανε, στοὺς πύργους

δῶμα,
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
ἔνθα δὲ νύκτ᾽ ἄεσαν ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
ἵππους τε ζεύγνυντ᾽ ἀνά θ᾽ ἅρματα ποικίλ᾽ ἔβαινον,
ἐκ δ᾽ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἄκοντε πετέσθην.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·
καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
"Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας
μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ᾽ εἶναι
ἐκ πατέρων φιλότητος, ἀτὰρ καὶ ὁμήλικές εἰμεν·
ἥδε δ᾽ ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
μή με παρὲξ ἄγε νῆα, διοτρεφές, ἀλλὰ λίπ᾽ αὐτοῦ,
μή μ᾽ ὁ γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ
ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼ θᾶσσον ἱκέσθαι."
"ὣς φάτο, Νεστορίδης δ᾽ ἄρ᾽ ἑῷ συμφράσσατο θυμῷ,
ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
στρέψ᾽ ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
νηῒ δ᾽ ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
ἐσθῆτα χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκε·

τοῦ Διοκλέα,
ποὺ ἤτανε γιὸς τοῦ Ὀρσίλοχου, καὶ τ' Ἀλφειοῦ ἦταν 'γγόνι.
Ἐκεῖ ξενύχτισαν, κι αὐτὸς φιλόξενα τοὺς δέχτη.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
ζέψανε κι ἀνεβήκανε στὸ πλουμισμένο ἁμάξι,
καὶ βγῆκαν ἀπ' τὰ πρόθυρα κι ἀπ' τὸν πολύβοο πύργο·
δίνει βιτσιὰ στ' ἀλόγατα, κι αὐτὰ γοργοπετάξαν.
Γλήγορα φτάνουν στ' ἀψηλὰ τῆς Πύλος κατατόπια,
καὶ τότε εἶπε ὁ Τηλέμαχος στοῦ Νέστορα τὸ τέκνο·
" Καλέ μου, τάχα θά 'στεργες ὅ,τι σοῦ πῶ νὰ κάνης ;
Παινιόμαστε πὼς ἄπειρη μᾶς ἔφερε φιλία
ἡ ἀγάπη τῶν πατέρων μας, κι ὁμήλικους μᾶς δένει·
μὰ πιὸ βαθιὰ ἐνωθήκαμε μὲ τὸ ταξίδι ἐτοῦτο.
Μὴν προσπεράσης, διόθρεφτε, τὸ πλοῖο, μόν' ἄφησέ με
ἐδῶ, μὴν τύχη σπίτι του καὶ μὲ κρατήση ὁ γέρος
νὰ μὲ φιλέψη, ὅσο πολὺ κι ἂ βιάζουμαι νὰ φτάσω."
Εἶπε, κι ὁ γιὸς τοῦ Νέστορα στοχάστη μὲς στὸ νοῦ του
πὼς κάλλιο στοῦ Τηλέμαχου τὸ θέλημα νὰ στέρξη.
Καὶ νά, τί συλλογίστηκε πὼς εἶναι πιὸ συφέρο·
κατὰ τὸ πλοῖο στὸ γιαλὸ τ' ἀλόγατα γυρίζει,
κι ὅλα τὰ δῶρα τὰ λαμπρὰ στὴν πρύμνη μέσα ἀδειάζει,
ποὺ τοῦ 'δωσε ὁ Μενέλαος, φόρεμα καὶ χρυσάφι·

καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
"σπουδῇ νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ οἶκαδ' ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
οἷος κείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται, οὐδέ ἑ φημι
ἆψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης."
ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους
ἆψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανε.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσεν·
"ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηΐ μελαίνῃ,
αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο."
"ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
αἶψα δ' ἄρ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
ἦ τοι ὁ μὲν τὰ πονεῖτο καὶ εὔχετο, θῦε δ' Ἀθήνῃ
νηΐ πάρα πρυμνῇ· σχεδόθεν δέ οἱ ἦλυθεν ἀνὴρ
τηλεδαπός, φεύγων ἐξ Ἄργεος ἄνδρα κατακτάς,
μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,
ὃς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
δὴ τότε γ' ἄλλων δῆμον ἀφίκετο, πατρίδα φεύγων
Νηλέα τε μεγάθυμον, ἀγαυότατον

καὶ τότες τὸν παρακινεῖ μὲ λόγια φτερωμένα·
" Τρέξε κι ἀνέβα τώρα ἐσὺ, πὲς νά 'ρθουν κι οἱ συντρόφοι,
πρὶν φτάσω ἐγὼ στὸν πύργο μας, καὶ πρὶν τ' ἀκούση ὁ γέρος.
Γιατὶ καλὰ κατέχω το στὰ φρένα καὶ στὸ νοῦ μου,
πὼς ὄντας δυνατόγνωμος, δὲ θὰ σ' ἀφήση, θά 'ρθη
νὰ σὲ φωνάξη, κι ἄπραγος θαρρῶ δὲ θὰ γυρίση,
τὶ τὴν ψυχή του ἀκράτητος θυμὸς θά 'χη πιασμένη. "
Καὶ τὰ λαμπρότριχα ἄλογα χτυπάει μὲ τὸ μαστίγι,
κατὰ τὴν Πύλο, καὶ γοργὰ στ' ἀρχοντικό τους φτάνει.
Συνάμα κι ὁ Τηλέμαχος προστάζει τοὺς συντρόφους·
" Γιὰ συγυρίστε τ' ἄρμενα, παιδιὰ, στὸ μαῦρο πλοῖο,
κι ἂς ἀνεβαίνουμε κι ἐμεῖς ν' ἀρχίζουμε τὸ δρόμο. "
Εἶπε, κι ἐκεῖνοι πρόθυμα τὴν προσταγή του ἀκοῦσαν,
καὶ μπῆκαν καὶ καθίσανε στοῦ καραβιοῦ τοὺς πάγκους.
Αὐτὰ νοιαζόταν, κι ἔκανε σιμὰ στὴν πρύμνη στάξες
καὶ προσευκὲς στὴν Ἀθηνᾶ· κι ἦρθε σιμά του ξένος
μάντης ποὺ σκότωσε ἄνθρωπο, καὶ νὰ ξεφύγη ζήτα·
ἀπ' τὸν Μελάμποδα ἔρχονταν ἡ φύτρα κι ἡ γενιά του,
ποὺ μιὰ φορὰ ζοῦσε κι αὐτὸς στὴν ἀρνοθρέφτρα Πύλο,
κι εἶχε ἐκεῖ πλούτια ἀρίφνητα κι ἀρχοντικὰ παλάτια·
κατόπι ξενιτεύτηκε κι ἀφῆκε τὸ Νηλέα,
τὸ ρήγα τὸν τρανόψυχο, τοῦ κόσμου τὸ καμάρι,

ζωόντων,
ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν
εἶχε βίῃ. ὁ δὲ τῆος ἐνὶ μεγάροις Φυλάκοιο
δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων
εἵνεκα Νηλῆος κούρης ἄτης τε βαρείης,
τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐρινύς.
ἀλλ' ὁ μὲν ἔκφυγε κῆρα καὶ ἤλασε βοῦς ἐριμύκους
ἐς Πύλον ἐκ Φυλάκης καὶ ἐτίσατο ἔργον ἀεικὲς
ἀντίθεον Νηλῆα, κασιγνήτῳ δὲ γυναῖκα
ἠγάγετο πρὸς δώμαθ'. ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
ναιέμεναι πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν
ἔνθα δ' ἔγημε γυναῖκα καὶ ὑψερεφὲς θέτο δῶμα,
γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Ὀϊκλῆα μεγάθυμον,
αὐτὰρ Ὀϊκλείης λαοσσόον Ἀμφιάραον,
ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων
παντοίην φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν,
ἀλλ' ὄλετ' ἐν Θήβῃσι γυναίων εἵνεκα δώρων.
τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδεά τε Κλεῖτόν τε·

ποὺ χρόνο κράτησε ἀλάκερο τὸ βιός του μὲ τὴ βία,
ὅταν ἐκεῖνος κλειότανε στοὺς πύργους τοῦ Φυλάκου,
δεμένος μὲ τὶς ἅλυσες, καὶ βάσανα τραβώντας
γιὰ τοῦ Νηλέα τὴν κορασιά, κι ἀπ' τὴν βαρειὰ τὴν τρέλλα
ποὺ ἡ Ἐρινύα ἡ φοβερὴ θεὰ τοῦ 'ριξε ἀπάνω.
Ὡς τόσο τότες γλύτωσε, καὶ μπόρεσε νὰ φέρη
τὰ βόδια τὰ μουγγρόφωνα στὴν Πύλο ἀπ' τὴ Φυλάκη,
γδικιώνοντας τὴν ἄνομη πράξη τοῦ θείου Νηλέα,
κι ἔτσι ἔφερε τὴν κορασιὰ στ' ἀδέρφι του στεφάνι.
Κατόπι ξενιτεύτηκε στ' ἀλογοβόσκητο Ἄργος,
γιατ' ἤτανε γραφτό του ἐκεῖ νὰ ζήση καὶ νὰ γίνη
ρήγας περίσσιων Ἀργιτῶν. Καὶ πῆρ' ἐκεῖ γυναίκα,
κι ἔστησε σπίτι ἀρχοντικό, καὶ γέννησε δυὸ τέκνα,
δυὸ δυνατοὺς λεβέντηδες, τὸ Μάντιο κι Ἀντιφάτη.
Καὶ τὸν τρανόψυχο Ὀϊκλῆ γέννησε ὁ Ἀντιφάτης,
κι ὁ Ὀϊκλῆς τὸν Ἀμφιάραο, τῆς λεβεντιᾶς τὸν πύργο,
ποὺ τοῦ 'χε ἀγάπη περισσὴ κι ὁ αἰγιδοφόρος Δίας,
κι ὁ Φοῖβος· μὰ δὲν ἔφτασε στῶ γερατειῶν τὴ θύρα,
παρὰ στὴ Θήβα χάθηκε ἀπ' τὰ δῶρα τῆς γυναίκας.
Δυὸ γιοὺς αὐτός, Ἀμφίλοχο κι Ἀλκμαίωνα, εἶχε κάμει.
Ὁ Μάντιος πάλι γέννησε Κλεῖτο καὶ Πολυφείδη·

ἀλλ᾽ ἦ τοι Κλεῖτον χρυσόθρονος ἤρπασεν Ἠὼς
κάλλεος εἵνεκα οἷο, ἵν᾽ ἀθανάτοισι μετείη·
αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
θῆκε βροτῶν ὄχ᾽ ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάραος·
ὅς ῥ᾽ Ὑπερησίηνδ᾽ ἀπενάσσατο πατρὶ χολωθείς,
ἔνθ᾽ ὅ γε ναιετάων μαντεύετο πᾶσι βροτοῖσιν.
τοῦ μὲν ἄρ᾽ υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ᾽ ὄνομ᾽ ἦεν,
ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ᾽ ἐκίχανεν
σπένδοντ᾽ εὐχόμενόν τε θοῇ παρὰ νηῒ μελαίνῃ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ὦ φίλ᾽, ἐπεί σε θύοντα κιχάνω τῷδ᾽ ἐνὶ χώρῳ,
λίσσομ᾽ ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
σῆς τ᾽ αὐτοῦ κεφαλῆς καὶ ἑταίρων, οἵ τοι ἔπονται,
εἰπέ μοι εἰρομένῳ νημερτέα μηδ᾽ ἐπικεύσῃς·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;"
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
ἐξ Ἰθάκης γένος εἰμί, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεύς,
εἴ ποτ᾽ ἔην· νῦν δ᾽ ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν
ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο."
τὸν δ᾽ αὖτε προσέειπε Θεοκλύμενος

τὸν Κλεῖτο στοὺς ἀθάνατους ἡ Αὐγὴ ἡ χρυσοθρονοῦσα
τὸν πῆρε γιὰ τὰ κάλλη του· τὸν Πολυφείδη ὁ Φοῖβος
Ἀπόλλωνας τὸν ὅρισε τοῦ κόσμου πρῶτο μάντη
σὰν πέθαν' ὁ Ἀμφιάραος· μὰ στὴν Ὑπερησία,
σὰ μάλωσε μὲ τὸ γονιό, νὰ κατοικήση πῆγε,
καὶ σ' ὅλους τοὺς θνητοὺς τῆς γῆς προφήτευε ἀποκεῖθε.
Ἐκείνου ὁ γιός, Θεοκλύμενο τὸν ἔλεγαν, τότε ἦρθε
καὶ στάθη στὸν Τηλέμαχο κοντά, στὴν ὥρα ἀπάνω
ποὺ προσευκόταν κι ἔσταζε σιμὰ στὸ μαῦρο πλοῖο,
καὶ φώναξέ τον, κι εἶπε του μὲ λόγια φτερωμένα·
"Ὦφίλε, ἀφοῦ σὲ βρῆκα ἐδῶ στὴν ὥρα τῆς θυσίας,
παρακαλῶ σε, γιὰ τὸ θεό, γι' αὐτὰ ποὺ θυσιάζεις,
μὰ καὶ γιὰ ἐσένα, καὶ γι' αὐτοὺς ποὺ ἐδῶ σὲ συντροφεύουν,
λέγε μου αὐτὸ ποὺ σὲ ρωτῶ, καὶ τίποτα μὴν κρύβης·
ποιός εἶσαι ; ποιά 'ναι ἡ φύτρα σου, κι ἡ χώρα κι οἱ γονιοί σου ;"
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κρένει·
"Μὲ ἀλήθεια ἐγὼ θὰ σοῦ τὰ πῶ τὰ πού ρωτᾶς, ὦ ξένε·
τὸ Θιάκι ἐμένα ὁ τόπος μου, Ὀδυσσέας ὁ γονιός μου,
σὰ ζοῦσε κι ἦταν· τώρ' αὐτὸν κακὸ τὸν βρῆκε τέλος.
Γι' αὐτὸ δὰ πῆρα συντροφιά, καὶ βγῆκα μὲ καράβι,
νὰ μάθω γιὰ τὸν κύρη μου, τὸν πολυπλανεμένο."
Κι ὁ θεόμορφος Θεοκλύμενος ἀπάντησέ

θεοειδής·
"οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε ἔται τε
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιῶν.
τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν
φεύγω, ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης,
ἀλλ' ἔπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν."
ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
καὶ τό γ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσετο ποντοπόροιο.
ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο, πὰρ δὲ οἱ αὐτῷ
εἶσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.
τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,

του κι εἶπε·
"Κι ἐγὼ ἀπ' τὸν τόπο μου ἔφυγα, τὶ σκότωσα πατριώτη,
ποὺ ἦταν πολλὰ κι ἀρίθμητα τ' ἀδέρφια κι οἱ γενιές του,
στ' Ἄργος τ' ἀλογοβόσκητο, τῶν Ἀχαιῶν οἱ πρῶτοι.
Μιὰς κι ἀπ' ἐκείνους μπόρεσα τὸ χάρο νὰ γλυτώσω
φεύγω μακριά, κι εἶναι γραφτὸ στὸν κόσμο νὰ πλανιέμαι.
Προσπέφτω σου, καὶ πάρε με στὸ πλοῖο, γιατὶ κιόλα
θαρρῶ μὲ κυνηγοῦν αὐτοὶ γιὰ νὰ μὲ θανατώσουν."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Ἀπ' τὸ καλόφτιαστό μου ἐγὼ καράβι δὲ σὲ διώχνω·
ἀνέβα, κι ὅ,τι βρίσκεται στὸ πλοῖο θὰ σὲ φιλέψω."
Εἶπε, κι ἀπὸ τὸ χέρι του τὸ χάλκινο κοντάρι
πῆρε, καὶ δίπλα τό 'θεσε μὲς στὸ γερτὸ καράβι·
ἀπάνω στὸ πλεούμενο κι ὁ ἴδιος του ἀνεβαίνει,
καὶ παίρνει τὸ Θεοκλύμενο στὴν πρύμνη καὶ σιμά του.
Ὡς τόσο τὰ πρυμόσκοινα ξελῦσαν οἱ συντρόφοι,
καὶ πρόσταξε ὁ Τηλέμαχος καλώντας τους νὰ πιάσουν
νὰ βάλουν τ' ἄρμενα· κι αὐτοὶ μὲ βιάση τὸν ἀκοῦσαν.
Σηκώσανε καὶ στήσανε τὸ ἐλάτινο κατάρτι
στὸ μεσοδόκι τὸ σκαφτό, τὸ δέσανε μὲ ξάρτια,
καὶ μὲ καλόστριφτα λουριὰ τ' ἄσπρα πανιὰ τραβῆξαν.
Τότες ἡ δέσποινα Ἀθηνᾶ πρύμο ἄνεμο τοὺς στέλνει,

λάβρον ἐπαιγίζοντα δι᾽ αἰθέρος, ὄφρα τάχιστα
νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καλλιρέεθρον.
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡ δὲ Φεὰς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ
ἠδὲ παρ᾽ Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
ἔνθεν δ᾽ αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
ὁρμαίνων ἤ κεν θάνατον φύγοι ἦ κεν ἁλώῃ.
τὼ δ᾽ αὖτ᾽ ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
τοῖς δ᾽ Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
ἦ μιν ἔτ᾽ ἐνδυκέως φιλέοι μεῖναί τε κελεύοι
αὐτοῦ ἐνὶ σταθμῷ, ἦ ὀτρύνειε πόλινδε·
"κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
ἀλλά μοι εὖ θ᾽ ὑπόθευ καὶ ἄμ᾽ ἡγεμόν᾽ ἐσθλὸν ὄπασσον
ὅς κέ με κεῖσ᾽ ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.
καί κ᾽ ἐλθὼν πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο
ἀγγελίην εἴποιμι περίφρονι

ποὺ ἀπ' τὸν αἰθέρα χύνονταν, γοργὰ γιὰ ν' ἀρμενίση
πὰς στὶς ἁρμυροθάλασσες τὸ πλοῖο. Καὶ πέρασαν
ἀπόξω ἀπ' τοὺς Κρουνοὺς κι ἀπ' τὴν καλόνερη Χαλκίδα.
Κι ὁ γήλιος σὰ βασίλευε, κι ἀπόσκιωναν οἱ δρόμοι,
μὲ τοῦ Διὸς τὸν ἄνεμο γιὰ τὶς Φεὲς τραβοῦσε,
καὶ γιὰ τὴ θεία τὴν Ἤλιδα, ποὺ Ἐπειῶτες τὴν ὁρίζουν·
καὶ στὰ βραχόσπαρτα νησιὰ πλώρη ἔβαλε ἀποκεῖθε,
ἂν θὰ γλυτώση ἢ θὰ χαθῆ στὸ νοῦ του μελετώντας.
Ὡς τόσο στὴν καλύβα ἐκεῖ δειπνοῦσε ὁ Ὀδυσσέας
μὲ τὸ χοιροβοσκό· σιμὰ δειπνούσανε κι οἱ ἄλλοι.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,
ρωτάει ὁ Δυσσέας τὸν καλὸ βοσκό, νὰ δοκιμάση
ἂν τὸν πονάη εἰλικρικὰ κι ἂν θᾶ τοῦ πῆ νὰ μείνη
ἐκεῖ στὴ στάνη, ἢ θὰ τοῦ πῆ στὴ χώρα νὰ κινήση·
"Ἄκουσε τώρα, ὦ γέροντα, κι οἱ ἄλλοι ἐσεῖς συντρόφοι,
στὴ χώρα θέλω τὸ ταχὺ νὰ πάω νὰ διακονεύω,
νὰ μὴ σᾶς γίνω βαρετὸς κι ἐσὲ καὶ στοὺς συντρόφους.
Τὴ συμβουλή σου δῶσε μου, καὶ βάλε μου κανέναν
νὰ μ' ὁδηγήση ἐκεῖ· κι ἐγὼ μονάχος θὰ γυρίζω
ἴσως καὶ κάποιος φέρη μου κανάτα καὶ κάρβέλι.
Καὶ στὰ παλάτια θά 'φτανα τοῦ θείου τοῦ Ὀδυσσέα,
τῆς Πηνελόπης τῆς καλῆς νὰ δώσω τὰ

Πηνελοπείῃ,
καί κε μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην,
εἴ μοι δεῖπνον δοῖεν ὀνείατα μυρί᾽ ἔχοντες.
αἶψά κεν εὖ δρῴοιμι μετὰ σφίσιν ἄσσ᾽ ἐθέλοιεν.
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Ἑρμείαο ἔκητι διακτόρου, ὅς ῥά τε πάντων
ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειε βροτὸς ἄλλος,
πῦρ τ᾽ εὖ νηῆσαι διά τε ξύλα δανὰ κεάσσαι,
δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι,
οἷά τε τοῖς ἀγαθοῖσι παραδρῴωσι χέρηες."
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
"ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ᾽ ὀλέσθαι.
εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
οὔ τοι τοιοίδ᾽ εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
οἵ σφιν ὑποδρῴωσιν· ἐΰξεστοι δὲ τράπεζαι
σίτου καὶ κρειῶν ἠδ᾽ οἴνου βεβρίθασιν.
ἀλλὰ μέν᾽· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
μαντάτα·
ἐκεῖ καὶ τοὺς ἀγέρωχους θένα 'σμιγα μνηστῆρες,
καὶ δεῖπνο ἀπὸ τ' ἀμέτρητα θὰ μοῦ 'διναν καλά τους,
τὶ θὰ στεκόμουν πρόθυμος σ' ὅ,τι δουλειὰ γυρεῦαν,
Ἄκουσ' ἐδῶ καὶ πρόσεξε τὸ τί σοῦ συντυχαίνω·
μὲ τοῦ μαντάτορα τοῦ Ἑρμῆ τὴ συνεργειά, ποὺ σὲ ὅλων
αὐτὸς τὰ ἔργα τῶν θνητῶν χάρη καὶ δόξα δίνει,
κανένας νὰ μοῦ παραβγῆ στὴ μαστοριὰ δὲν εἶναι,
νὰ καλοανάβω τὶς φωτιές, ξερὰ νὰ σκίζω ξύλα,
νὰ καλοψήνω, νὰ κερνῶ, τὰ κρέατα νὰ μοιράζω,
κι ὅσ' ἄλλα στοὺς ἀφεντικοὺς οἱ δοῦλοι πάντα φτιάνουν."
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, βαριὰ πονώντας τοῦ εἶπες·
"Ἀλλοί, πῶς τέτοιος στοχασμὸς ἦρθε στὸ νοῦ σου, ὦ ξένε ;
Τέλος κακὸ νὰ σοῦ 'ρθη ἐκεῖ γυρεύεις χωρὶς ἄλλο,
καὶ μὲς στὴ συντροφιὰ ζητᾶς νὰ πέσης τῶ μνηστήρων,
ποὺ τ' ἄχτι τους κι ἡ ἀδιαντροπιὰ στὰ οὐράνια φτάνει ἀπάνω.
Κι οἱ δοῦλοι ποὺ τοὺς νοιάζουνται δὲ μοιάζουνε μ' ἐσένα,
παρὰ εἶναι νέοι μ' ἀρχοντικὰ φορέματα ντυμένοι,
μὲ μυρωμένα τὰ μαλλιὰ μὲ πρόσωπα πανώρια·
κι ἀπάνω σὲ καλόφτιαστα τραπέζια ὁλοτριγύρω,
ψωμιὰ καὶ κρέατα ὅσα θές, καὶ τὸ κρασὶ περίσσιο.
Μεῖνε μαζί μας, κανενὸς ἐδῶ, μὰ μήτ' ἐμένα
μήτ' ἀλλονοῦ συντρόφου μου δὲ θένα δώσης

οὔτ᾽ ἐγὼ οὔτε τις ἄλλος ἑταίρων, οἵ βάρος.
μοι ἔασιν.
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος
φίλος υἱός,
κεῖνός σε χλαῖνάν τε χιτῶνά τε
εἵματα ἕσσει,
πέμψει δ᾽ ὅππη σε κραδίη θυμός τε
κελεύει."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος
Ὀδυσσεύς·
"αἴθ᾽ οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο
ὡς ἐμοί, ὅττι μ᾽ ἔπαυσας ἄλης καὶ
ὀϊζύος αἰνῆς.
πλαγκτοσύνης δ᾽ οὐκ ἔστι
κακώτερον ἄλλο βροτοῖσιν·
ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς κακὰ
κήδε᾽ ἔχουσιν
ἀνέρες, ὅν τιν᾽ ἵκηται ἄλη καὶ πῆμα
καὶ ἄλγος.
νῦν δ᾽ ἐπεὶ ἰσχανάᾳς μεῖναι τέ με
κεῖνον ἄνωγας,
εἶπ᾽ ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος
θείοιο
πατρός θ᾽, ὃν κατέλειπεν ἰὼν ἐπὶ
γήραος οὐδῷ,
ἤ που ἔτι ζώουσιν ὑπ᾽ αὐγὰς
ἠελίοιο,
ἦ ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισι."
τὸν δ᾽ αὖτε προσέειπε συβώτης,
ὄρχαμος ἀνδρῶν·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽
ἀτρεκέως ἀγορεύσω.
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ᾽ εὔχεται
αἰεὶ
θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν
μεγάροισιν·
ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται
οἰχομένοιο
κουριδίης τ᾽ ἀλόχοιο δαΐφρονος, ἥ ἑ
μάλιστα
ἤκαχ᾽ ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ πού τοῦ 'φερε τὰ γερατειὰ πριχοῦ νὰ ρθῆ ὁ

Καὶ σὰ γυρίση ὁ ἀκριβογιὸς τοῦ ἀφέντη τοῦ
Ὀδυσσέα,
τότε θὰ σοῦ φορέση αὐτὸς χλαμύδα καὶ
χιτώνα,
κι ὅπου ἡ καρδιά σου λαχταρεῖ θὰ σὲ
ξεπροβοδήση."

Κι ἀπολογήθηκε ὁ λαμπρός, πολύπαθος
Δυσσέας·
"Ἄμποτε ὅσο σ' ἀγάπησα νὰ σ' ἀγαπάη κι ὁ
Δίας,
ποὺ ἀπ' τὴ βαρειὰ τοῦ ζήτουλα κακομοιριὰ
μὲ σώζεις.
Ἔρμος στὰ ξένα σὰ γυρνᾶς, χειρότερο δὲν
εἶναι·
μόνε γιὰ μιὰ παλιοκοιλιὰ τόσα τραβοῦν οἱ
ἀνθρῶποι,
σὰν τοὺς πλακώνη ἡ ρήμαξη κι ἡ συφορὰ κι ὁ
πόνος.
Καὶ τώρα ποὺ κρατᾶς με ἐσὺ νὰ μείνω ὡς
νά 'ρθη ἐκεῖνος,
ἔλα καὶ πὲς γιὰ τοῦ θεϊκοῦ τοῦ Ὀδυσσέα τὴ
μάνα,
καὶ τὸ γονιό, ποὺ ἀφῆκε τον στῶ γερατειῶν
τὶς θύρες,
ἂν εἶναι ἀκόμα ζωντανοί, τὸ φῶς τοῦ ἥλιου
ἃ βλέπουν,
ἢ ἀπέθαναν καὶ βρίσκουνται στοῦ Ἅδη τὰ
κατατόπια."

Κι ὁ πρῶτος τῶ χοιροβοσκῶν ἀπολογήθη
κι εἶπε·
"Μὲ ἀλήθεια καὶ γιὰ δαῦτα ἐγὼ θὰ σοῦ
μιλήσω, ὦ ξένε.
Ὁ Λαέρτης ζῆ, μὰ ἀνέπαυα παρακαλεῖ τὸν
Δία
νὰ τόνε σβήση ὁ θάνατος στὴν κατοικιά του
μέσα.
Μοιρολογάει καὶ δέρνεται γιὰ τὸ χαμένο γιό
του,
καὶ τὴν καλή του σύγκοιτη, καὶ κλαίει τὸ
θάνατό της,

θῆκεν.
ἡ δ᾽ ἄχεϊ οὖ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅς τις ἐμοί γε
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
οὕνεκά μ᾽ αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
θυγατέρ᾽ ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·

τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ᾽ ἧσσον ἐτίμα.
αὐτὰρ ἐπεί ῥ᾽ ἤβην πολυήρατον ἱκόμεθ᾽ ἄμφω,
τὴν μὲν ἔπειτα Σάμηνδ᾽ ἔδοσαν καὶ μυρί᾽ ἔλοντο,

αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε εἵματ᾽ ἐκείνη
καλὰ μάλ᾽ ἀμφιέσασα, ποσὶν δ᾽ ὑποδήματα δοῦσα
ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
νῦν δ᾽ ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
ἔργον ἀέξουσιν μάκαρες θεοὶ ᾧ ἐπιμίμνω·
τῶν ἔφαγόν τ᾽ ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
ἐκ δ᾽ ἄρα δεσποίνης οὐ μείλιχον ἔστιν ἀκοῦσαι
οὔτ᾽ ἔπος οὔτε τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἶκῳ,
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι

καιρός του.
Ὁ πόνος τήνε μάρανε τοῦ ἀγαπητοῦ παιδιοῦ της,
κι ἀπέθανε· ποὺ θάνατος παρόμοιος νὰ μὴν πάρη

κανένα μας συγκάτοικο καὶ καλοπράχτη φίλο.
Ἐκείνη ὅσο βρισκότανε, βαρὺ καημὸ κι ἂν εἶχε,
πάντ᾽ ἀγαποῦσα νὰ ρωτῶ γι᾽ αὐτὴ καὶ νὰ μαθαίνω,
γιατὶ μ᾽ ἀνάθρεψε μαζὶ μὲ τὴν καλὴ Χτιμένη,
τὴ ζουλεμένη κόρη της, τὸ πιὸ στερνὸ παιδί της·

μαζὶ μ᾽ αὐτὴ ἀναθράφηκα, καὶ μὲ τιμοῦσαν ὄχι
πολὺ λιγώτερο ἐκεινῆς. Κι ἡ ὥρα μας σὰν ἦρθε,
καὶ γλυκανθοῦσε ἀπάνω μας χαριτωμένη νιότη,
στὴ Σάμη τήνε στείλανε καὶ μύρια δῶρα πῆραν.

Κι ἐμένα σὰ μὲ στόλισε μὲ χλαίνα καὶ χιτώνα,
καὶ μοῦ ᾽δωκε ποδήματα στὰ πόδια νὰ φορέσω,
μ᾽ ἔστειλ᾽ ἐδῶ στὴν ἐξοχή, καὶ πάντα μ᾽ ἀγαποῦσε.
Ἐκεῖνα τώρα λείπουνε· μὰ αὐτὸ μοῦ τὸ ἔργο μνήσκω
ἀκόμα, κι οἱ μακαριστοὶ θεοὶ μοῦ τὸ βλογᾶνε·
ἔφαγα κι ἤπια ἀπ᾽ ὅλ᾽ αὐτά, καὶ μοίρασα καὶ σὲ ἄλλους.
Μὰ λόγο ἢ ἔργο τῆς κυρᾶς γλυκὸ πιὰ δὲν ἀκοῦμε,
ἀφότου ἐκεῖ στὸ σπίτι της ἡ συφορὰ κατέβη
μὲ τοὺς ἀπόκοτους αὐτούς. Κι οἱ δοῦλοι ἔχουν ἀνάγκη
νὰ τῆς μιλᾶνε τῆς κυρᾶς, νὰ τῆ ρωτᾶνε γιὰ ὅλα,
νὰ τρῶνε καὶ νὰ πίνουνε, νὰ παίρνουνε καὶ

καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ πόποι, ὡς ἄρα τυτθὸς ἐών, Εὔμαιε συβῶτα,
πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
ἦ ἔνι ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ,
ἦ σέ γε μουνωθέντα παρ' οἴεσιν ἢ παρὰ βουσὶν
ἄνδρες δυσμενέες νηυσὶν λάβον ἠδ' ἐπέρασσαν
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὁ δ' ἄξιον ὠνον ἔδωκε."
τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
"ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
ἥμενος. αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρή,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
εὐδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφι
δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε
κήδεσιν ἀλλήλων τερπώμεθα

κάτι μαζί τους ὄξω, ἀπ' τὰ καλὰ ποὺ λαχταρεῖ ἡ ψυχή τους. ″

Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τοῦ ἀπολογήθη κι εἶπε·
“Ἀλλοίμονο, πόσο μικρός, καλὲ χοιροβοσκέ μου,
ἀπὸ πατρίδα καὶ γονιοὺς στὰ ξένα πῆρες δρόμο.
Μὰ πές μας τώρα ξάστερα καὶ ξήγησέ μου ἐτοῦτο·
τάχα πλατύδρομη θνητῶν ρημώθη πολιτεία,
ποὺ μέσα κατοικούτανε κι ἡ μάνα σου κι ὁ κύρης,
ἢ μοναχὸ σὲ βρήκανε μὲ πρόβατα καὶ βόδια
δύστροποι ἀνθρῶποι, κι ἄξαφνα σὲ ρίξαν στὸ καράβι,
καὶ σ' ἔφεραν σὲ πούλησαν σ' αὐτοῦ τοῦ ἀντρὸς τὰ σπίτια;″
Κι ὁ πρῶτος τῶν χοιροβοσκῶν ἀπάντησέ του κι εἶπε·
“Ξένε, σὰ μὲ ρωτᾶς κι αὐτά, καὶ θέλεις νὰ τὰ μάθης,
σώπα, ἄκουγε, καὶ γλέντιζε, καὶ πίνε τὸ κρασί σου
καθούμενος· ἀπέραντες οἱ νύχτες τώρα· κι ἔχεις
καιρὸ καὶ γιὰ νὰ κοιμηθῆς, καιρὸ καὶ γιὰ ν' ἀκούγης
καὶ νὰ γλεντᾶς· νὰ κοιμηθῆς δὲν εἶναι ἀνάγκη ἀκόμα
κι ὁ πολὺς ὕπνος βαρετός. Ὅποιου τραβάει ἡ καρδιά του,
ἂς ἔβγη κι ἂς πλαγιάση αὐτός· καὶ σὰ χαράξη ἡ μέρα,
ἂς φάη, καὶ τοῦ ἀφεντικοῦ τοὺς χοίρους ἂς βοσκήση.
Ἐμεῖς μὲς στὴν καλύβα μας ἐδῶ φαγοποτώντας
γλεντοῦμε τὰ μεγάλα μας ἀνιστορώντας

λευγαλέοισι,
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ,
ὅς τις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ᾽ ἐπαληθῇ.
τοῦτο δέ τοι ἐρέω ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς.
"νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
οὔ τι περιπληθὴς λίην τόσον, ἀλλ᾽ ἀγαθὴ μέν,
εὔβοτος, εὔμηλος, οἰνοπληθής, πολύπυρος.
πείνη δ᾽ οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
ἀλλ᾽ ὅτε γηράσκωσι πόλιν κάτα φῦλ᾽ ἀνθρώπων,
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
τῇσιν δ᾽ ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε,
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
"ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἦλυθον ἄνδρες,
τρῶκται, μυρί᾽ ἄγοντες ἀθύρματα νηΐ μελαίνῃ.
ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ᾽ ἐνὶ οἴκῳ,
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργα ἰδυῖα·
τὴν δ᾽ ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον.
πλυνούσῃ τις πρῶτα μίγη κοίλῃ παρὰ νηΐ

πάθια
ὁ ἕνας τοῦ ἄλλου· γλέντι του τοῦ καταντοῦν οἱ πόνοι
τοῦ ἀνθρώπου ποὺ ἔπαθε πολλά, καὶ ποὺ πολυπλανήθη.
Καὶ τώρα τοῦτο θὰ σοῦ πῶ ποὺ μὲ ρωτᾶς νὰ μάθης.
Νησί 'ναι, ἂν τό 'χης ἀκουστά, Συρία τ' ὄνομά του,
ἀπὸ τὴν Ὀρτυγία, ψηλά, πού 'ναι οἱ τροπὲς τοῦ ἥλιου·
κόσμο δὲν ἔχει καὶ πολύ, μὰ καρπερὸ καὶ πλούσιο
σὲ πρόβατα καὶ σὲ βοσκές, σὲ ἀμπέλια καὶ σιτάρι.
Ἡ πεῖνα ἐκεῖ δὲν ἔρχεται, μήτ' ἄλλη μαύρη ἀρρώστια
δὲν πέφτει τοὺς κακόμοιρους ἀνθρώπους νὰ θερίζῃ·
παρὰ στὴν πολιτεία τους οἱ ἀνθρῶποι σὰ γεράσουν,
ὁ Φοῖβος ὁ ἀργυρότοξος κι ἡ Ἄρτεμη μὲ σαΐτες
ἀνέπονες πηγαίνουνε καὶ τοὺς γλυκοκοιμίζουν.
Δυὸ πολιτεῖες εἶν' ἐκεῖ, καὶ τά 'χουν μοιρασμένα·
ἕνα γνωρίζουν βασιλιά, τὸν κύρη μου κι οἱ δυό τους,
ἄντρα θεόμοιαστο πολύ, τὸ Χτήσιο τοῦ Ὀρμένου.

Κι ἤρθανε τότες Φοίνικες θαλασσοξακουσμένοι,
ἁρπάχτες, καὶ μ' ἀρίθμητα στολίδια στὸ καράβι.
Εἶχε ὁ γονιός μου Φοίνισσα στὸ σπίτι του γυναίκα,
ὥρια καὶ μεγαλόκορμη, σ' ἔργα λαμπρὰ τεχνίτρα·
αὐτὴ τήνε ξελόγιασαν οἱ Φοίνικες οἱ πλάνοι,
καὶ καθὼς ἔπλενε σιμὰ στὸ μελανὸ καράβι,
κάποιος τὴν πρωταγκάλιασε καὶ τὸ φιλὶ τῆς

εὐνῇ καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ εὐεργὸς εἶναι.
ἔῃσιν.
εἰρώτα δὴ ἔπειτα τίς εἴη καὶ πόθεν ἔλθοι·
ἡ δὲ μάλ᾽ αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
"ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι,
κούρη δ᾽ εἶμ᾽ Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
ἀλλά μ᾽ ἀνήρπαξαν Τάφιοι ληΐστορες ἄνδρες
ἀγρόθεν ἐρχομένην, πέρασαν δέ τε δεῦρ᾽ ἀγαγόντες
τοῦδ᾽ ἀνδρὸς πρὸς δώμαθ᾽· ὁ δ᾽ ἄξιον ὦνον ἔδωκε."
"τὴν δ᾽ αὖτε προσέειπεν ἀνήρ, ὃς ἐμίσγετο λάθρῃ·
᾽ἦ ῥά κε νῦν πάλιν αὖτις ἄμ᾽ ἡμῖν οἴκαδ᾽ ἔποιο,
ὄφρα ἴδῃ πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
αὐτούς τ᾽; ἦ γὰρ ἔτ᾽ εἰσὶ καὶ ἀφνειοὶ καλέονται.᾽
"τὸν δ᾽ αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
᾽εἴη κεν καὶ τοῦτ᾽, εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
ὅρκῳ πιστωθῆναι ἀπήμονά μ᾽ οἴκαδ᾽ ἀπάξειν.᾽
"ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπώμνυον ὡς ἐκέλευεν.
αὐτὰρ ἐπεί ῥ᾽ ὅμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
τοῖς δ᾽ αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
"σιγῇ νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῇ,
ἤ που ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα

πῆρε,
ποὺ τὴ γυναίκα ξεπλανάει ὅσο καλή κι ἂν
Καὶ τήνε ρώταγε ὕστερα ποιά νά 'ταν κι ἀποποῦθε·
κι ἐκείνη ἀμέσως τοῦ 'δειξε τὸν πύργο τοῦ γονιοῦ μου·
"Ἀπ' τὴν πολύχαλκη ἔρχουμαι Σιδώνα, κι εἶμαι κόρη
τοῦ Ἀρύβαντα, ποὺ ὁ πύργος του βιὸς ἤτανε γεμάτος·
μὰ ἐμένα κλέφτες Ταφινοὶ μὲ βρῆκαν καὶ μ' ἁρπάξαν
ἐρχάμενη ἀπ' τὴν ἐξοχὴ, καὶ πέρα ἐκεῖ μὲ φέραν,
στοῦ ἀνθρώπου αὐτοῦ τ' ἀρχοντικό, κι ἀγόρασέ με ἐκεῖνος."
Κι ὁ ἄντρας ποὺ τῆς ἔδωσε κρυφὸ φιλὶ τῆς κρένει·
"Δὲν ἔρχεσαι στὸν τόπο σου μαζί μας τώρα πίσω,
νὰ ξαναδῆς τὸ σπίτι σου, τὸν κύρη, τὴ μανούλα ;
τὶ ζοῦν ἀκόμα, καὶ μὲ βιὸς πολὺ τοὺς λογαριάζουν. "
Κι ἐκείνη τότες μίλησε κι ἀπάντησε του κι εἶπε·
" Κι αὐτὸ θὰ γίνη ἃ δέχεστε νὰ μ' ὁρκιστῆτε, ὦ ναῦτες,
πὼς ἄβλαβη στὸν τόπο μου πίσω θενὰ μὲ πᾶτε. "
Αὐτὰ εἶπε, κι ὅλοι ὁρκίστηκαν καθὼς ζητοῦσε ἐκείνη.
Κι οἱ ναῦτες σὰν ἀμώσανε καὶ τέλειωσαν τὸν ὅρκο,
πάλε τοὺς ξαναμίλησε καὶ τοὺς ξανάειπε ἐκείνη·
" Σωπᾶτε τώρα· καὶ κανεὶς ἀπ' ὅλους τοὺς συντρόφους
ἂς μὴ μιλάη σὰ μ' ἀπαντάη στὸ δρόμο ἢ καὶ στὴ βρύση,
μὴν πάη κανένας καὶ τὰ πῆ τοῦ γέρου στὸ

γέροντι
ἐλθὼν ἐξείπῃ, ὁ δ᾽ ὀϊσάμενος καταδήσῃ
δεσμῷ ἐν ἀργαλέῳ, ὑμῖν δ᾽ ἐπιφράσσετ᾽ ὄλεθρον.
ἀλλ᾽ ἔχετ᾽ ἐν φρεσὶ μῦθον, ἐπείγετε δ᾽ ὦνον ὁδαίων.
ἀλλ᾽ ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ᾽ ἰκέσθω·
οἴσω γὰρ καὶ χρυσόν, ὅτις χ᾽ ὑποχείριος ἔλθῃ·
καὶ δέ κεν ἄλλ᾽ ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην.
παῖδα γὰρ ἀνδρὸς ἑῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
τόν κεν ἄγοιμ᾽ ἐπὶ νηός, ὁ δ᾽ ὑμῖν μυρίον ὦνον
ἄλφοι, ὅπῃ περάσητε κατ᾽ ἀλλοθρόους ἀνθρώπους."
"ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πρὸς δώματα καλά,
οἱ δ᾽ ἐνιαυτὸν ἅπαντα παρ᾽ ἡμῖν αὖθι μένοντες
ἐν νηΐ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο.
ἀλλ᾽ ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
καὶ τότ᾽ ἄρ᾽ ἄγγελον ἦκαν, ὃς ἀγγείλειε γυναικί.
ἦλυθ᾽ ἀνὴρ πολύϊδρις ἐμοῦ πρὸς δώματα πατρὸς
χρύσεον ὅρμον ἔχων, μετὰ δ᾽ ἠλέκτροισιν ἔερτο.
τὸν μὲν ἄρ᾽ ἐν μεγάρῳ δμῳαὶ καὶ πότνια μήτηρ
χερσίν τ᾽ ἀμφαφόωντο καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
ὦνον ὑπισχόμεναι· ὁ δὲ τῇ κατένευσε σιωπῇ.

παλάτι,
καὶ νιώση, καὶ σὲ φοβερὰ μέσα δεσμὰ μὲ ρίξη,
φέρη ξολοθρεμὸ κι ἐσᾶς· μόνε στὸ νοῦ φυλᾶτε
τὸ μυστικό, καὶ γλήγορα ψουνίστε τὴν πραμάτεια·
καὶ σὰ γεμίση βιὸς πολὺ τὸ μελανὸ καράβι,
στὸν πύργο ἂς μοῦ 'ρθη μήνυμα, κι ἐγὼ σᾶς φέρνω τότες
κι ἀπὸ χρυσάφι ὅσο μπορεῖ στὰ χέρια μου νὰ πέση.
Μὰ κι ἄλλο θὰ σὰς πλέρωνα μὲ τὴν καρδιά μου ναῦλο.
Ἐγώ 'χω τοῦ ἀρχοντόπουλου τὴν ἔννοια στὸ παλάτι·
ξυπνὸ παιδάκι, ποὺ ὅπου βγῶ κι αὐτὸ μαζί μου τρέχει
ἂ σᾶς τὸ φέρω, ἀρίθμητα θένα σᾶς δώση κέρδη,
ὅπου τὸ πᾶτε, ἀνάμεσα σὲ ἀλλόγλωσσους ἀνθρώπους. ″
Σὰν εἶπε αὐτὰ, ξεκίνησε πρὸς τὰ λαμπρὰ παλάτια.

Ὅλο τὸ χρόνο μείνανε στὰ μέρη μας ἐκεῖνοι,
μὲ βιὸς πολὺ γεμίζοντας τὸ βαθουλὸ καράβι.
Μὰ σὰν τὸ καλοφόρτωσαν κι ἦταν καιρὸς νὰ σύρουν,
στείλανε τότες μήνυσαν τῆς ὄμορφης γυναίκας.
Κι ἦρθε ἄνθρωπος πολύξερος στὸν πύργο τοῦ γονιοῦ μου,
ποὺ εἶχε ἀλυσίδα μάλαμα πλεκτὴ μὲ κεχριμπάρι,
κι ἡ μάνα ἡ πολυσέβαστη κι οἱ παρακόρες ὅλες
τὴν ἔψαχναν τὴν κοίταζαν ζητώντας ν' ἀγοράσουν.
Τῆς κρυφογνέφει τότε αὐτὸς καὶ φεύγει στὸ καράβι,

ἦ τοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει,
ἡ δ᾽ ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε.
εὗρε δ᾽ ἐνὶ προδόμῳ ἠμὲν δέπα ἠδὲ τραπέζας
ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ᾽ ἀμφεπένοντο.
οἱ μὲν ἄρ᾽ ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν,
ἡ δ᾽ αἶψα τρί᾽ ἄλεισα κατακρύψασ᾽ ὑπὸ κόλπῳ
ἔκφερεν· αὐτὰρ ἐγὼν ἐπόμην ἀεσιφροσύνῃσι.
δύσετό τ᾽ ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡμεῖς δ᾽ ἐς λιμένα κλυτὸν �shλθομεν ὦκα κιόντες,
ἔνθ᾽ ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
οἱ μὲν ἔπειτ᾽ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
ἀλλ᾽ ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
τὴν μὲν ἔπειτα γυναῖκα βάλ᾽ Ἄρτεμις ἰοχέαιρα,
ἄντλῳ δ᾽ ἐνδούπησε πεσοῦσ᾽ ὡς εἰναλίη κήξ.
καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ·
τοὺς δ᾽ Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,
ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον

Ἀπὸ τὸ χέρι παίρνει με κι ὄξω μὲ βγάζει ἐκείνη,
καὶ βρίσκει μὲς στὸ πρόσπιτο ποτήρια καὶ τραπέζια,
τὶ ἐκεῖ σὰν καλοφάγανε τοῦ γέρου καλεσμένοι,
κινήσανε στὴ συντυχιὰ τοῦ δήμου νὰ καθίσουν.

Παίρνει καὶ κρύβει γλήγορα στὸν κόρφο τρία ποτήρια,

καὶ βγαίνει· ἀστόχαστα κι ἐγὼ κατόπι ἀκολουθοῦσα.
Κι ὁ ἥλιος σὰ βασίλευε κι ἀπόσκιωναν οἱ δρόμοι,
τρεχάτοι κατεβήκαμε στὸν ὅμορφο λιμιώνα,
ποὺ τὸ γοργὸ περίμενε καράβι τῶ Φοινίκων.
Μᾶς πήρανε καὶ μπήκανε καὶ τράβηξαν πελάγου,
καὶ πρύμο ἔστελν' ἄνεμο τοῦ Κρόνου ὁ γιὸς ὁ Δίας.
Ἑξάμερο ἀρμενίζαμε νύχτα καὶ μέρα τὸ ἴδιο,
μὰ ὅταν ὁ Δίας ἔφερε τὴν ἕβδομη τὴ μέρα,
μιὰ σαϊτιὰ τῆς Ἄρτεμης βαραίνει τὴ γυναίκα,
κι αὐτὴ βροντώντας ἔπεσε στοῦ καραβιοῦ τ' ἀμπάρι,

καθὼς μέσα στὴ θάλασσα βουτάει τὸ βουτηστάρι.
Τὴ ρίξανε ξεφάντωμα στὶς φῶκες καὶ στὰ ψάρια,
καὶ μοναχός μου ἀπόμεινα μὲ τὴν καρδιὰ θλιμμένη.
Στὸ Θιάκι ἐδῶ τοὺς ἔφεραν οἱ θάλασσες κι οἱ ἀνέμοι,
καὶ μὲ τὰ πλούτια ποὺ ὅριζε μ' ἀγόρασε ὁ Λαέρτης.
Ἔτσι τὰ μάτια μου τὴ γῆς αὐτὴ

ὀφθαλμοῖσι."
τὸν δ' αὖ διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
"Εὔμαι', ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυμῷ.
ἀλλ' ἦ τοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε
Ζεύς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο πολλὰ μογήσας
ἠπίου, ὅς δή τοι παρέχει βρῶσίν τε πόσιν τε
ἐνδυκέως, ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἐγώ γε
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος ἐνθάδ' ἱκάνω."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
καδδραθέτην δ' οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
αἶψα γὰρ Ἠὼς ἦλθεν ἐύθρονος. οἱ δ' ἐπὶ χέρσου
Τηλεμάχου ἕταροι λύον ἱστία, κὰδ δ' ἕλον ἱστὸν
καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
δεῖπνόν τ' ἐντύνοντο κερῶντό τε αἴθοπα οἶνον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
"ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν,
αὐτὰρ ἐγὼν ἀγροὺς ἐπιείσομαι ἠδὲ βοτῆρας·

πρωτογνωρίσαν."
Καὶ τότε ὁ διογέννητος τοῦ ἀπάντησε Ὀδυσσέας·
"Πολὺ βαθιὰ τὴν ἄγγιξες, ὦ φίλε, τὴν καρδιά μου,
ἕνα πρὸς ἕνα λέγοντας τὰ πάθια τῆς ψυχῆς σου.
Ὅμως μαζὶ μὲ τὸ κακὸ σοῦ 'δωκ' ἐσένα ὁ Δίας
καὶ τὸ καλό· πολλά 'παθες, μὰ νά, ποὺ βρῆκες ἄντρα
καλό, ποὺ πρόθυμα νὰ τρῶς σοῦ δίνει καὶ νὰ πίνης,
καὶ καλοζῆς· μὰ ἐγὼ πολλὲς μὲς στὰ πλανέματά μου
χῶρες ἀνθρώπων πέρασα, καὶ τώρα ἐδῶ ξεπέφτω."
Τέτοια μιλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσο τους,
κι ὕστερα πλάγιασαν· πολὺ δὲ μεῖναν πλαγιασμένοι,
τὶ γλήγορα γλυκόφεξε ἡ χρυσόθρονη ἡ Αὐγούλα.
Ὡς τόσο τοῦ Τηλέμαχου στ' ἀκρόγιαλο οἱ συντρόφοι
γοργὰ ξελῦναν τὰ σκοινιὰ καὶ βγάζαν τὸ κατάρτι,
καὶ στ' ἄραγμα σὰ φέρανε μὲ τὰ κουπιὰ τὸ πλοῖο,
φουντάρανε τὴν ἄγκουρα, καὶ δέσαν τὶς πρυμάτσες.
Κατόπι βγῆκαν κι ἴδιοι τους στῆς θάλασσας τὴν ἄκρη,
φαΐ τοιμάσαν κι ἔσμιξαν τὸ φλογερὸ κρασί τους.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σᾶ φράνθηκε ἡ καρδιά τους,
ὁ γνωστικὸς Τηλέμαχος μ' αὐτὰ τὰ λόγια ἀρχίζει·
"Τώρα στὴ χώρα φέρτε ἐσεῖς τὸ μαῦρο μας καράβι,
κι ἐγὼ πρὸς τὰ χωράφια μου καὶ τοὺς βοσκοὺς πηγαίνω,

ἐσπέριος δ᾽ εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι.
ἠῶθεν δέ κεν ὔμμιν ὁδοιπόριον παραθείμην,
δαῖτ᾽ ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο."
τὸν δ᾽ αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
"πῆ γὰρ ἐγώ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ᾽ ἵκωμαι
ἀνδρῶν οἳ κραναὴν ᾽Ιθάκην κάτα κοιρανέουσιν;
ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο;"
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ἄλλως μέν σ᾽ ἂν ἐγώ γε καὶ ἡμέτερόνδε κελοίμην
ἔρχεσθ᾽· οὐ γάρ τι ξενίων ποθή· ἀλλὰ σοὶ αὐτῷ
χεῖρον, ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ᾽ ἐνὶ οἴκῳ
φαίνεται, ἀλλ᾽ ἀπὸ τῶν ὑπερῴῳ ἱστὸν ὑφαίνει.
ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι ὅν κεν ἵκοιο,
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν,
τὸν νῦν ἴσα θεῷ ᾽Ιθακήσιοι εἰσορόωσι·
καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ μέμονέν τε μάλιστα
μητέρ᾽ ἐμὴν γαμέειν καὶ Ὀδυσσῆος γέρας ἔξειν.
ἀλλὰ τά γε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
εἴ κέ σφι πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ."
ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος·

καὶ σὰν τὰ δῶ τὰ κτήματα, στὴ χώρα θᾶ κατέβω
τὸ βράδυ· στὸ ξημέρωμα γιὰ πλερωμὴ θὰ στρώσω
τραπέζι μὲ γλυκὸ κρασί, μὲ κρέατα περίσσια.
″
Καὶ τότες ὁ θεόμοιαστος Θεοκλύμενος τοῦ κρένει·
″Καὶ ποῦ νὰ πάω, ὦ γιέ μου, ἐγώ ; σὲ τίνος νά 'ρθω σπίτι
ἀπ' ὅσους ἄντρες κυβερνοῦν τὸ πετρωτὸ τὸ Θιάκι;
Ἢ λὲς νὰ πάω στὴ μάνα σου καὶ στὸ παλάτι σου ἴσια ; ″
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
″ Σ' ἄλλους καιροὺς στὸν πύργο μας θὰ σὲ καλοῦσα νά 'ρθης·
δὲν ἀψηφοῦν τὸν ξένο ἐκεῖ· μὰ γιὰ κακό σου θά 'ναι,
τὶ ἐγὼ θὰ λείπω, καὶ νὰ δῆς τὴ μάνα δὲ θὰ μπόρειες·
στὸν πύργο ἐκείνη τοὺς γαμπροὺς συχνὰ δὲν ἀντικρύζει,
μόνε στ' ἀνώγι κάθεται καὶ τὸ πανὶ της φαίνει.
Σὲ κάποιον ἄλλον θὰ σοῦ πῶ νὰ πᾶς, κι ἐτοῦτος εἶναι
ὁ Εὐρύμαχος, ὁ ὡραῖος γιὸς τοῦ φρόνιμου Πολύβου,
ποὺ σὰ θεὸ τόνε θωροῦν ὅλοι στὸ Θιάκι μέσα·
πρῶτος τους εἶναι, καὶ ζητάει μὲ περισσὴ λαχτάρα
νὰ πάρη καὶ τὴ μάνα μου καὶ τοῦ γονιοῦ τὶς δόξες.
Μὰ αὐτὰ μονάχα ὁ κάτοικος τοῦ Ὀλύμπου, ὁ Δίας, τὰ ξέρει,
ἂν θὰ τοὺς φέρη τὴν κακὴ τὴ μέρα πρὶν τὸ γάμο. ″
Τέτοια καθὼς τοῦ μίλησε, πετάει πουλὶ δεξά του,
τοῦ Ἀπόλλωνα μαντάτορας γοργόφτερος

ἐν δὲ πόδεσσι
τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ χεῦεν ἔραζε
μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.
τὸν δὲ Θεοκλύμενος ἑτάρων ἀπονόσφι καλέσσας
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"Τηλέμαχ᾽, οὔ τοι ἄνευ θεοῦ ἔπτατο δεξιὸς ὄρνις
ἔγνων γάρ μιν ἐσάντα ἰδὼν οἰωνὸν ἐόντα.
ὑμετέρου δ᾽ οὐκ ἔστι γένος βασιλεύτερον ἄλλο
ἐν δήμῳ᾽Ιθάκης, ἀλλ᾽ ὑμεῖς καρτεροὶ αἰεί."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι."
ἦ καὶ Πείραιον προσεφώνεε, πιστὸν ἑταῖρον·
"Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
πείθῃ ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ᾽ ἕποντο·
καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω."
τὸν δ᾽ αὖ Πείραιος δουρικλυτὸς ἀντίον ηὔδα·
"Τηλέμαχ᾽, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοι,
τόνδε τ᾽ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται."
ὣς εἰπὼν ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ᾽ ἑταίρους

πετρίτης·
εἶχε ἀγριοπερίστερο στὰ νύχια καὶ μαδοῦσε,
κι ἀνάμεσα Τηλέμαχου καὶ καραβιοῦ σκορποῦσε
φτερὰ. Κι ὁ Θεοκλύμενος τὸν πῆρε ἀπὸ τοὺς ἄλλους
μακριά, τὸ χέρι τοῦ 'σφιξε, καὶ μίλησε του κι εἶπε·
"Ἀπὸ θεό 'ναι τὸ πουλὶ, Τηλέμαχε, ποὺ φάνη
δεξά σου· τό εἶδα, κι ἔνιωσα πὼς μαντικὸ πουλί 'ναι.
Βασιλικώτερη γενιὰ δὲν ἔχει ἀπ' τὴ δική σας
τὸ Θιάκι, καὶ μεγάλοι ἐσεῖς θὰ ζῆτε ἐδῶ γιὰ πάντα."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Μακάρι αὐτὸς ὁ λόγος σου νὰ βγῆ, καλέ μου ξένε·
ἀγάπες καὶ χαρίσματα πολλὰ θὰ σοῦ 'χα τότες,
ποὺ ὅλοι ἐδῶ θὰ σ' ἔβλεπαν καὶ θὰ σὲ μακαρίζαν."
Καῖ στὸν πιστό του σύντροφο τὸν Πείραιο τότες εἶπε·
"Γιὲ τοῦ Κλυτίου, ποὺ ἀπ' τὰ παιδιὰ ποὺ μ' ἔφεραν στὴν Πύλο,
σὺ πολὺ πιὸ πρόθυμα τὰ λόγια μου ἀγρικοῦσες,
καὶ τώρα τοῦτον πάρε μου στὸ σπίτι σου τὸν ξένο,
καὶ φίλευε καὶ τίμα τον ὁλόψυχα ὡσπου νά 'ρθω."
Κι ὁ ξακουστὸς κονταριστὴς ὁ Πείραιος τοῦ ἀπαντοῦσε·
"Κι ἂν ἔμνησκες πολὺν καιρό, Τηλέμαχε, ἐδῶ πέρα,
καλὰ τὸν ξένο θὰ δεχτῶ, καὶ θά 'χη τὸ ὅ,τι ὁρίζει."
Καὶ στὸ καράβι ἀνέβηκε, καὶ φώναξε τοὺς ἄλλους

αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
Τηλέμαχος δ᾽ ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
νηὸς ἀπ᾽ ἰκριόφιν· τοὶ δὲ πρυμνήσι᾽ ἔλυσαν.
οἱ μὲν ἀνώσαντες πλέον ἐς πόλιν, ὡς ἐκέλευσε
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
τὸν δ᾽ ὦκα προβιβάντα πόδες φέρον, ὄφρ᾽ ἵκετ᾽ αὐλήν,
ἔνθα οἱ ἦσαν ὗες μάλα μυρίαι, ἦῖσι συβώτης
ἐσθλὸς ἐὼν ἐνίαυεν, ἀνάκτεσιν ἥπια εἰδώς,

νὰ λύσουν τὰ πρυμόσκοινα καὶ ν' ἀνεβοῦν κι ἐκεῖνοι.
Καὶ μπῆκαν καὶ καθίσανε στοῦ καραβιοῦ στοὺς πάγκους.
Καὶ φόρεσε ὁ Τηλέμαχος τὰ σάνταλα τὰ ὡραῖα,
καὶ πῆρε ἀπὸ τὸ κάσαρο βασταγερὸ κοντάρι
μὲ μύτη χάλκινη· κι αὐτοὶ ξελῦσαν τὶς πρυμάτσες·
κινῆσαν καὶ τραβούσανε κατὰ τὴ χώρα τότες,
καθὼς τοὺς εἶπε ὁ ἀκριβογιὸς τοῦ θεϊκοῦ Ὀδυσσέα.
Κι αὐτὸς γοργὰ περπάτηξε ὥσπου ἦρθε στὴν αὐλή του,
ποὺ ἤτανε χοῖροι ἀρίθμητοι δικοί του, καὶ σιμά τους
ξενύχτας ὁ χοιροβοσκὸς ποὺ ἀγάπαε τοὺς ἀφέντες.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία π

Τηλεμάχου ἀναγνωρισμὸς Ὀδυσσέως.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

τὼ δ᾽ αὖτ᾽ ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
ἐντύνοντο ἄριστον ἅμ᾽ ἠοῖ, κηαμένω πῦρ,
ἔκπεμψάν τε νομῆας ἅμ᾽ ἀγρομένοισι σύεσσι·
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
οὐδ᾽ ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖϊν.
αἶψα δ᾽ ἄρ᾽ Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·

Καὶ στὸ καλύβι ὁ πάγκαλος βοσκὸς μὲ τὸ Δυσσέα,
ἀνάψαν τὴν αὐγὴ φωτιὰ καὶ τὸ φαὶ τοιμάζαν,
καὶ στεῖλαν ὄξω τοὺς πιστοὺς μαζὶ μὲ τὰ κοπάδια.
Κι οἱ σκύλοι στὸν Τηλέμαχο ποὺ ἐρχόταν, τὴν οὐρά τους
σαλεῦαν καὶ δὲ γαύγιζαν· τοὺς νιώθει ὁ Ὀδυσσέας,
ἀκούει τὸ ποδοβολητό, καὶ λέει εὐτὺς τοῦ γέρου·

"Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος
ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω."

οὔ πω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης,
ἐκ δ' ἄρα οἱ χειρῶν πέσον ἄγγεα, τοῖς ἐπονεῖτο,
κιρνὰς αἴθοπα οἶνον. ὁ δ' ἀντίος ἦλθεν ἄνακτος,

κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζῃ
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
μοῦνον τηλύγετον, τῷ ἔπ' ἄλγεα πολλὰ μογήσῃ,
ὡς τότε Τηλέμαχον θεοειδέα δῖος ὑφορβὸς
πάντα κύσεν περιφύς, ὡς ἐκ θανάτοιο φυγόντα·
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
"ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηΐ Πύλονδε.
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας,
ἀλλ' ἐπιδημεύεις· ὡς γάρ νύ τοι

"Κάποιος ἐδῶ θὰ σοῦ 'ρχεται, καλέ μου, σύντροφός σου,
ἢ κι ἄλλος γνώριμος, ἀφοῦ δὲν ἀλυχτοῦνε οἱ σκύλοι,
μόν' ὅλο σειοῦνε τὴν οὐρὰ· καὶ πόδια ἀνθρώπου ἀκούγω."
Τὸ λόγο δὲν ἀπόσωσε, κι ὁ ἀκριβογιός του φάνη,
καὶ στάθηκε στὰ ξώθυρα· ξαφνίζεται ὁ γερούλης,
ἀναπηδάει, καὶ τοῦ 'πεσαν ἀπὸ τὰ χέρια οἱ κοῦπες,
ποὺ τὸ φλογάτο μέσα τους καλόσμιγε κρασί του·
κι ἔτρεξε, βρέθηκε ὀμπροστὰ στὸν ἀκριβό του ἀφέντη,
τοῦ φίλησε τὴν κεφαλή, τὰ δυὸ λαμπρά του μάτια,
τὰ δυό του χέρια, κι ἔχυσε δάκρυο μαργαριτάρι.
Καὶ σὰν ποὺ τρυφερόκαρδος γονιὸς παιδὶ ἀγκαλιάζει,
σὰν ἔρχετ' ἀπ' τᾶ μακρινά, ποὺ ἔλειπε χρόνους δέκα,
κι ἦταν στερνὸ καὶ μοναχό, καὶ τοῦ 'καιγε τὰ σπλάχνα,
ἔτσι ὁ καλὸς χοιροβοσκὸς τὸ θεόμοιαστό του ἀφέντη
στὴν ἀγκαλιά του σφίγγοντας, γλυκὰ τόνε φιλοῦσε,
τὸ χάρο σὰ νὰ ξέφυγε, καὶ τοῦ 'λεγε θρηνώντας·
"Τηλέμαχε, γλυκό μου φῶς, ἦρθες, κι ἐγὼ δὲ θάρριουν
πὼς θὰ σὲ δῶ, σὰν κίνησες στὴν Πύλο μὲ καράβι.
Ἔμπα, παιδάκι μου ἀκριβό, νὰ σὲ χαρῇ ἡ ψυχή μου,
θωρώντας σε ἀπ' τὰ μακρινὰ κοντά μας νιοφερμένο·
τὶ στὴν ξοχὴ δὲν ἔρχεσαι συχνὰ καὶ στοὺς βοσκούς σου,
μόνε στὴ χώρα κάθεσαι, κι αὐτὸ ποθεῖ ἡ

εὖαδε θυμῷ,
ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀΐδηλον ὅμιλον."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα σέ τ' ὀφθαλμοῖσιν ἴδω καὶ μῦθον ἀκούσω,
ἤ μοι ἔτ' ἐν μεγάροις μήτηρ μένει, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ που εὐνὴ
χήτει ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα."
τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
"καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ."
ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος·
αὐτὰρ ὅ γ' εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν.
τῷ δ' ἔδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε φώνησέν τε·
"ἦσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ ὃς καταθήσει."
ὣς φάθ', ὁ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθεν·
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
τοῖσιν δ' αὖ κρειῶν πίνακας παρέθηκε συβώτης

καρδιά σου,
νὰ βλέπης πάντα τοὺς κακοὺς μνηστῆρες μαζεμένους."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησε του κι εἶπε·
"Μετὰ χαρᾶς, κυρούλη μου, γιὰ σένα ἦρθα δῶ πέρα,
νὰ δῶ σε μὲ τὰ μάτια μου, τὸ τί θὰ πῆς ν' ἀκούσω,
στὸν πύργο ἂ μνήσκη ἡ μάνα μου, ἢ κάποιος ἂν τὴν πῆρε
ἀπ' τοὺς ἡρώους, κι ἔμεινε τοῦ Ὀδυσσέα ἡ κλίνη
ἔρμη ἀπὸ στρώματα μαθὲς καὶ καταραχνιασμένη."
Κι ὁ πρῶτος τῶ χοιροβοσκῶν τοῦ λάλησε καὶ τοῦ εἶπε·
"Κάθετ' ἀκόμα ἡ μάνα σου μ' ἀπομονὴ περίσσια
μὲς στ' ἀψηλὰ παλάτια σου, ποὺ μαῦρα μερονύχτια
ἔρχουνται πάντα καὶ περνοῦν, κι αὐτὴ ὅλο χύνει δάκρυα."
Καὶ πῆρε ἀπὸ τὸ χέρι του τὸ χάλκινο κοντάρι·
καὶ μπῆκε αὐτὸς καὶ πέρασε τὸ πέτρινο κατώφλι.
Τότ' ὁ Δυσσέας σηκώνεται, τὸ κάθισμά του δίνει,
μὰ ἐκεῖνος δὲν τὸν ἄφηνε, καὶ τοῦ εἶπε·
"Κάθου, ὦ ξένε,
μέσα στὸ σπίτι μας ἐμεῖς θὰ βροῦμε κι ἄλλον τόπο,
κι ἐδῶ 'ναι κεῖνος ποὺ μπορεῖ νὰ μᾶς τὸν προμηθέψη."

Εἶπε· καὶ ξαναγύρισε καὶ κάθισε ὁ Δυσσέας.
Καὶ στρώνει ὁ Εὔμαιος κλωνιά, ρίχτει προβιὰ ἀποπάνω,
κι ἐκεῖ ὁ ἀγαπημένος γιὸς τοῦ Ὀδυσσέα καθίζει.
Τότες πινάκια κρέατα ψητὰ τοὺς παραθέτει

ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες,
σῖτον δ᾽ ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν,
ἐν δ᾽ ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
αὐτὸς δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
"ἄττα, πόθεν τοι ξεῖνος ὅδ᾽ ἵκετο; πῶς δέ ἑ ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί ἑ πεζὸν ὀΐομαι ἐνθάδ᾽ ἱκέσθαι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ᾽ ἀγορεύσω.
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων,
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τά γε δαίμων.
νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς
ἦλυθ᾽ ἐμὸν πρὸς σταθμόν, ἐγὼ δέ τοι ἐγγυαλίξω·
ἔρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Εὔμαι᾽, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔ πω χερσὶ

ὁ Εὔμαιος ὁ χοιροβοσκός, ποὺ ἀποβραδὶς τοῦ μεῖναν.
Καὶ βιαστικὰ σὰ σώριασε ψωμὶ μὲς στὰ πανέρια,
καὶ γλυκουλὸ καλόσμιξε κρασὶ μὲς στὸ καρδάρι,
πῆγε κι ἀγνάντια κάθισε τοῦ θεϊκοῦ Ὀδυσσέα.
Τὰ χέρια τότες ἄπλωναν στὰ φαγητὰ ὀμπροστά τους.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,
τοῦ ἄξιου μίλησε βοσκοῦ ὁ Τηλέμαχος, καὶ τοῦ εἶπε·
"Κυρούλη, πούθενε ἔρχεται δωπέρα αὐτὸς ὁ ξένος;
οἱ ναῦτες πῶς τὸν φέρανε στὸ Θιάκι; ποιοί παινιένται
πὼς εἶναι ; τί θαρρῶ πεζὸς ἐδῶ δὲ μᾶς ὁρίζει."
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Τὴν πᾶσα ἀλήθεια, τέκνο μου, θ' ἀκούσης ἀπὸ μένα·
ἀπ' τὴν πλατύχωρη κρατάει ἡ φύτρα του τὴν Κρήτη,
καὶ λέει πὼς σὲ πολλὲς θνητῶν πλανήθηκε αὐτὸς χῶρες
γυρνώντας· ἔτσι ἡ μοῖρα του τὸ θέλησε· καὶ τώρα
ἀπὸ καράβι Θεσπρωτῶν πάλε ἔφυγε, καὶ φάνη
μὲς στὸ καλύβι μου· κι ἐγὼ τὸν παραδίνω ἐσένα.
Πρᾶξε ὅπως βούλεσαι καὶ θές· ἱκέτη σου τὸν ἔχεις."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπολογήθη κι εἶπε·
"Ἀλλοίς, καὶ τί καρδιόπονο μοῦ φέρνει αὐτός σου ὁ λόγος·
καὶ πῶς νὰ τὸν ἀποδεχτῶ τὸν ξένο ἐγὼ στὸ σπίτι,
ποὺ νέος ὄντας δύναμη στὸ χέρι μου δὲ

πέποιθα
ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
μητρὶ δ᾽ ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ἢ αὐτοῦ παρ᾽ ἐμοί τε μένῃ καὶ δῶμα κομίζῃ,
εὐνήν τ᾽ αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ᾽ ἕπηται Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσιν.
ἀλλ᾽ ἦ τοὶ τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά,
δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα,
πέμψω δ᾽ ὅππη μιν κραδίη θυμός τε κελεύει.
εἰ δ᾽ ἐθέλεις, σὺ κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
εἵματα δ᾽ ἐνθάδ᾽ ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
ἔδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.
κεῖσε δ᾽ ἂν οὔ μιν ἐγώ γε μετὰ μνηστῆρας ἐῶμι
ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι·
μή μιν κερτομέωσιν, ἐμοὶ δ᾽ ἄχος ἔσσεται αἰνόν.
πρῆξαι δ᾽ ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
ἄνδρα καὶ ἴφθιμον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι."
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
"ὦ φίλ᾽, ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστίν,
ἦ μάλα μευ καταδάπτετ᾽ ἀκούοντος φίλον ἦτορ,

νιώθω,
μπρὸς σ' ἄντρα νὰ διαφεντευτῶ ποὺ θἀ μὲ βρίση πρῶτος·
τῆς μάνας πάλε, μέσα της ὁ νοῦς της ἀναδεύει,
τάχα τὴν κλίνη νὰ ντραπῆ τοῦ ἀντρός της καὶ τὸν κόσμο,
κι ἔτσι μαζί μου μνήσκοντας νὰ κυβερνάη τὸ σπίτι,
γιά ἀπ' τοὺς μνηστῆρες Ἀχαιοὺς ν' ἀκολουθήση ἐκεῖνον,
ποὺ τῆς φανῆ ὁ καλύτερος, καὶ φέρη πλέρια δῶρα.
Ὅμως τὸν ξένο τώρα αὐτόν, στὸ σπίτι σου μιὰς κι ἦρθε,
θὰ τόνε ντύσω μὲ λαμπρὸ χιτώνα καὶ χλαμύδα,
σπαθί μου θά 'χη δίκοπο, καὶ σάνταλα στὰ πόδια,
θὰ τόνε στείλω ὅπου ἡ καρδιὰ κι ὁ νοῦς του ἀποθυμήση.
Κάλλιο ἐσὺ κράτα τον ἂν θὲς ἐδῶ, καὶ φίλεψέ τον,
κι ἐγὼ σοῦ στέλνω τὰ σκουτια καὶ τὶς προμήθειες ὅλες,
νὰ μὴ σᾶς γίνεται ζημιὰ κι ἐσένα καὶ τῶν ἄλλων.
Δὲν τὸν ἀφήνω ἐγὼ νὰ ρθῆ κειπέρα στοὺς μνηστῆρες,
πὄχουνε τόση ἀποκοτιὰ κι ἀδιαντροπιὰ καὶ κάκια·
μὴν τὸν πειράξουν, κι ὕστερα καημὸ πολὺ θὰ τό 'χω.
Στὸν ἄντρα ποὺ χτυπάει πολλούς, μὰ ἂς εἶν' κι ἀντρειωμένος,
δύσκολη ἡ νίκη, τὶ πολὺ πιὸ δυνατοί 'ναι ἐκεῖνοι."
Τότες τοῦ λάλησε ὁ τρανός, πολύπαθος Δυσσέας·
"Φίλε, ποὺ τώρα γίνεται κι ἐγὼ νὰ σοῦ μιλήσω,
πόσο ἡ καρδιά μου σκίζεται, ν' ἀκούγω τὰ ὅσα λέτε,

οἷά φατε μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
ἐν μεγάροις, ἀέκητι σέθεν τοιούτου ἐόντος.
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
ἐχθαίρουσ᾽ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ,
ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
αἴ γάρ ἐγὼν οὕτω νέος εἴην τῷδ᾽ ἐπὶ θυμῷ,
ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος ἠὲ καὶ αὐτός·
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
εἰ δ᾽ αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ᾽ ἐν ἐμοῖσι κατακτάμενος μὲ δάμαζαν,
τεθνάμεν ἢ τάδε γ᾽ αἰὲν ἀεικέα ἔργ᾽ ὁράασθαι,
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά,
καὶ οἶνον διαφυσσόμενον, καὶ σῖτον ἔδοντας
μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος

πὼς ἀνομιὲς σοφίζουνται στοὺς πύργους σου οἱ μνηστῆρες,
μ' ὅλο ποὺ τέτοιος φαίνεσαι λεβέντης. Πές μου τώρα,
νὰ τυραννιέσαι τάχα θές, ἢ σοῦ 'χει ὁ λαός σου μῖσος
μέσα στὸ δῆμο, τὴ φωνὴ κάποιου θεοῦ ἀκλουθώντας ;
Ἢ τάχα φταῖν τ' ἀδέρφια σου, ποὺ αὐτοὶ σὰ σηκωθοῦνε,
καὶ μάχη ἃ γίνη φοβερή, μᾶς φέρνουν πάντα θάρρος.
Ὠχοῦ, καὶ νιὸς ἂν ἤμουνα μὲ τὴν καρδιά μου ἐδαύτη,
ἢ τοῦ λαμπροῦ Ὀδυσσέα γιός, ἢ κι ἴδιος ὁ Ὀδυσσέας
[ἀπὸ τὰ ξένα φτάνοντας, κι ἐλπίδα μένει ἀκόμα],
θά 'θελα ὀχτρὸς νὰ μού 'κοβε τὴν κεφαλή μου ἐμένα,
ἃ δὲν τοὺς ἔφερνα κακὸ μεγάλο ἐκείνους ὅλους,
μὲς στὰ παλάτια μπαίνοντας τοῦ γόνου τοῦ Λαέρτη.
Κι ἂν μὲ τὰ πλήθια τους αὐτοὶ τὸ μοναχὸν ἐμένα
πύργο,
παρὰ νὰ βλέπω ἀδιάκοπα τέτοια ἔργα ντροπιασμένα,
τοὺς ξένους νὰ τοὺς βρίζουνε, μὰ καὶ τὶς παρακόρες
ἀδιάντροπα νὰ σέρνουνε μὲς στὰ λαμπρὰ παλάτια,
κρασὶ περίσσιο νὰ τραβοῦν καὶ τὶς θροφὲς νὰ τρῶνε,
κι ὅλα τοῦ κάκου, ἀνώφελα, γιὰ ἔργο ποὺ δὲ θὰ γίνη."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπολογήθη κι εἶπε·
"Γι' αὐτὰ ὅλα ἐγὼ ξάστερα θὰ σοῦ μιλήσω, ὦ ξένε·
μήτ' ὁ λαὸς γιὰ μένανε δὲν ἔχει μῖσος κι

χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἵσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτε,
μοῦνον δ᾽ αὖτ᾽ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ᾽ ἐν μεγάροισι τεκὼν λίπεν οὐδ᾽ ἀπόνητο.
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἵσ᾽ ἐνὶ οἴκῳ.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ᾽ ὅσσοι κραναὴν ᾽Ιθάκην κάτα κοιρανέουσι,
τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ᾽ ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἄττα, σὺ δ᾽ ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ
εἴφ᾽ ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴῃ ἀπαγγείλας· τῶν δ᾽ ἄλλων μή τις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται."

ἔχτρα,
καὶ μήτ' ἀδέρφια δὲ μοῦ φταῖν, ποὺ αὐτοὶ σὰ σηκωθοῦνε,
καὶ μάχη ἃ γίνη φοβερή, μᾶς φέρνουν πάντα θάρρος.
Νά, πῶς ὁ Δίας μᾶς ἔκαμε μονόκληρο τὸ γένος·
μοναχογιὸ τὸν γέννησε ὁ Ἀρκείσιος τὸ Λαέρτη·
τὸν Ὀδυσσέα μοναχογιὸ τὸν εἶχε κι ὁ Λαέρτης·
καὶ πάλε ὁ Ὀδυσσέας ἐμὲ μοναχοπαίδι μὲ εἶχε,
καὶ στὸ παλάτι μ' ἄφησε, καὶ δὲ μὲ καλοχάρη.
Καὶ τώρα ὀχτροὶ κακόβουλοι μᾶς γέμισαν τὸ σπίτι·
γιατὶ ὅσοι γύρω στὰ νησιὰ πρωτοστατοῦν ἀρχόντοι,
Δουλίχι, Σάμη, Ζάκυθο μὲ τὰ δασὰ τὰ δέντρα,
κι ὅσοι στὸ βραχορίζωτο τὸ Θιάκι ἐδῶ ἀρχοντεύουν,
ὅλοι ζητοῦν τὴν μάνα μου καὶ μοῦ χαλνοῦν τὸ βιός μου.
Κι ἐκείνη μήτε ἀρνιέται τους γάμο φριχτό, καὶ μήτε
τέλος νὰ δώση δύνεται· κι ὁλοένα αὐτοὶ τὸ σπίτι
μοῦ καταλοῦνε· γλήγορα κι ἐμένα θὰ μὲ φᾶνε.
Στὰ χέρια ὡς τόσο τῶν θεῶν ἂς μείνουν ὅλα ἐτοῦτα·
τρέξε, κυρούλη, τώρα ἐσύ, καὶ πὲς τῆς Πηνελόπης
τῆς φρόνιμης, πὼς ἔφτασα γερὸς ἀπὸ τήν Πύλο.
᾽Εγὼ θὰ μείνω ἐδῶ, κι ἐσὺ τὸ μήνυμα σὰ δώσης
μόνο σ' αὐτή, γύρισε ἐδῶ· ὅμως Ἀχαιὸς κανένας
νὰ μὴν τὸ μάθη, τὶ πολλοὶ γυρεύουν τὸ κακό μου."

τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἦ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρῳ, ὃς τῆος μὲν Ὀδυσσῆος μέγ᾽ ἀχεύων
ἔργα τ᾽ ἐποπτεύεσκε μετὰ δμώων τ᾽ ἐνὶ οἴκῳ
πῖνε καὶ ἤσθ᾽, ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ γε ᾤχεο νηὶ Πύλονδε,
οὔ πω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ᾽ ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ᾽ ἀμφ᾽ ὀστεόφι χρώς."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ἄλγιον, ἀλλ᾽ ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ·
εἰ γὰρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ᾽ ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ᾽ ἀγροὺς
πλάζεσθαι μετ᾽ ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
κρύβδην· κείνη γὰρ κεν ἀπαγγείλειε γέροντι."
ἦ ῥα καὶ ὦρσε συφορβόν· ὁ δ᾽ εἵλετο χερσὶ πέδιλα,
δησάμενος δ᾽ ὑπὸ ποσσὶ πόλινδ᾽ ἴεν. οὐδ᾽ ἄρ᾽ Ἀθήνην
λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος

Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Ξέρω καὶ νιώθω· τό 'χα ἐγὼ στὸ νοῦ μου ὅ,τι προστάζεις.
Μὰ πές μου πάλε ξάστερα καὶ ξήγα μου κι ἐτοῦτο·
νὰ πάω μαθὲς μαντάτορας ἂν πρέπη καὶ τοῦ Λαέρτη
τοῦ δόλιου, ποὺ τὸν ἔτρωγε τοῦ γιοῦ του ὡς τώρα ὁ πόνος,
κι ὡς τόσο κοίταε χτήματα, τρωγόπινε στὸ σπίτι
μὲ παραγιοὺς κάθε φορὰ πού τό 'θελε ἡ καρδιά του·
μὰ τώρα ποὺ ὡς τὴν Πύλο ἐσὺ μὲ τὸ καράβι βγῆκες,
δὲν τρώγει μήτε πίνει πιά, μήτε κοιτάζει χτῆμα,
μόν' κάθεται καὶ δέρνεται καὶ βριανάστενάζει,
καὶ λυώνουν ὅλο οἱ σάρκες του στὰ κόκκαλά του γύρω."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπολογήθη κι εἶπε·
"Κι ὅμως θὰ τὸν ἀφήσουμε, κι ἂς θλίβεται ἡ ψυχή μας·
ἂν ἦταν ὅλα στῶν θνητῶν τὸ χέρι, πρῶτα πρῶτα
γιὰ τὸ γονιὸ θὰ ὁρίζαμε τοῦ γυρισμοῦ τὴ μέρα.
Μὰ κάλλιο γύρνα ἐδῶ σὰν πῆς τὸ μήνυμα τῆς μάνας,
καὶ μὴν πλανιέσαι σὲ ξοχὲς γιὰ νὰ τὸν ἀνταμώσης·
πὲς μοναχὰ τῆς μάνας μου νὰ στείλη παρακόρη
κρυφὰ στὸ γέρο γλήγορα, τὸ μήνυμα νὰ δώση."
Σηκώθη τότε ὁ Εὔμαιος, τὰ σάνταλά τοῦ πῆρε,
στὰ πόδια τὰ καλόδεσε, καὶ κίνησε στὴ χώρα.
Τῆς Ἀθηνᾶς δὲν ξέφυγεν ὁ πηγαιμός του ὡς

ὑφορβός,
ἀλλ᾽ ἥ γε σχεδὸν ἦλθε· δέμας δ᾽ ἤϊκτο γυναικὶ
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργα ἰδυίῃ.
στῆ δὲ κατ᾽ ἀντίθυρον κλισίης Ὀδυσῆϊ φανεῖσα·
οὐδ᾽ ἄρα Τηλέμαχος ἴδεν ἀντίον οὐδ᾽ ἐνόησεν,
οὐ γὰρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς,
ἀλλ᾽ Ὀδυσεύς τε κύνες τε ἴδον, καί ῥ᾽ οὐχ ὑλάοντο
κνυζηθμῷ δ᾽ ἐτέρωσε διὰ σταθμοῖο φόβηθεν.
ἡ δ᾽ ἄρ᾽ ἐπ᾽ ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεύς,
ἐκ δ᾽ ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
στῆ δὲ πάροιθ᾽ αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ.
ἤδη νῦν σῷ παιδὶ ἔπος φάο μηδ᾽ ἐπίκευθε,
ὡς ἄν μνηστῆρσιν θάνατον καὶ κῆρ᾽ ἀραρόντε
ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ᾽ ἐγὼ αὐτὴ
δηρὸν ἀπὸ σφῶϊν ἔσομαι μεμαυῖα μάχεσθαι."
ἦ καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ᾽ Ἀθήνη.
φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς ἠδὲ χιτῶνα
θῆκ᾽ ἀμφὶ στήθεσσι, δέμας δ᾽ ὤφελλε καὶ ἥβην.
ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν,
κυάνεαι δ᾽ ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
ἡ μὲν ἄρ᾽ ὣς ἔρξασα πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς

τόσο,
μόνε κατέβη ἡ θέαινα, πῆρε μορφὴ γυναίκας
ὥριας καὶ μεγαλόκορμης, σ' ἔργα λαμπρὰ τεχνίτρας,
ἔξω ἀπ' τὴ θύρα στάθηκε, καὶ φάνη τοῦ Ὀδυσσέα.

Δὲν ἔνιωσε ὁ Τηλέμαχος μήτε εἶδε τὴν Παλλάδα,
τὶ θεὸς δὲ φανερώνεται καθάρια στὸν καθένα·
μὰ ὁ Δυσσέας τὴν ξάνοιξε καὶ τὰ σκυλιὰ τὴν εἶδαν,
καὶ δίχως γαύγισμα ἔφυγαν βογγώντας μὲς στὰ βάθια
τῆς στάνης. Τοῦ 'γνεψε ἡ θεά, κι ἔνιωσ' αὐτὸς καὶ βγῆκε
δίπλα στὸν τοῖχο τῆς αὐλῆς, καὶ στάθηκε ὀμπροστά της·
κι ἡ Ἀθηνᾶ κοιτώντας τον τοῦ μίλησε καὶ του εἶπε·
“Διογέννητε τοῦ Λαέρτη γιέ, πολύτεχνε Ὀδυσσέα,
ὅλα πιὰ τώρα ξήγα τα τοῦ γιοῦ σου, μὴν τὰ κρύβης·
κι ἅμα τοιμάσετε μαζὶ τὸ φόνο τῶ μνηστήρων,
στὴ χώρα τὴν περίλαμπρη νὰ πᾶτε· δὲ θ' ἀργήσω
κι ἐγὼ νὰ ἐρθῶ, ποὺ λαχταρῶ ν' ἀγωνιστῶ κοντά σας”.
Εἶπε, καὶ μὲ χρυσὸ ραβδὶ τὸν ἄγγιξε ἡ Παλλάδα
καὶ φόρεμα σὰν τοῦ 'βαλε καθάριο καὶ χιτώνα,
τοῦ λάμπρυνε ὅλο τὸ κορμὶ μὲ τὸν ἀνθὸ τῆς νιότης.
Μελαχρινὸς ξανάγινε μὲ πιὸ γεμάτην ὄψη,
καὶ μὲ τὰ γένια ὁλόμαυρα τριγύρω στὸ πηγούνι.
Αὐτὰ σὰν τοῦ 'καμε ἡ θεά, τὸν ἄφησε· κι ἐκεῖνος
μὲς στὴν καλύβα γύρισε· κι ὁ γιός του

ἦϊεν ἐς κλισίην· θάμβησε δέ μιν φίλος υἱός,
ταρβήσας δ᾽ ἐτέρωσε βάλ᾽ ὄμματα, μὴ θεὸς εἴη,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν,
ἄλλα δὲ εἵματ᾽ ἔχεις, καί τοι χρὼς οὐκέθ᾽ ὁμοῖος.
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἀλλ᾽ ἵληθ᾽, ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ᾽ ἡμέων"
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
"οὔ τίς τοι θεός εἰμι· τί μ᾽ ἀθανάτοισιν ἐΐσκεις;
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στεναχίζων
πάσχεις ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν."
ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ δὲ παρειῶν
δάκρυον ἧκε χαμᾶζε· πάρος δ᾽ ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ᾽, οὐ γάρ πω ἐπείθετο ὃν πατέρ᾽ εἶναι,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
"οὐ σύ γ᾽ Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός, ἀλλά με δαίμων
θέλγει, ὄφρ᾽ ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
ᾧ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη νέον ἠὲ γέροντα.
ἦ γάρ τοι νέον ἦσθα γέρων καὶ

σαστισμένος,
γύρναε τὰ μάτια κατ' ἀλλοῦ, θεὸς μὴν τύχη κι ἦταν.

Καὶ φώναξέ τον, κι εἶπε του με λόγια φτερωμένα·

"Ἀλλιώτικος μοῦ φάνηκες, ὦ ξένε, ἀπὸ τὰ πρῶτα·
ἄλλα φορεῖς κι ἡ ὄψη σου κι αὐτὴ ἀλλαγμένη τώρα.
Ἕνας θένα 'σαι ἀπ' τοὺς θεοὺς ποὺ κατοικοῦν τὰ οὐράνια.
Ἐλέησέ μας, σοῦ τάζουμε καλόδεχτες θυσίες,
καὶ δῶρα χρυσοδούλευτα· προσπέφτω σου, λυπήσου".

Τότες τοῦ ἀπάντησε ὁ τρανός, πολύπαθος Δυσσέας·
"Θεὸς δὲν εἶμ' ἐγώ· γιατὶ μὲ θεοὺς μὲ παρομοιάζεις;
παρὰ εἶμ' ἐγὼ πατέρας σου, ποὺ ἐσὺ γι' αὐτὸν πονώντας
τόσα τραβᾶς ἀπὸ κακοὺς καὶ δύστροπους ἀνθρώπους."

Μ' αὐτὰ τὰ λόγια φίλησε τὸ γιό του, καὶ τὰ δάκρυα
τοῦ τρέξαν ἀπ' τὰ μάγουλα, ποὺ ὡς τότες τὰ κρατοῦσε.
Δὲν ἤθελε ὁ Τηλέμαχος νὰ τὸ πιστέψη ἀκόμα
πὼς ἦταν ὁ πατέρας του, κι αὐτὰ τοῦ ἀπολογήθη·

"Δὲν εἶσ' ἐσὺ ὁ πατέρας μου ὁ Ὀδυσσέας, μόν' εἶσαι
κάποιος θεὸς καὶ μὲ πλανᾶς, γιὰ νὰ τραβήξω κι ἄλλα·
τὶ δὲ θὰ μπόρειε αὐτὰ θνητὸς νὰ πλάση μοναχός του,
δίχως νὰ ἐρθῆ κάποιος θεὸς σιμά, κι ὅπως τοῦ ἀρέσει,
τὸν κάμη γέρο ἔτσι εὔκολα, κι ἄξαφνα πάλε νέο.
Τὶ ὡς τώρα γέρος ἤσουνα καὶ φτωχικὰ

ἀεικέα ἕσσο·
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν
εὐρὺν ἔχουσι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη
πολύμητις Ὀδυσσεύς·
"Τηλέμαχ᾽, οὔ σε ἔοικε φίλον πατέρ
ἔνδον ἐόντα
οὔτε τι θαυμάζειν περιώσιον οὔτ᾽
ἀγάασθαι·
οὐ μὲν γάρ τοι ἔτ᾽ ἄλλος ἐλεύσεται
ἐνθάδ᾽ Ὀδυσσεύς,
ἀλλ᾽ ὅδ᾽ ἐγὼ τοιόσδε, παθὼν κακά,
πολλὰ δ᾽ ἀληθείς,
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα
γαῖαν.
αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης
ἀγελείης,
ἥ τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέλει,
δύναται γὰρ,
ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον,
ἄλλοτε δ᾽ αὖτε
ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροῒ εἵματ᾽
ἔχοντι.
ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν
ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ
κακῶσαι."
ὣς ἄρα φωνήσας κατ᾽ ἄρ᾽ ἕζετο,
Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ᾽ ἐσθλὸν ὀδύρετο,
δάκρυα λείβων,
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ᾽ ἵμερος
ὦρτο γόοιο·
κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ᾽
οἰωνοί,
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἵσί
τε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ
γενέσθαι·
ὣς ἄρα τοί γ᾽ ἐλεεινὸν ὑπ᾽ ὀφρύσι
δάκρυον εἶβον.
καί νύ κ᾽ ὀδυρομένοισιν ἔδυ φάος
ἠελίοιο,

ντυμένος,
καὶ τώρα μοιάζεις τοὺς θεοὺς ποὺ κατοικοῦν
τὰ οὐράνια."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος ἀπάντησέ
του κι εἶπε·
"Κι ἂν τάχα ξαναφάνηκε, Τηλέμαχε, ὁ
γονιός σου,
δὲ σοῦ ταιριάζει ν' ἀπορῇς καὶ νὰ θαμάζῃς
τόσο·
ἄλλος πιὰ ἐδῶ κατόπι μου δὲν ἔρχεται
Ὀδυσσέας·
ἐγώ 'μαι αὐτός, κι ἀφοῦ πολὺ πλανήθηκα
στὰ ξένα,
τώρα στὰ χρόνια τὰ εἴκοσι γυρίζω στὴν
πατρίδα.
Εἶναι κι αὐτὸ τῆς Ἀθηνᾶς τῆς νικηφόρας
ἔργο,
ποὺ ὅπως θελήση δύνεται νὰ κάνῃ με νὰ
μοιάζω,
πότε φτωχὸς καὶ ταπεινός, καὶ πότε πάλε
νέος,
μὲ τὸ κορμί μου ἀρχοντικὰ φορέματα
ντυμένο.
Κι εἶν' εὔκολο γιὰ τοὺς θεοὺς ποὺ κατοικοῦν
τὰ οὐράνια,
ἢ νὰ δοξάσουν ἄνθρωπο θνητό, ἢ νὰ
ταπεινώσουν."
Εἶπε, καὶ κάθισε· κι ὁ γιὸς στὴν ἀγκαλιά
του πῆρε
τὸ δοξαστὸ πατέρα του μὲ θρήνους καὶ μὲ
δάκρυα.
Τότες κι οἱ δυὸ ξεβούρκωσαν, καὶ δυνατὰ
στριγγλίζαν,
κι ἀπ' ὄρνια ξεφωνίζοντας πιὸ ἀψὰ κι ἀπὸ
σπαράχτες
ἀγιοῦπες ἢ θαλασσαϊτούς, ποὺ πῆραν τὰ
μικρά τους,
ἀκόμα πρὶ φτερώσουνε, τῆς ἐξοχῆς οἱ
ἀργάτες·
τόσο πικρὰ ἀπ' τὰ βλέφαρα τὰ δάκρυα τους
χυνόνταν.
Κι ὁ γήλιος θὰ βασίλευε, κι ἀκόμα αὐτοὶ θὰ
κλαῖγαν,

εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ᾽ αἶψα·
"ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
ἤγαγον εἰς ᾽Ιθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ᾽ ἱκέσθαι."
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
"τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Φαίηκές μ᾽ ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
καί μ᾽ εὕδοντ᾽ ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰς ᾽Ιθάκην, ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ᾽ ὑφαντήν.
καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ᾽ ἰκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ᾽ ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ᾽ εἰδέω ὅσσοι τε καὶ οἵ τινες ἀνέρες εἰσί·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
φράσσομαι, ἦ κεν νῶϊ δυνησόμεθ᾽ ἀντιφέρεσθαι
μούνω ἄνευθ᾽ ἄλλων, ἦ καὶ διζησόμεθ᾽ ἄλλους."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ὦ πάτερ, ἦ τοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
χεῖράς τ᾽ αἰχμητὴν ἔμεναι καὶ

ἂν ἄξαφνα ὁ Τηλέμαχος τὸν Ὀδυσσέα δὲ ρώτα·
"Μὲ τί καράβι φάνηκες ὡς τόσο ἐδῶ, πατέρα;
κι οἱ ναῦτες ποὺ σὲ φέρανε ποιοί λέγανε πὼς ἦταν ;
Γιατὶ πεζὸς ἐσὺ θαρρῶ δὲν ἦρθες ὡς τὸ Θιάκι."
Κι ἀπολογήθη του ὁ τρανός, πολύπαθος Δυσσέας·
"Ὅλη ἀπ' ἐμένα, τέκνο μου, θ' ἀκούσης τὴν ἀλήθεια.
Μὲ φέραν ἐδῶ Φαίακες θαλασσοξακουσμένοι,
ποὺ κάθε ξένον προβοδοῦν ποὺ φτάση στὸ νησί τους·
μὲ τὸ γοργὸ καράβι τους, καθὼς γλυκοκοιμόμουν,
ἦρθαν στὸ Θιάκι, μ' ἔβγαλαν, καὶ μὲ λαμπρὰ μ' ἀφῆκαν
δῶρα, χρυσὰ καὶ χάλκινα, καὶ μὲ φαντὰ περίσσια·
ὅλα κρυμμένα σὲ σπηλιὰ μὲ θεϊκιὰ βοήθεια.
Τώρα ἦρθα ἐδῶ, τῆς Ἀθηνᾶς τὰ λόγια ἀκολουθώντας,
μαζὶ νὰ κανονίσουμε τὸ φόνο τῶν ὀχτρῶ μας.
Καὶ τοὺς μνηστῆρας ἔλα ἐσύ, κι ἕνα πρὸς ἕνα πές μου,
νὰ μάθω πόσοι εἶν' ὅλοι τους, καὶ ποιός εἶν' ὁ καθένας·
καὶ μέσα στὸν ἀλάθευτο θὰ μελετήσω νοῦ μου,
ἂν ἐμεῖς σώνουμε μαζὶ μ' ἐκείνους νὰ πιαστοῦμε
δίχως βοηθοὺς καὶ μοναχοί, γιά κι ἄλλους θὰ χρειαστοῦμε."
Κι ὁ γνωστικὸς Τηλέμαχος τοῦ ἀπάντησε καὶ του εἶπε·
"Πατέρα, πάντα τ' ἄκουγα τὸ δοξαστὸ ὄνομά σου,
πόσο στὸ χέρι μαχητής, στὸ νοῦ μεγάλος

ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ᾽ ἔχει· οὐδέ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ᾽ οὔτ᾽ ἂρ δεκὰς ἀτρεκὲς οὔτε δύ᾽ οἷαι,
ἀλλὰ πολὺ πλέονες· τάχα δ᾽ εἴσεαι ἐνθάδ᾽ ἀριθμόν.
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ᾽ αὐτῆς ᾽Ιθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ᾽ ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών.
ἀλλὰ σύ γ᾽, εἰ δύνασαί τιν᾽ ἀμύντορα μερμηρίξαι,
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ."
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
"τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
καὶ φράσαι ἤ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ
ἀρκέσει, ἦέ τιν᾽ ἄλλον ἀμύντορα μερμηρίξω."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ἐσθλώ τοι τούτω γ᾽ ἐπαμύντορε, τοὺς ἀγορεύεις,

ἤσουν·
ὅμως αὐτὸς ὁ λόγος σου τὰ φρένα μου σαστίζει·
πῶς δυὸ νομάτοι θὰ πιαστοῦν μὲ τόσους ἀντρειωμένους ;
Κι αὐτοὶ δὲν εἶναι μήτε μιὰ μήτε καὶ δυὸ δεκάδες,
μόνε πολὺ περσότεροι· θὰ μάθης τώρα πόσοι.
Ἀπὸ Δουλίχι πρόβαλαν πενήντα δυὸ μνηστῆρες,
νέοι ἕνας κι ἕνας, καὶ μ' αὐτοὺς δοῦλοι ἓξ ἀκολουθᾶνε·
ἔχουμ' εἰκοσιτέσσερεις λεβέντες ἀπὸ Σάμη.
Ἀπὸ τή Ζάκυθο εἴκοσι παιδιὰ Ἀχαιῶν μᾶς ἦρθαν,
κι ἀπὸ τὸ Θιάκι δώδεκα μετροῦμε παλληκάρια.
Εἶναι μ' αὐτοὺς κι ὁ Μέδοντας, ὁ κήρυκας καὶ θεῖος
τραγουδιστής, μὲ δυὸ μαζὶ παράξιους μοιραστάδες.
Σ' ὅλους αὐτοὺς ἂν πέσουμε σὰ βρίσκουνται ἐκεῖ μέσα,
φοβᾶμαι, μὴ μᾶς βγῆ πικρὴ καὶ μαύρη ἡ γδίκιωσή μας.
Μόνε στοχάσου ἂ δύνεσαι νὰ βρῆς στὸ νοῦ σου μέσα
διαφεντευτὴ ποὺ πρόθυμα βοήθεια θὰ μᾶς φέρη."
Κι ἀπάντησε ὁ πολύπαθος, ὁ θεῖος Ὀδυσσέας·
"Ἄκου τί λέω, καὶ πρόσεξε, καὶ σκέψου ἂν ἡ βοήθεια
τῆς Ἀθηνᾶς καὶ τοῦ θεϊκοῦ πατέρα της μᾶς σώνει,
ἢ κι ἄλλονε διαφεντευτὴ πρέπει νὰ ψάξω νά 'βρω."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπολογήθη κι εἶπε·
"Μεγάλοι ἀλήθεια εἶναι κι οἱ δυὸ βοηθοὶ ποὺ μοῦ ὀνομάζεις

ὕψι περ ἐν νεφέεσσι καθημένῳ· ὥ τε καὶ ἄλλοις
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσι."
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
"οὐ μέν τοι κείνῳ γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἄμ᾽ ἠοῖ φαινομένηφιν
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι.
εἰ δέ μ᾽ ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
ἦν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσι βάλλωσι· σὺ δ᾽ εἰσορόων ἀνέχεσθαι.
ἀλλ᾽ ἦ τοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔ τι
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θῇσιν Ἀθήνη,
νεύσω μέν τοι ἐγὼ κεφαλῇ, σὺ δ᾽ ἔπειτα νοήσας
ὅσσα τοι ἐν μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται
ἐς μυχὸν ὑψηλοῦ θαλάμου

τὶ θρονιασμένοι στ' ἀψηλὰ τὰ σύννεφα κι οἱ δυό τους,
θεοὺς μαζὶ κι ἀθάνατους στὸν κόσμο ἐξουσιάζουν."

Κι ἀπάντησε ὁ πολύπαθος, ὁ θεῖος Ὀδυσσέας·
"Δὲ θέν' ἀργήσουν νὰ βρεθοῦν κι οἱ δυὸ στὴ μαύρη ἀμάχη,
ἅμα τοῦ Ἄρη ἡ μάνητα κι ἐμᾶς καὶ τοὺς μνηστῆρες

μᾶς συνεπάρη. Ὡς τόσο ἐσύ, καθὼς γλυκοχαράξη,
τρέξε, καὶ τοὺς περήφανους ζύγωσ' ἐκεῖ μνηστῆρες·
κατόπι ἐμένανε ὁ βοσκὸς στὴ χώρα θὰ μὲ φέρη,
μὲ κακορίζικου μορφὴ καὶ γέρου διακονιάρη.
Κι ἀνίσως μοῦ κακοφερθοῦν ἐκεῖνοι στὸ παλάτι,
κράτα τὸν πόνο μέσα σου τὰ πάθια μου θωρώντας·
μὰ κι ἂ μὲ ποδοσέρνουνε στὴ θύρα, καὶ σαγίτες
μοῦ ρίχτουν, στέκου ἀτάραγος ἐσὺ κι ἀπόμενέ τα·
καὶ μόνε λέγε τους γλυκὰ τὴν τρέλλα τους νὰ πάψουν·
ἀγκαλὰ αὐτοὶ δὲ θὰ σ' ἀκοῦν, τὶ ἡ ὥρα τους ἀγγίζει.

[Κι ἄλλο ἕνα πρᾶμα θὰ σοῦ πῶ, κι ἔχε το ἐσὺ στὸ νοῦ σου·
ἡ Ἀθηνᾶ ἡ πολύβουλη σὰ μὲ φωτίση, τότες
θὰ γνέψω μὲ τὴν κεφαλή, καὶ τότ' ἐσὺ θὰ νιώσης,
κι ὅσα ἄρματα μᾶς βρίσκουνται στὸν πύργο θὰ μαζέψης,

καὶ μὲς στὰ βάθια τοῦ ἀψηλοῦ θαλάμου θὰ

καταθεῖναι ἀείρας
πάντα μάλ᾽· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
"ἐκ καπνοῦ κατέθηκ᾽, ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ᾽ ἀϋτμή.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος."
"νῶϊν δ᾽ οἵοισιν δύο φάσγανα καὶ δύο δοῦρε
καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ᾽ ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἰ ἐτεόν γ᾽ ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
μή τις ἔπειτ᾽ Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος,
μήτ᾽ οὖν Λαέρτης ἵστω τό γε μήτε συβώτης
μήτε τις οἰκήων μήτ᾽ αὐτὴ Πηνελόπεια,
ἀλλ᾽ οἶοι σύ τ᾽ ἐγώ τε γυναικῶν γνώομεν ἰθύν·
καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
ἠμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῷ,

τὰ θέσης·
κι ὅταν ἐκεῖνοι, θέλοντας νὰ ξέρουν, σὲ ρωτᾶνε,
ἐσὺ μὲ λόγια μαλακὰ γλυκαποκοίμιζέ τους,
καὶ λέγε τους· "Ἀπ' τὸν καπνὸ τὰ πῆρα, τὶ δὲν εἶναι
σὰν ποὺ ὁ Ὀδυσσέας τ' ἄφησε μισεύοντας στὴν Τροία,

μόνε ἡ ἀχνίλα τῆς φωτιᾶς τὰ θόλωσε ἀπὸ τότες.
Μὰ κι ἄλλο μεγαλύτερο βάζει στὸ νοῦ μου ὁ Δίας·
μὴν τύχη καὶ σὲ μάλωμα σᾶς ρίξη τὸ μεθύσι,
καὶ χτυπηθῆτε, κι ἀτιμιὰ στὴν προξενιά σας φέρτε·
γιατὶ μονάχο του τραβάει τὸ σίδερο τὸν ἄντρα."

Ὅμως ν' ἀφήσης ἕτοιμους δυὸ λάζους, δυὸ κοντάρια,
κι ἀσπίδες δυό, ποὺ βιαστικὰ ν' ἀδράξουμε στὰ χέρια,
κι ὁ Δίας μὲ τὴν Ἀθηνᾶ θὰ τοὺς μαγέψουν τότες.]

Μὰ κι ἄλλο τώρα θὰ σοῦ πῶ κι ἐσὺ ἔχε το στὸ νοῦ σου·
παιδί μου ἀλήθεια ἂν εἶσαι ἐσύ, κι ἀπὸ δικό μας αἷμα,
κανένας νὰ μὴ μάθη ἐκεῖ πὼς ἦρθε ὁ Ὀδυσσέας.
Λαέρτης καὶ χοιροβοσκὸς μὴν τύχη καὶ τ' ἀκούσουν·
μήτε κανένας τοῦ σπιτιοῦ, καὶ μήτε ἡ Πηνελόπη,
παρὰ μονάχοι ἐμεῖς οἱ δυὸ νὰ μάθουμε τὶς γνῶμες
τῶ γυναικῶν, καὶ δοκιμὴ νὰ κάνουμε στοὺς ἄντρες,
ποιός ἀπ' τοὺς δούλους μᾶς τιμάει, κι ἀκόμα μᾶς φοβᾶται,

ἠδ᾽ ὅτις οὐκ ἀλέγει, σὲ δ᾽ ἀτιμᾷ τοῖον ἐόντα."
τὸν δ᾽ ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός
"ὦ πάτερ, ἦ τοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ᾽, οἵῳ,
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ᾽ ἔχουσιν·
ἀλλ᾽ οὔ τοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι οἵῳ
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοὶ δ᾽ ἐν μεγάροισιν ἥκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον οὐδ᾽ ἔπι φειδώ.
ἀλλ᾽ ἦ τοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
αἵ τέ σ᾽ ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσιν·
ἀνδρῶν δ᾽ οὐκ ἂν ἐγώ γε κατὰ σταθμοὺς ἐθέλοιμι
ἡμέας πειράζειν, ἀλλ᾽ ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἡ δ᾽ ἄρ᾽ ἔπειτ᾽ Ἰθάκηνδε κατήγετο νηῦς εὐεργής,
ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους.
οἱ δ᾽ ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
νῆα μὲν οἵ γε μέλαιναν ἐπ᾽ ἠπείροιο ἔρυσσαν,
τεύχεα δέ σφ᾽ ἀπένεικαν ὑπέρθυμοι θεράποντες,
αὐτίκα δ᾽ ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς

καὶ ποιὸς ξεχνᾶ μας κι ἀψηφάει λεβέντη σὰν κι ἐσένα."
Καὶ τότες ὁ μυριόχαρος τοῦ ἀπολογήθη γιός του·
"Πατέρα, ἀργότερα θαρρῶ θὰ νιώσης τὴν ψυχή μου,
καὶ πὼς δὲν ἔχω θένα βρῆς τὰ λογικά μου κούφια·
μὰ αὐτὸ ποὺ τώρα μελετᾶς δὲν τό 'χω γιὰ καλό μας.
Στοχάσου το· πολὺν καιρὸ θὰ χάσης ἂν καθέναν
νὰ δοκιμάσης ξέχωρα στὰ χτήματα γυρίζης·
κι αὐτοὶ στὸ μεταξὺ θὰ τρῶν τὸ βιὸς μὲς στὰ παλάτια,
ἀναπαμένοι, ἀδιάντροποι, καὶ δίχως νὰ λυποῦνται.
Καλό 'ναι ἀλήθεια νὰ κοιτᾶς νὰ μάθης τὶς γυναῖκες,
ποιές ἄτιμα σοῦ φέρνουνται καὶ ποιές δὲν ἔχουν κρῖμα·
μὰ νὰ γυρνοῦμε τὶς αὐλὲς νὰ δοκιμάζουμε ἄντρες,
αὐτὸ δὲν τό 'θελα· στερνὰ νὰ γίνουν κάλλιο ἐτοῦτα,
σημάδι ἂν ἔχης φανερὸ τοῦ αἰγιδοφόρου Δία."
Τέτοια αὐτοὶ τότες λέγανε μονάχοι ἀνάμεσό τους·
ὡς τόσο τὸ καλόφτιαστο καράβι ἤρθε στὸ Θιάκι,
ποὺ τὸν Τηλέμαχο ἔφερε καὶ τοὺς συντρόφους ὅλους
ἀπὸ τὴν Πύλο. Μπήκανε στὸ τρίσβαθο λιμάνι,
τραβῆξαν ἔξω στὴ στεριὰ τὸ μελανὸ καράβι,
καὶ τ' ἅρματά τους σήκωσαν καμαρωτοὶ λεβέντες,
καὶ στοῦ Κλυτίου φέρανε τὰ δῶρα τὰ πανώρια.
Κατόπι στεῖλαν κήρυκα στοὺς πύργους τοῦ Ὀδυσσέα,

Ὀδυσῆος,
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
οὕνεκα Τηλέμαχος μὲν ἐπ᾽ ἀγροῦ, νῆα δ᾽ ἀνώγει
ἄστυδ᾽ ἀποπλείειν, ἵνα μὴ δείσασ᾽ ἐνὶ θυμῷ
ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι
τὼ δὲ συναντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς
τῆς αὐτῆς ἕνεκ᾽ ἀγγελίης, ἐρέοντε γυναικί.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκοντο δόμον θείου βασιλῆος,
κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμῳῇσιν ἔειπεν·
"ἤδη τοι, βασίλεια, φίλος πάϊς εἰλήλουθε."
Πηνελοπείη δ᾽ εἶπε συβώτης ἄγχι παραστάς
πάνθ᾽ ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
βῆ ῥ᾽ ἴμεναι μεθ᾽ ὕας, λίπε δ᾽ ἔρκεά τε μέγαρόν τε.
μνηστῆρες δ᾽ ἀκάχοντο κατήφησάν τ᾽ ἐνὶ θυμῷ,
ἐκ δ᾽ ἦλθον μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.
τοῖσιν δ᾽ Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ᾽ ἀγορεύειν·
"ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
ἀλλ᾽ ἄγε νῆα μέλαιναν ἐρύσσομεν ἥ τις ἀρίστη,
ἐς δ᾽ ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα

τὸ μήνυμα τῆς φρόνιμης νὰ φέρη Πηνελόπης,
πὼς πῆγε ὁ γιός της στὴν ξοχή, μὰ ἐκεῖνος εἶχε στείλει
στὴ χώρα τὸ καράβι του, νὰ μὴν τῆς ἔρθη φόβος
τῆς δοξαστῆς βασίλισσας καὶ χύση θερμὰ δάκρυα.
Κι ὁ κήρυκας μὲ τὸ βοσκὸ στὸν πύργο ἀντάμα φτάνουν,
νὰ φέρουν τὸ ἴδιο μήνυμα κι οἱ δυὸ τῆς Πηνελόπης.
Καὶ στὸ λαμπρὸ σὰν μπήκανε τοῦ Ὀδυσσέα παλάτι,
ὁ κήρυκας ἀνάμεσα στὶς παρακόρες εἶπε·
"Ἦρθε ὁ μονάκριβός σου γιός, βασίλισσα, ἀπ' τὴν Πύλο."
Ζυγώνει κι ὁ χοιροβοσκὸς καὶ λέει τῆς Πηνελόπης
ὅλα ὅσα τοῦ παράγγειλε τ' ἀγαπητὸ παιδί της.
Κι ὅλα καθὼς τὰ πρόσταξε σὰν εἶπε ἕνα πρὸς ἕνα,
τοῦ πύργου ἀφήνει τὶς αὐλὲς καὶ ξεκινάει στὴ στάνη.
Καὶ τοὺς μνηστῆρες ἔπιασε βαρειὰ καρδιὰ καὶ λύπη·
καὶ βγῆκαν δίπλα ἀπ' τῆς αὐλῆς τὸν τοῖχο τὸ μεγάλο,
καὶ πήγανε, κι ὁλόμπροστα καθίσανε τῆς θύρας.
Καὶ τότες τοῦ Πολύβου ὁ γιὸς ὁ Εὐρύμαχος τοὺς εἶπε·
"Ἔργο τρανὸ ὁ Τηλέμαχος κατόρθωσε μὲ τόλμη,
τέτοιο ταξίδι,— κι εἴπαμε πὼς δὲ θὰ τὸ τελέση·
τώρα καράβι διαλεχτὸ μὲ λαμνοκόπους ἄξιους
ἂς ρίξουμε, ποὺ ὁλόταχα τὸ μήνυμα νὰ φέρουν

κείνοις ἀγγείλωσι θοῶς οἶκόνδε νέεσθαι."
οὔ πω πᾶν εἴρηθ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντός,
ἱστία τε στέλλοντας ἐρετμά τε χερσὶν ἔχοντας.
ἠδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεεν οἷς ἑτάροισι·
"μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον.
ἦ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι."
ὣς ἔφαθ', οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ θῖνα θαλάσσης,
αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες.
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλον
εἴων οὔτε νέων μεταΐζειν οὔτε γερόντων.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
"ὦ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν.
ἤματα μὲν σκοποὶ ἷζον ἐπ' ἄκριας ἠνεμοέσσας
αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι
οὔ ποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
νηῒ θοῇ πλείοντες ἐμίμνομεν Ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
αὐτόν· τὸν δ' ἄρα τῆος ἀπήγαγεν οἴκαδε δαίμων,
ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα

στοὺς φίλους, νὰ γυρίσουνε γοργὰ στὸ Θιάκι πίσω."
Τὸ λόγο δὲν ἀπόσωνε, κι ὁ Ἀμφίνομος γυρνώντας
τὰ μάτια του πρὸς τὸ βαθιὸ λιμιώνα, εἶδε τὸ πλοῖο
καθὼς μαζώναν τὰ πανιά, καὶ πιάναν τὰ κουπιά τους.
Καὶ ἀπ' τὴν καρδιά του γέλασε, καὶ φώναξε στοὺς ἄλλους·
"Τί θέλουμε τὸ μήνυμα πιὰ τώρα, αὐτοί 'ναι μέσα.
Ἢ κάποιος θεὸς τοὺς φώτισε, ἢ κι εἶδαν τὸ καράβι
ποὺ πέρναε, καὶ δὲν πρόφταξαν νὰ πᾶν καὶ νὰ τὸ πιάσουν."
Εἶπε, κι αὐτοὶ σηκώθηκαν, καὶ στ' ἀκρογιάλι πῆγαν·
καὶ στὴ στερεὰ τραβήξανε τὸ μελανὸ καράβι,
καὶ τ' ἅρματά τους σήκωσαν καμαρωτοὶ λεβέντες.
Κι ὅλοι μαζὶ στὴν ἀγορὰ κινῆσαν, μηδ' ἀφῆναν
ἄλλον ἢ νέο ἢ γέροντα μαζί τους νὰ καθίση.
Καὶ τότες τοῦ Εὐπείθη ὁ γιός ὁ Ἀντίνος, σ' αὐτοὺς εἶπε·

"Ὤχοῦ, πῶς ἀπ' τὸν ὄλεθρο οἱ θεοὶ τόνε γλυτωσαν;
Στὰ βράχια τ' ἀνεμόδαρτα σκοποὶ καθόνταν πάντα,
κι ἀπανωτὰ ξαλλάζανε· καὶ σὰ βουτοῦσε ὁ ἥλιος,
δὲν ξενυχτούσαμε στὴ γῆς, παρὰ μὲ τό καράβι
γυρνούσαμε ὡς τὸ χάραμα, φυλάγοντας καρτέρι
θάνατο στὸν Τηλέμαχο, νὰ πᾶμε πιάνοντάς τον.
Κι ὡς τόσο θεὸς τὸ θέλησε, καὶ γύρισε στὸ Θιάκι.
Μὰ ἐμεῖς ἐδῶ ἂς κοιτάξουμε τὸ τέλος του τό

λυγρὸν ὄλεθρον
Τηλεμάχῳ, μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀΐω
τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε ἔργα.
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε,
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
εἰς ἀγορήν--οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς
οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν οὐδ' ἐκίχημεν·
οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα·
μή τι κακὸν ῥέξωσι καὶ ἡμέας ἐξελάσωσι
γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον·
ἀλλὰ φθέωμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος
ἢ ἐν ὁδῷ· βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,
δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
κείνου μητέρι δοῖμεν ἔχειν ἠδ' ὅστις ὀπυίοι.
εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βόλεσθε
αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
μή οἱ χρήματ' ἔπειτα ἅλις θυμηδέ' ἔδωμεν
ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο ἕκαστος
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ' ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι."

μαῦρο,
μὴ μᾶς ξεφύγῃ· τὶ θαρρῶ πὼς ὅσο ζῇ δὲ βγαίνει
πέρα ἡ δουλειά μας, τὶ καὶ νοῦ καὶ γνώση ἐκεῖνος ἔχει,
κι ἐμᾶς ἀγάπη ὁ λαὸς σὰν πρῶτα δὲ μᾶς ἔχει.
Μόνε βιαστῆτε, πρὶν αὐτὸς σὲ συντυχιὰ καλέση
τοὺς Ἀχαιούς· γιατὶ ἄπραγος, θαρρῶ, δὲ θένα μείνη,
παρὰ μὲ ὀργή θὰ σηκωθῆ καὶ σ' ὅλους θὰ κηρύξη
πὼς σκοτωμὸ τοῦ πλέχναμε, μὰ πρόφταξε καὶ σώθη.
Κι ἄνομα τέτοια ἀκούγοντας ἐκεῖνοι δὲ θὰ στέρξουν,
κι ἴσως μᾶς φέρουνε κακό, κι ἀπ' τὴν πατρίδα ἀκόμα
μᾶς διώξουν, καὶ μᾶς κάμουνε νὰ φύγουμε στὰ ξένα.
Μόνε μακριὰ στὴν ἐξοχή, παρέκει ἀπὸ τὴ χώρα
ἂς τὸν βαρέσουμε ἄξαφνα, γιά καὶ στὸ δρόμο ἀπάνω·
κατόπι μοιραζόμαστε τὸ βιὸς καὶ τὰ καλά του,
καὶ τὰ παλάτια ἀφήνουμε τῆς μάνας του, νὰ τά 'χη
ὅποιος τὴν πάρη ταίρι του. Μὰ ἀνίσως κι ἐσεῖς πάλι
δὲ δέχεστε, καὶ θέτε αὐτὸς νὰ ζῇ καὶ τὰ καλά του
τὰ πατρικὰ νὰ χαίρεται, δῶ πέρα ἂς μὴ ζητοῦμε
νὰ μαζευόμαστε, καὶ βιὸς πολὺ νὰ καταλοῦμε·
μόν' προξενειὰ ἀπ' τὸ σπίτι του καθένας μας ἂς κάνη
μὲ δῶρα του, κι αὐτὴ ἂς δεχτῇ τὸν ἄντρα ποὺ θὰ δώση
τὰ πιότερα καὶ τῆς φανῇ τῆς μοίρας ὁ σταλμένος."

ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε,

Νίσου φαίδιμος υἱός, Ἀρητιάδαο ἄνακτος,
ὅς ῥ' ἐκ Δουλιχίου πολυπύρου, ποιήεντος,
ἡγεῖτο μνηστῆρσι, μάλιστα δὲ Πηνελοπείῃ
ἤνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·

"ὦ φίλοι, οὐκ ἂν ἐγώ γε κατακτείνειν ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλῄϊόν ἐστιν
κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
αὐτός τε κτενέω τούς τ' ἄλλους πάντας ἀνώξω·
εἰ δέ κ' ἀποτρωπῶσι θεοί, παύσασθαι ἄνωγα."
ὣς ἔφατ' Ἀμφίνομος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
αὐτίκ' ἔπειτ' ἀναστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος,
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι θρόνοισιν.
ἡ δ' αὖτ' ἄλλ' ἐνόησε περίφρων Πηνελόπεια,
μνηστήρεσσι φανῆναι ὑπέρβιον ὕβριν ἔχουσι.
πεύθετο γὰρ οὗ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
κῆρυξ γὰρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς.
βῆ δ' ἰέναι μέγαρόνδε σὺν

Αὐτά εἰπε, κι ὅλοι σώπασαν κι ἀμίλητοι ἀπομεῖναν.
Μὰ ἀπάνω ἐκεῖ ὁ Ἀμφίνομος ξαγόρεψέ τους κι εἶπε,
ὁ γιόκας ὁ μυριόχαρος τοῦ ρήγα Νίσου, γόνου
τοῦ Ἀρήτου, ποὺ ἦρθεν ἀρχηγὸς καὶ κάλλιος τῶ μνηστήρων
ἀπ' τὸ Δουλίχι τὸ χλωρό, τὸ σιταροσπαρμένο,
καὶ ποὺ τὰ λόγια του ἄρεσαν τῆς ὥριας Πηνελόπης,
γιατ' εἶχε πάντα στὴν καρδιὰ περίσσια καλωσύνη.
Αὐτὸς λοιπὸν καλόγνωμα ξαγόρεψέ τους κι εἶπε·
"Ὦφίλοι, τὸν Τηλέμαχο ποτὲς δὲ θὰ χαλνοῦσα·
κακό, βασιλικὴ γενιὰ μὲ φονικὸ νὰ σβήσης·
τὴ γνώμη κάλλιο ἂς μάθουμε τῶν ἀθανάτων πρῶτα.
Ἂν εἶναι μὲ τὸ θέλημα τοῦ Δία τοῦ βροντορίχτη,
κι ἴδιος ἐγὼ τόνε χαλνῶ, κι ὅλους τοὺς ἄλλους σπρώχνω·

Μὰ ἂν τὸ μποδίζουνε οἱ θεοί, νὰ πάψετε σᾶς λέγω."
Εἶπε, καὶ σ' ὅλους ἄρεσαν τοῦ Ἀμφίνομου τὰ λόγια.
Κι ἀμέσως σηκωθήκανε καὶ στοῦ Ὀδυσσέα πῆγαν
τὸν πύργο, καὶ καθίσανε πὰς στὰ λαμπρὰ θρονιά του.
Τότες στὸ νοῦ τῆς φρόνιμης τῆς Πηνελόπης ἦρθε
ὀμπρὸς στοὺς παραδιάντροπους νὰ κατεβῆ μνηστῆρες,
γιατὶ ἔμαθε πὼς γύρευαν τὸ τέλος τοῦ παιδιοῦ της,
τὶ ὁ κήρυκας ὁ Μέδοντας ποὺ τ' ἄκουσε τῆς τό 'πε.
Καὶ μὲ τὶς βάγιες συντροφιὰ μὲς στὰ

ἀμφιπόλοισι γυναιξίν.
ἀλλ᾽ ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα,
Ἀντίνοον δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"Ἀντίνο᾽, ὕβριν ἔχων, κακομήχανε, καὶ δέ σέ φασιν
ἐν δήμῳ᾽Ιθάκης μεθ᾽ ὁμήλικας ἔμμεν ἄριστον
βουλῇ καὶ μύθοισι· σὺ δ᾽ οὐκ ἄρα τοῖος ἔησθα.
μάργε, τίη δὲ σὺ Τηλεμάχῳ θάνατόν τε μόρον τε
ῥάπτεις, οὐδ᾽ ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
μάρτυρος; οὐδ᾽ ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.
ἦ οὐκ οἶσθ᾽ ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
δῆμον ὑποδείσας; δὴ γὰρ κεχολώατο λίην,
οὕνεκα ληϊστῆρσιν ἐπισπόμενος Ταφίοισιν
ἤκαχε Θεσπρωτούς· οἱ δ᾽ ἡμῖν ἄρθμιοι ἦσαν·
τόν ῥ᾽ ἔθελον φθῖσαι καὶ ἀπορραῖσαι φίλον ἦτορ
ἠδὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πολλήν·

ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ.
τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάᾳ δὲ γυναῖκα
παῖδά τ᾽ ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις·
ἀλλά σε παύσασθαι κέλομαι καὶ ἀνωγέμεν ἄλλους."

παλάτια μπῆκε.
Κι ἡ ζουλεμένη ἀρχόντισσα σὰν πῆγε στοὺς μνηστῆρες,
σιμὰ στὸ στύλο στάθηκε τῆς δουλεμένης στέγης,
σηκώνοντας στὴν ὄψη της τὸ λιόλαμπρο φακιόλι,
καὶ τὸν Ἀντίνο μάλωσε καὶ μίλησέ του κι εἶπε·
"Ἀντίνο, ἀδιάντροπε, κακέ, ποὺ μὲς στὸ Θιάκι σ' ἔχουν
γιὰ πρῶτο ἀπ' τοὺς ὁμήλικους στὴ γνώση καὶ στὰ λόγια·
μὰ τέτοιος δὲν ἤσουν ἐσύ. Ζουρλέ, πῶς πᾶς καὶ πλέχνεις
τοῦ γιοῦ μου μαῦρο θάνατο, καὶ μήτε καὶ σὲ μέλει
γιὰ τοὺς ἱκέτες πόχουνε τὸ Δία γιὰ μάρτυρά τους;
Μεγάλο κρῖμα εἶναι κακὸ νὰ πλέχνη ὁ ἕνας τοῦ ἄλλου.
Ξεχνᾶς πὼς ὁ πατέρας σου μᾶς ἦρθε ἐδῶ ἱκέτης,
σὰν ἔφευγε ἀπὸ τὸ λαὸ ποὺ χόλιασε μαζί του,
γιατ' εἶχε πάρει συντροφιὰ ληστὲς ἀπὸ τὴν Τάφο,
καὶ χάλασε τοὺς Θεσπρωτοὺς πού 'ταν δικοί μας φίλοι.
Καὶ νὰ τοῦ πάρουν τὴ γλυκειὰ ζωὴ γυρεῦαν τότες,
κι ὅλο τ' ἀρίθμητό του βιὸς ν' ἁρπάξουν καὶ νὰ φᾶνε·
μὰ ὅσο αὐτοὶ κι ἃ μάνιαζαν, τοὺς μπόδισ' ὁ Δυσσέας.
Καὶ τώρα, χωρὶς δίκιο ἐσὺ τοῦ καταλεῖς τὸ σπίτι,
γυρεύεις τὴ γυναίκα του, σκοτώνεις τὸ παιδί του,
κι ἐμένα μὲ λυπεῖς πικρά. Μὰ ἐγὼ σοῦ λέω νὰ πάψης,
νὰ πῆς καὶ τῶ συντρόφω σου νὰ πάψουνε κι ἐκεῖνοι."

τὴν δ᾽ αὖτ᾽ Εὐρύμαχος, Πολύβου πάϊς, ἀντίον ηὔδα·
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
οὐκ ἔσθ᾽ οὗτος ἀνὴρ οὐδ᾽ ἔσσεται οὐδὲ γένηται,
ὅς κεν Τηλεμάχῳ σῷ υἱέϊ χεῖρας ἐποίσει
ζώοντός γ᾽ ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
αἶψά οἱ αἶμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
ἡμετέρῳ, ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος κρέας ὀπτὸν
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
ἀνδρῶν, οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα
ἔκ γε μνηστήρων· θεόθεν δ᾽ οὐκ ἔστ᾽ ἀλέασθαι."
ὣς φάτο θαρσύνων, τῷ δ᾽ ἤρτυεν αὐτὸς ὄλεθρον.
ἡ μὲν ἄρ᾽ εἰσαναβᾶσ᾽ ὑπερῴϊα σιγαλόεντα
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
ἐσπέριος δ᾽ Ὀδυσῆϊ καὶ υἱέϊ δῖος ὑφορβὸς
ἦλυθεν· οἱ δ᾽ ἄρα δόρπον ἐπισταδὸν ὡπλίζοντο,
σῦν ἱερεύσαντες ἐνιαύσιον. αὐτὰρ Ἀθήνη,
ἄγχι παρισταμένη, Λαερτιάδην

Κι ὁ Εὐρύμαχος τῆς ἀπαντάει, ὁ γόνος τοῦ Πολύβου·
"Ὦ Πηνελόπη γνωστικιά, τοῦ Ἰκάριου θυγατέρα,
θάρρος, κι ἂς μὴν τὰ νοιάζεται καθόλου ἐδαῦτα ὁ νοῦς σου.
Δὲν ἦρθε ἀκόμα ἐδῶ στὴ γῆς καὶ μήτε θά 'ρθη ἐκεῖνος
ποὺ χέρι στὸν Τηλέμαχο τὸ γιό σου θένα βάλη,
ὅσο ἐγὼ ζῶ, καὶ βλέπουνε τὰ μάτια μου στὸν κόσμο.
Γιατὶ ἕνα λόγο θὰ σοῦ πῶ, κι ὁ λόγος μου θὰ γίνη·
θὰ τρέξη στὸ κοντάρι μου εὐτὺς τὸ μαῦρο του αἷμα,
τὶ ὁ πολεμόχαρος συχνὰ κι ἐμένανε Ὀδυσσέας
στὰ γόνατά του μ' ἔπαιρνε, καὶ μοῦ 'βαζε στὰ χέρια
κρέας ψημένο καὶ κρασὶ στὰ χείλη πορφυρένιο.
Γι' αὐτὸ καὶ τοῦ Τηλέμαχου περίσσια τοῦ 'χω ἀγάπη,
κι ἀπ' τοὺς μνηστῆρες θάνατο νὰ μὴ φοβᾶται ἐκεῖνος·
μὰ ἂν εἶναι νά 'ρθη ἀπ' τοὺς θεούς, πῶς νὰ σωθῆ δὲν ἔχει."
Μὲ τέτοια τήνε θάρρευε, μὰ φόνο μελετοῦσε.
Κι ἐκείνη μὲς στ' ἀνώγια της τὰ θεόλαμπρα ἀνεβαίνει,
καὶ κλαίει τὸν Ὀδυσσέα της, ὥσπου ἡ γαλανομάτα
θεὰ κατέβασε γλυκὸ στὰ βλέφαρά της ὕπνο.

Καὶ τὸ βραδὺ ὁ καλὸς βοσκὸς στὸν Ὀδυσσέα ξανάρθε,
ποὺ μὲ τὸ γιό του τοίμαζε τὸ δεῖπνο, καὶ θρεφτάρι
κάναν θυσία χρονιάρικο. Κι ἡ Ἀθηνᾶ κατέβη
τότε, καὶ μὲ ραβδὶ τὸ γιὸ βαρώντας τοῦ

Ὀδυσῆα
ῥάβδῳ πεπληγυῖα πάλιν ποίησε γέροντα,
λυγρὰ δὲ εἵματα ἕσσε περὶ χροΐ, μή έ συβώτης
γνοίη ἐσάντα ἰδὼν καὶ ἐχέφρονι Πηνελοπείῃ
ἔλθοι ἀπαγγέλλων μηδὲ φρεσὶν εἰρύσσαιτο.
τὸν καὶ Τηλέμαχος πρότερος πρὸς μῦθον ἔειπεν·
"ἦλθες, δῖ᾽ Εὔμαιε. τί δὴ κλέος ἔστ᾽ ἀνὰ ἄστυ;
ἦ ῥ᾽ ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασιν
ἐκ λόχου, ἦ ἔτι μ᾽ αὖτ᾽ εἰρύαται οἴκαδ᾽ ἰόντα;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι
ἄστυ καταβλώσκοντα· τάχιστά με θυμὸς ἀνώγει
ἀγγελίην εἰπόντα πάλιν δεῦρ᾽ ἀπονέεσθαι.
ὡμήρησε δέ μοι παρ᾽ ἑταίρων ἄγγελος ὠκύς,
κῆρυξ, ὃς δὴ πρῶτος ἔπος σῇ μητρὶ ἔειπεν.
ἄλλο δέ τοι τό γε οἶδα· τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν.
ἤδη ὑπὲρ πόλιος, ὅθι θ᾽ Ἑρμαιος λόφος ἐστίν,
ἦα κιών, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν
ἐς λιμέν᾽ ἡμέτερον· πολλοὶ δ᾽ ἔσαν ἄνδρες ἐν αὐτῇ,
βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισι·
καὶ σφέας ὠΐσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα."
ὣς φάτο, μείδησεν δ᾽ ἱερὴ ἴς Τηλεμάχοιο

Λαέρτη,
τὸν Ὀδυσσέα, τὸν ἔκαμε γέρο ξανὰ σὰν πρῶτα.
Καὶ μὲ φτωχὰ τὸν ἔντυσε φορέματα, μὴν τύχη
καὶ τόνε δῆ ὁ χοιροβοσκὸς καὶ τόνε νιώση ὀμπρός του,
καὶ δὲν τὸ κρύψη, μόν' τὸ πῆ τῆς ὥριας Πηνελόπης.
Καὶ πρῶτος ὁ Τηλέμαχος τοῦ μίλησε καὶ τοῦ 'πε·
"Ἦρθες, καλέ μας· τί ἄκουσες στὴ χώρα νὰ δηγοῦνται ;
Ἀπ' τὸ καρτέρι γύρισαν οἱ θεότρανοι μνηστῆρες,
ἢ ἀκόμα ἐκεῖ μὲ καρτεροῦν στὸ Θιάκι νὰ γυρίσω ;"
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Δὲν ἤθελα νὰ τὰ ρωτῶ καὶ νὰ τὰ μάθω ἐτοῦτα,
στὴ χώρα μέσα τρέχοντας· βιαζόμουνα νὰ δώσω
τὸ μήνυμά μου ὁλόταχα, καὶ πίσω νὰ ξανάρθω.
Καὶ κήρυκας μαντάτορας γοργός, ἀπ' τοὺς συντρόφους
ἔφτασε ἀντάμα, κι ἔδωσε τῆς μάνας λόγο πρῶτος.
Ζέρω κι ἕν' ἄλλο νὰ σᾶς πῶ ποὺ μὲ τὰ μάτια μου εἶδα·
πάνω ἀπ' τὴ χώρα, στὸ βουνὸ τοῦ Ἑρμῆ σὰν εἶχα φτάσει,
καράβι ἀγνάντεψα γοργὸ νὰ μπαίνη στὸ λιμάνι,
γεμάτο μὲ ἄντρες, κι ἤτανε μὲ ἀσπίδες φορτωμένο,
καὶ μὲ κοντάρια δίστομα. Καὶ φάνηκε σὰν νά 'ταν
μνηστῆρες ὅλοι τους αὐτοί, μὰ ἄλλο νὰ πῶ δὲν ξέρω."
Αὐτὰ εἶπε, κι ὁ Τηλέμαχος χαμογελώντας ρίχτει

ἐς πατέρ᾽ ὀφθαλμοῖσιν ἰδών, ἀλέεινε δ᾽ ὑφορβόν.
οἱ δ᾽ ἐπεὶ οὖν παύσαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
κοίτου τε μνήσαντο καὶ ὕπνου δῶρον ἔλοντο.

ματιὰ πρὸς τὸν πατέρα του, κρυφὰ ἀπ' τὸ χοιροτρόφο.
Καὶ τὶς δουλειὲς σὰν τέλειωσαν καὶ τοίμασαν τὸ δεῖπνο,
καθίσανε κι ἀπόλαψαν τοῦ τραπεζιοῦ τὰ δῶρα.
Κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ φράνθηκε ἡ καρδιά τους,
τὴν κλίνη θυμηθήκανε, καὶ χάρηκαν τὸν ὕπνο.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία ρ

Τηλεμάχου ἐπάνοδος πρὸς Ἰθάκην.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
δὴ τότ᾽ ἔπειθ᾽ ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην·
"ἄττ᾽, ἦ τοι μὲν ἐγὼν εἶμ᾽ ἐς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω

Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
κι ὁ πολυαγαπημένος γιὸς τοῦ θεϊκοῦ Ὀδυσσέα
τὰ θεόμορφά του σάνταλα στὰ πόδια του ἀποδένει,
καὶ στὴν παλάμη παίρνοντας τὸ δυνατὸ κοντάρι
στὴ χώρα γιὰ νὰ κατεβῆ, λέει τοῦ χοιροβοσκοῦ του·
“Στὴ χώρα πάω, κυρούλη μου, γιὰ νὰ μὲ δῆ ἡ μανούλα,
τὶ δὲ θὰ πάψη νὰ θρηνῆ καὶ νὰ μοιρολογιέται
ἂ δὲ μὲ δῆ τὸν ἴδιο μου· καί, νὰ τί σοῦ

κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος,
προστάζω·

πρίν γ᾽ αὐτόν με ἴδηται· ἀτὰρ σοί γ᾽ ὧδ᾽ ἐπιτέλλω.

τὸν ξεῖνον δύστηνον ἄγ᾽ ἐς πόλιν, ὄφρ᾽ ἂν ἐκεῖθι
τὸν ξένο αὐτὸ τὸν ἄμοιρο φέρ' τον νὰ διακονεύη

δαῖτα πτωχεύῃ· δώσει δέ οἱ ὅς κ᾽ ἐθέλῃσι
στὴ χώρα· κι ὅποιος θέλει ἐκεῖ καρβέλι καὶ κανάτα

πύρνον καὶ κοτύλην· ἐμὲ δ᾽ οὔ πως ἔστιν ἅπαντας
τοῦ δίνει· ἐγὼ δὲ δύνεμαι, μέσα στὰ πάθια ἐδαῦτα

ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ·
ποὺ ἔχει ἡ ψυχή μου, πόρεψη τοῦ καθενὸς νὰ δίνω.

ὁ ξεῖνος δ᾽ εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ
Κι ὁ ξένος πάλε ἂν πειραχτῆ χειρότερο θὰ τοῦ 'βγη.

ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ᾽ ἀληθέα μυθήσασθαι."
Ἀλήθειες ξάστερες ἐγὼ πάντα νὰ λέω μ' ἀρέσει."

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος ἀπάντησέ του κι εἶπε·

"ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
"Φίλε μου, ἐδῶ δὲν ἤθελα κι ἐγὼ νὰ μὲ κρατήσουν.

πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ᾽ ἀγροὺς
Κάλλιο στὴ χώρα ἡ διακονιά, παρὰ μὲς στὰ χωράφια·

δαῖτα πτωχεύειν· δώσει δέ μοι ὅς κ᾽ ἐθέλῃσιν.
πάντα θὰ δώση ἐκεῖ μικρὴ βοήθεια ὅποιος θελήση.

οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί,
Δὲν εἶναι πιὰ τὰ χρόνια μου στὶς μάντρες γιὰ νὰ μνήσκω,

ὥστ᾽ ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
καὶ προσταγὲς τοῦ ἀφέντη μου σὲ καθετὶς ν' ἀκούγω.

ἀλλ᾽ ἔρχευ· ἐμὲ δ᾽ ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
Μόν' ἄμε ἐσύ, κι ὁ ἄνθρωπος ποὺ πρόσταξες μὲ φέρνει,

αὐτίκ᾽ ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.
σὰ ζεσταθῶ μὲ τὴ φωτιά, καὶ σφίξη τὸ λιοπύρι.

αἰνῶς γὰρ τάδε εἵματ᾽ ἔχω κακά· μή με δαμάσσῃ
Κουρέλια 'ναι τὰ ροῦχα μου, καὶ τῆς αὐγῆς ἡ πάχνη

στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ᾽ εἶναι."
θὰ μὲ παγώση· κι εἴπατε πὼς εἶναι ἀλάργα ἡ χώρα."

ὣς φάτο, Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
Καὶ τράβηξε ὁ Τηλέμαχος ὁλόγοργ' ἀπ' τὴ στάνη,

κραιπνὰ ποσὶ προβιβάς, κακὰ δὲ μνηστῆρσι φύτευεν.
γιὰ τοὺς μνηστῆρες χαλασμὸ στὸ νοῦ του μελετώντας.

αὐτὰρ ἐπεί ῥ᾽ ἵκανε δόμους εὖ ναιετάοντας,
Καὶ κάτου στὸ λαμπρόχτιστο σὰν ἔφτασε παλάτι,

ἔγχος μέν ῥ᾽ ἔστησε φέρων πρὸς
στὸ μακρὺ στύλο ἀκούμπησε τὸ σουβλερὸ

κίονα μακρήν,
αὐτὸς δ᾽ εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν.
τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισι,
δακρύσασα δ᾽ ἔπειτ᾽ ἰθὺς κίεν· ἀμφὶ δ᾽ ἄρ᾽ ἄλλαι
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.

ἡ δ᾽ ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ,
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα,
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
"ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ᾽ ἔτ᾽ ἐγώ γε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηΐ Πύλονδε
λάθρη, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
ἀλλ᾽ ἄγε μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ᾽ ὑδρηναμένη, καθαρὰ χροΐ εἵματ᾽ ἑλοῦσα,
εἰς ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχεο πᾶσι θεοῖσι τελησέμεν ἑκατόμβας

κοντάρι,
καὶ μπῆκε, τὸ κατώφλι του τὸ πέτρινο περνώντας.
Τὸν εἶδε πρώτη καὶ καλὴ ἡ Εὐρύκλεια ἡ παραμάνα,
καθὼς ἀπίθωνε προβιὲς πὰς στὰ θρονιὰ τοῦ πύργου,
καὶ δακρυσμένη ζύγωσε· ὁλόγυρά του κι οἱ ἄλλες
οἱ δοῦλες μαζωχτήκανε τοῦ ἀδάμαστου Ὀδυσσέα,
καὶ τὸν γλυκοφιλούσανε στὴν κεφαλή, στοὺς ὤμους.
Κι ἡ φρόνιμη ἀπ' τὸ θάλαμο προβάλλει ἡ Πηνελόπη,
σὰν Ἄρτεμη πανόμορφη, καὶ σὰ χρυσή Ἀφροδίτη·
μὲ δάκρυα τὸ μονάκριβο παιδί της ἀγκαλιάζει,
φιλώντας τὸ κεφάλι του καὶ τὰ λαμπρά του μάτια,
καὶ μὲ κλαψιάρικη φωνὴ τοῦ μίλησε καῖ τοῦ εἶπε·
"Τηλέμαχε, γλυκό μου φῶς, ἦρθες, κι ἐγὼ δὲ θάρρουν
πὼς θὰ σὲ δῶ σὰν πρύμισες κρυφά μου κι ἄθελά μου
στὴν Πύλο, τοῦ πατέρα σου μαντάτα γιὰ ν' ἀκούσης.
Ὡς τόσο τώρα ὅσ' ἄκουσες κι ὅσα εἶδες, ἔλα πές μου."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησέ της κι εἶπε
"Μὴφέρνης πόνου βούρκωμα μὲς στὴ καρδιά μου, ὦ μάνα,
τώρα ποὺ μόλις ξέφυγα κακὸ καὶ μαῦρο τέλος·
μόνε σὰ λούσης τὸ κορμί, καὶ καθαρὰ τὸ ντύσης,
ἀνέβαινε στ' ἀνώγι σου μὲ τὶς καλές σου βάγιες,
καὶ σ' ὅλους ἑκατοβοδιὲς τοὺς ἀθανάτους τάξε,

ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
αὐτὰρ ἐγὼν ἀγορὴν ἐσελεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ᾽ ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προΐπεμψα σὺν ἀντιθέοις ἑτάροισι,
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω."
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος.
ἡ δ᾽ ὑδρηναμένη, καθαρὰ χροὶ εἵματ᾽ ἑλοῦσα,
εὔχετο πᾶσι θεοῖσι τελησσάμενος ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Τηλέμαχος δ᾽ ἄρ᾽ ἔπειτα διὲκ μεγάροιο βεβήκει
ἔγχος ἔχων· ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
θεσπεσίην δ᾽ ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ᾽ ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο
ἔσθλ᾽ ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
ἀλλ᾽ ἵνα Μέντωρ ἦστο καὶ Ἄντιφος ἠδ᾽ Ἀλιθέρσης,
οἵ τε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
ἔνθα καθέζετ᾽ ἰών· τοὶ δ᾽ ἐξερέεινον ἕκαστα.
τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν·

ἴσως κι ὁ Δίας γδίκιωση γιὰ χάρη μας τελέση.
Ἐγὼ θὰ πάω στὴν ἀγορά, τὸν ξένο νὰ καλέσω,
ποὺ ἦρθε ἀπ' τὴν Πύλο ἀντάμα μου, γιὰ ἐδῶ σὰν ξεκινοῦσα,
καὶ ποὺ μὲ τοὺς ὁμοιόθεους τὸν ἔστειλα συντρόφους
στὸν Πείραιο, παραγγέλνοντας περίσσια νὰ τοῦ δείξη
τιμὴ μέσα στὸ σπίτι του κι ἀγάπη ὥσπου νὰ φτάσω."
Αὐτὰ εἶπε· κι ἔμεινε ἄφτερος στὰ χείλη της ὁ λόγος·
καὶ τὸ κορμί σὰν ἔλουσε καὶ ντύθηκα καθάρια,
πῆγε, ἔταξε ἑκατοβοδιὲς στοὺς ἀθανάτους ὅλους,
ἴσως κι ὁ Δίας γδίκιωση γιὰ χάρη της τελέση.
Βγῆκε ὕστερα ὁ Τηλέμαχος κρατώντας τὸ κοντάρι,
καὶ δυὸ γοργόποδα σκυλιὰ κατόπι ἀκολουθοῦσαν.
Μὲ χάρη τότε ἡ Ἀθηνᾶ θεϊκὴ τὸν περεχοῦσε,
κι ὅλος ὁ κόσμος θάμαζε θωρώντας του τὰ κάλλη.
Τριγύρω του οἱ θεότολμοι μαζεύτηκαν μνηστῆρες,
μὲ ὄμορφα λόγια, καὶ κακοὺς σκοποὺς στὸ λογισμό τους.
Ὅμως αὐτὸς ἀπόφυγε τὸ πλῆθος τους, καὶ πῆγε
κάθισ' ἐκεῖ ποὺ ὁ Μέντορας, ὁ Ἄντιφος κι ὁ Ἀλιθέρσης·
παλιοί του φίλοι πατρικοὶ καθόντουσαν κι ἐκεῖνοι
τόνε ρωτοῦσαν καθετίς. Κι ὁ Πείραιος, ὁ μεγάλος
κι ὁ ξακουστὸς κονταριστής, τὸν ξένο φέρνοντάς του,
ἀπὸ τὴ χώρα πέρασε, στὴν ἀγορὰ κατέβη,

οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ᾽, ἀλλὰ παρέστη.
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπε·
"Τηλέμαχ᾽, αἶψ᾽ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
ὥς τοι δῶρ᾽ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκε."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"Πείραι᾽, οὐ γάρ τ᾽ ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
λάθρη κτείναντες πατρώϊα πάντα δάσωνται,
αὐτὸν ἔχοντά σε βούλομ᾽ ἐπαυρέμεν, ἤ τινα τῶνδε·
εἰ δέ κ᾽ ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων."
ὣς εἰπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
αὐτὰρ ἐπεί ῥ᾽ ἵκοντο δόμους εὖ ναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
ἐς δ᾽ ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
τοὺς δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ᾽ ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας,
ἔκ ῥ᾽ ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι καθῖζον.
χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.

καὶ ζύγωσε. Δὲ στάθηκε ὁ Τηλέμαχος μακριά τους,
μόνε τὸν ξένο σίμωσε. Κι ὁ Πείραιος τότες πρῶτος
τοῦ μίλησε· "Τηλέμαχε, στεῖλε μου εὐτύς γυναῖκες
τὰ δῶρα ποὺ ὁ Μενέλαος σοῦ 'δωσε γιὰ νὰ πάρουν."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησέ του κι εἶπε·
"ΩΠείραιε, δὲ γνωρίζουμε πῶς ὅλ' αὐτὰ θὰ βγοῦνε.
Ἂν οἱ μνηστῆρες μυστικὰ στὸν πύργο μὲ σκοτώσουν,
κι ὅλα κατόπι μοιραστοῦν τὰ πατρικά μου πλούτια,
κάλλιο ἔχε τα τὰ δῶρα ἐσὺ, παρ' ἀπ' αὐτοὺς κανένας·
ἂν πάλε ἐγὼ ξολοθρεμὸ καὶ θάνατο τοὺς δώσω,
τότες τὰ φέρνεις χαίροντας, καὶ χαίροντας τὰ παίρνω."
Εἶπε, καὶ τὸν πολύπαθο ξένο ἔφερε στὸ σπίτι.
Καὶ μέσα στὸ λαμπρόχτιστο σὰν ἔφτασαν παλάτι,
ἀπάνω σ' ἔδρες καὶ θρονιὰ τὶς χλαῖνες ἀποθέσαν,
καὶ μὲς σὲ γοῦρνες σκαλιστὲς καθίσαν καὶ λουστῆκαν.
Κι οἱ δοῦλες σὰν τοὺς ἔλουσαν κι ἀλεῖψαν τους μὲ λάδι,
καὶ τοὺς φορέσανε κρουστὲς χλαμύδες καὶ χιτῶνες,
ἀπ' τὰ λουτρά τους βγήκανε καὶ στὰ θρανιὰ καθίσαν.
Καὶ μπρίκι γιὰ τὸ νίψιμο τοὺς φέρνει τότε ἡ βάγια,
ὥριο, χρυσό, καὶ χύνει τους στὴν ἀργυρὴ λεγένη
γιὰ νὰ πλυθοῦν, καὶ στρώνει τους γυαλιστερὸ τραπέζι.

σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων.
μήτηρ δ᾽ ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο
κλισμῷ κεκλιμένη, λέπτ᾽ ἠλάκατα στρωφῶσα.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον,
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
"Τηλέμαχ᾽, ἦ τοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ᾽ ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ὤχεθ᾽ ἅμ᾽ Ἀτρεΐδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα,
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ γιὰ τοῦ γονιοῦ σου ἂν ἔμαθες τὸ γυρισμὸ
που ἄκουσας."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
ὤχόμεθ᾽ ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ᾽ ἔφασκεν,
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἄκουε.

Σεμνὴ κελάρισσα ἔφερε ψωμὶ καὶ παραθέτει,
κι ἀπὸ τὰ καλοφάγια της τοὺς ἔβαλε περίσσια.
Κι ἀντίκρυ ἡ μάνα του, σιμὰ στοῦ παλατιοῦ τὸ στύλο,
ἀναγερμένη σὲ θρονὶ ψιλόκλωθε μὲ ρόκα.
Κι αὐτοὶ ἅπλωναν τὰ χέρια τους στὰ καλοφάγια ὁμπρός τους.
Κι ἀπὸ πιοτὸ κι ἀπὸ φαΐ σὰ φράνθηκε ἡ καρδιά τους,
ἡ Πηνελόπη ἡ γνωστικιὰ τὸ λόγο πρώτη ἀρχίζει·
"Τηλέμαχε, στ' ἀνώγι ἐγὼ θ' ἀνέβω νὰ πλαγιάσω
στὴν κλίνη ποὺ μὲ στεναγμοὺς καὶ δάκρυα τὴ ραντίζω,
ἀφότου στὸ Ἴλιο κίνησε ὁ Δυσσέας μὲ τοὺς Ἀτρεΐδες·
κι ὅμως ἐσὺ δὲ θὲς νὰ 'ρθῆς καὶ νὰ μοῦ πῆς καθάρια,
μέσα στὸν πύργο πρὶ νὰ μποῦν οἱ θεότολμοι μνηστῆρες,
νόστο σοῦ πατρὸς σάφα εἶπε, εἴ γιὰ τοῦ γονιοῦ σου ἂν ἔμαθες τὸ γυρισμὸ
στὰ ξένα."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησέ της κι εἶπε·
"Τὸ καθετίς, μητέρα μου, θὰ δηγηθῶ μὲ ἀλήθεια,
Στὴν Πύλο καὶ στὸ Νέστορα σὰ φτάσαμε τὸ ρήγα,
μὲς στ' ἀψηλὰ παλάτια του μὲ δέχτηκε μὲ ἀγάπη
καὶ πόνο, σὰν ποὺ δέχεται γονιὸς ἀκριβοπαίδι,
σὰν ἔρχετ' ἀπὸ ξενιτειές, ποὺ ἐκεῖ πλανιόταν χρόνια·
ὅμοια μὲ δέχτηκε κι αὐτὸς κι οἱ ξακουσμένοι γιοί του,
κι ἔλεγε πὼς ἀπὸ ἄνθρωπο δὲν ἄκουσε στὸν κόσμο
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τευὰ ζουσε γιὰ ἂν ἀπέθανε ὁ ἀντρόψυχος

ἀκοῦσαι·
ἀλλά μ᾽ ἐς Ἀτρεΐδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ᾽ ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
εἴρετο δ᾽ αὐτίκ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή με ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
"ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ᾽ ὁπότ᾽ ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ᾽ ἔπειτα ἐὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἴ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ᾽ ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλεΐδῃ ἐπάλαισεν ἀναστάς,
κὰδ δ᾽ ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·

Δυσσέας.
Ὅμως στὸν πόλεμόχαρο Μενέλαο τοῦ Ἀτρέα
μὲ ἀλόγατα καὶ μὲ ἅρματα λαμπρὰ προβόδωσέ με,
κι ἐκεῖ εἶδα τὴν Ἀργίτισσα Ἑλένη, ποὺ γιὰ κείνη
κι οἱ Ἀργῖτες ἔπαθαν πολλὰ δεινὰ, κι οἱ Τρωαδῖτες,
κατὰ τὸ θέλημα τῶν θεῶν. Καὶ τότες ὁ Μενέλαος
μὲ ρώτησε ὁ βροντόφωνος ποιά ἀνάγκη μὲ εἶχε φέρει
στὴν ὥρια Λακεδαίμονα· καὶ τοῦ 'πα τὴν ἀλήθεια.
Κι αὐτὸς ἀπολογήθηκε, κι αὐτὰ τὰ λόγια μοῦ εἶπε·
"Ωχοῦ, σὲ τί παλληκαρᾶ κλινάρι νὰ πλαγιάσουν
τοὺς ἦρθεν ὄρεξη αὐτονοὺς τοὺς ἄναντρους, ἀλήθεια.
Καθὼς μὲς σ' ἄγριου λιονταριοῦ ρουμάνι ἡ ἀλαφίνα,
κοιμίζει βυζαστάρικα νιογέννητα λαφούλια,
καὶ παίρνει τὶς βουνοπλαγιὲς καὶ τὰ χλωρὰ λαγκάδια,
καὶ βόσκει, μὰ ἄξαφνα γυρνάει μὲς στὴ μονιά του ἐκεῖνος,
καὶ φέρνει τέλος φοβερὸ σὲ μάνα καὶ λαφούλια,
ἔτσι κι ὁ Ὀδυσσέας φριχτὰ θὰ τοὺς τελειώση ἐκείνους.
Κι, ὦ Δία Θεέ μου, κι Ἀθηνᾶ, κι Ἀπόλλωνα, ἂν ἐκεῖνος
τοὺς πέση σὰν ποὺ φάνηκε στὴν ὄμορφη τὴ Λέσβο,
ποὺ πρόβαλε καὶ πάλεψε μὲ τὸ Φιλομηλείδη,
καὶ μονομιᾶς τὸν ἔρριξε, κι οἱ Ἀχαιοὶ χαρῆκαν,
ἂν τέτοιος ὁ Ὀδυσσέας ἐρθῆ καὶ πέση στοὺς μνηστῆρες,

πάντες κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ᾽ ἅ μ᾽ εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ᾽ ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ᾽ ἐπικεύσω.
φῆ μιν ὅ γ᾽ ἐν νήσῳ ἰδέειν κρατέρ᾽ ἄλγε᾽ ἔχοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης"
"ὣς ἔφατ᾽ Ἀτρεΐδης, δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ᾽ ὦκα φίλην ἐς πατρίδ᾽ ἔπεμψαν."
ὣς φάτο, τῇ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
"ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἦ τοι ὅ γ᾽ οὐ σάφα οἶδεν, ἐμεῖο δὲ σύνθεο μῦθον·
ἀτρεκέως γάρ σοι μαντεύσομαι οὐδ᾽ ἐπικεύσω·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα
ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ὡς ἦ τοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ,
ἥμενος ἢ ἕρπων, τάδε πευθόμενος γλήγορο θά 'ν' τὸ τέλος τους, κι ὁ γάμος τους φαρμάκι,
Κι αὐτὰ ποὺ τώρα μὲ ρωτᾶς καὶ ποὺ παρακαλεῖς με,
δὲ θὰ τὰ πῶ τριγυριστὰ καὶ δὲ θὰ σὲ γελάσω,
παρὰ ὅσα μοῦ 'πε ὁ ἅλαθος τῆς θάλασσας ὁ γέρος,
τὰ λόγο δὲ θὰ κρύψω.
Τὸν εἶδε, μοῦ 'πε, σὲ νησὶ δάκρυα πολλὰ νὰ χύνη,
στῆς θέαινας τῆς Καλυψῶς, ποὺ δίχως θέλησή του
κρατάει τον, καὶ δὲ δύνεται νὰ δῆ γλυκειὰ πατρίδα·
τὶ μήτε πλοῖα μὲ τὰ κουπιά, μήτε συντρόφους ἔχει,
ποὺ νὰ τὸν πάρουν ἀπ' ἐκεῖ στῆς θάλασσας τὰ πλάτια."
Αὐτά 'πε ὁ πολεμόχαρος Μενέλαος τοῦ Ἀτρέα.
Καὶ τότες πίσω γύρισα, καὶ πρύμο μοῦ χαρίσαν
οἱ ἀθάνατοι, καὶ μ' ἔφερναν στὴν ποθητὴ πατρίδα."
Αὐτὰ εἶπε, καὶ τῆς τάραξε στὰ στήθια τὴν καρδιά της.
Καὶ τότες ὁ θεόμοιαστος Θεοκλύμενος τοὺς εἶπε·
"Γυναίκα πολυσέβαστη τοῦ δοξαστοῦ Ὀδυσσέα,
δὲν τὰ γνωρίζει αὐτὸς σωστά, καὶ κάλλιο ἐμένανε ἄκου,
ποὺ σοῦ μαντεύω ἀλάθευτα, καὶ τίποτις δὲν κρύβω.
Ὁ Δίας νά 'ναι μάρτυρας, τὸ ξενικὸ τραπέζι,
κι ἐτούτη ἡ στιὰ τοῦ θεόλαμπρου Ὀδυσσέα ποὺ μὲ δέχτη,
ἐδῶ 'ναι στὴν πατρίδα του ὁ Δυσσέας, κι ἢ γυρίζει
ἢ κάθεται, καὶ τὶς κακὲς αὐτὲς δουλειὲς μαθαίνει,

κακὰ ἔργα,
ἔστιν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει·
τοῖον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
ἥμενος ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνευν."
τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"αἶ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχοντες.
ἀλλ' ὅτε δὴ δείπνηστος ἔην καὶ ἐπήλυθε μῆλα
πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον οἵ τὸ πάρος περ,
καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
ἥνδανε κηρύκων, καὶ σφιν παρεγίγνετο δαιτί·
"κοῦροι, ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι."
ὣς ἔφαθ', οἱ δ' ἀνστάντες ἔβαν πείθοντό τε μύθῳ.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,

καὶ σ' ὅλους φοβερὰ δεινὰ σκαρώνει τοὺς μνηστῆρες·

εἶδα πουλὶ προφητικὸ στὸ πλοῖο σὰν καθόμουν,
καὶ τότες τοῦ Τηλέμαχου τὰ λάλησα καὶ τὰ εἶπα."
Κι ἡ Πηνελόπη ἡ γνωστικιὰ μ' αὐτὰ τοῦ ἀπολογιέται·
"Μακάρι, ὦ ξένε, ὁ λόγος σου νὰ βγῆ καθὼς τὸν εἶπες·
μαζὶ μὲ τὴν ἀγάπη μου θὰ σοῦ 'δινα καὶ δῶρα
τόσο πολλά, π' ὅσοι ἔβλεπαν θένα σὲ μακαρίζαν."
Τέτοια λαλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσό τους·
καὶ στοῦ Ὀδυσσέα κατάμπροστα οἱ μνηστῆρες τὰ παλάτια
δισκοβολώντας γλέντιζαν καὶ ρίχνοντας κοντάρια
σὲ γῆς στρωτή, ποὺ ἀδιάντροπα ἐκεῖ πάντα μαζευόνταν.
Μὰ πρὸς τὸ γιόμα, ποὺ ἔφταναν ὁλοῦθε ἀπ' τὰ χωράφια
τὰ πρόβατα κι οἱ πιστικοὶ τὰ φέρνανε σὰν πάντα,
τοὺς εἶπε τότε ὁ Μέδοντας, ὁ κήρυκας ποὺ ἀπ' ὅλους
τοὺς ἄρεσε νὰ κάθεται μαζί τους στὸ τραπέζι·
"Τώρα, παιδιά, ποὺ φράνθηκε μὲ τὸν ἀγώνα ὁ νοῦς σας
νὰ τοιμαστῆτε γιὰ φαγὶ μὲς στὸ παλάτι ἐλᾶτε,
τ' εἶναι καλὸ στὴν ὥρα του νὰ γίνη τὸ τραπέζι."
Εἶπε, κι αὐτοὶ τὸν ἄκουσαν, καὶ σηκωθῆκαν, πῆγαν.
Καὶ μέσα στὰ λαμπρόχτιστα σὰν μπήκανε παλάτια,
ἀπάνω σ' ἔδρες καὶ θρονιὰ τὶς χλαῖνες ἀπιθῶσαν,

οἱ δ᾽ ἱέρευον ὅϊς μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
δαῖτ᾽ ἐντυνόμενοι. τοὶ δ᾽ ἐξ ἀγροῖο πόλινδε
ὠτρύνοντ᾽ Ὀδυσεύς τ᾽ ἰέναι καὶ δῖος ὑφορβός.
τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
"ξεῖν᾽, ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ᾽ ἰέναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός--ἦ σ᾽ ἂν ἐγώ γε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δέ τ᾽ ἀνάκτων εἰσὶν ὁμοκλαί--
ἀλλ᾽ ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
ἀλλ᾽ ἴομεν, σὺ δ᾽ ἔπειτα διαμπερὲς ἡγεμόνευε.
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστίν,
σκηρίπτεσθ᾽, ἐπεὶ ἦ φατ᾽ ἀρισφαλέ᾽ ἔμμεναι οὐδόν."
ἦ ῥα καὶ ἀμφ᾽ ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ·
Εὔμαιος δ᾽ ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκε.
τὼ βήτην, σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
ῥύατ᾽ ὄπισθε μένοντες· ὁ δ᾽ ἐς πόλιν

κι ἔσφαξαν πρόβατα τρανὰ, καλοθρεμμένα γίδια,
θρεφτάρια χοίρους, καὶ παχὺ δαμάλι γιὰ νὰ φᾶνε.
Ὡς τόσο ἀπὸ τὴν ἐξοχὴ στὴ χώρα ὁ Ὀδυσσέας
μὲ τὸν καλόκαρδο Εὔμαιο νὰ σύρη τοιμαζόταν.
Κι ὁ πρῶτος τῶ χοιροβοσκῶν μίλησε τότε κι εἶπε·
"Ξένε, ποὺ τώρα λαχταρᾶς στὴ χώρα νὰ κατέβης,
καθὼς ὁ ἀφέντης πρόσταξε, κι ἐγὼ 'θελα νὰ μείνης
ἐδῶ στὴ στάνη φύλακας· μὰ σέβας τοῦ 'χω μέγα
καὶ φόβο, μήπως ὕστερα μανιάση· καὶ τοῦ ἀφέντη
φοβᾶμαι τὰ μαλώματα. Μὰ ἂς πᾶμε τώρα, ἡ μέρα
πάει νὰ μεσιάση κι ἡ δροσιὰ θά 'ναι κακὴ τὸ βράδυ."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος ἀπάντησέ του κι εἶπε·
"Ξέρω, καὶ νιώθω· τό 'χα ἐγὼ στὸ νοῦ μου αὐτὸ ποὺ μοῦ 'πες.
Μὰ ἂς πᾶμε, κι ἐσὺ δεῖχνε μου τὸ δρόμο πέρα ὡς πέρα,
καὶ δῶσ' μου, ἂν ἔχης πουθενά, κουτσόραβδο κομμένο,
γιὰ ν' ἀκουμπῶ, τὶ δύσκολος εἶναι μοῦ λέτε, ὁ δρόμος."
Εἶπε, καὶ κρέμασε παλιὸ τορβὰ κουρελιασμένο
στὸν ὦμο μὲ χοντρὸ σκοινί, καὶ τοῦ 'δωκε συνάμα
ραβδὶ ὁ καλὸς χοιροβοσκός, καθὼς τὸ πεθυμοῦσε.
Ξεκίνησαν, μὰ οἱ πιστικοὶ μὲ τὰ σκυλιὰ στὴ στάνη
μεῖναν καὶ φύλαγαν κι αὐτὸς ὁδήγαε τὸν ἀφέντη,
ποὺ σὰ ζητιάνος φαίνονταν ἐλεεινὸς καὶ

ἦγεν ἄνακτα
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροΐ εἵματα ἕστο.
ἀλλ᾽ ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
ἄστεος ἐγγὺς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
τὴν ποίησ᾽ Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ·
ἀμφὶ δ᾽ ἄρ᾽ αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ᾽ ἐφύπερθε τέτυκτο
νυμφάων, ὅθι πάντες ἐπιρρέζεσκον ὁδῖται·
ἔνθα σφέας ἐκίχαν᾽ υἱὸς Δολίοιο Μελανθεὺς
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι· δύω δ᾽ ἅμ᾽ ἕποντο νομῆες.
τοὺς δὲ ἰδὼν νείκεσσεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν,
ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
"νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖν.
πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρόν δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῇς φλιῇσι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·

γέρος,
καὶ στὸ ραβδί του ἀκούμπαγε παλιόρουχα
ντυμένος.
Πῆραν τὸ πετρωτὸ στρατὶ καὶ ζύγωσαν
τὴ χώρα,
καὶ σάνε φτάσανε σιμὰ στὴν κρουσταλλένια
βρύση,
ποὺ ὁ κόσμος ἔπαιρνε νερό, κι ὁ Νήριτος τὴν
εἶχε,
κι ὁ Ἴθακος κι ὁ Πολύχτορας, χτισμένη, κι
ἦταν λεῦκες
δάσος ἐκεῖ νερόθρεφτες ποὺ ὁλοῦθε τὴν
κυκλῶναν,
καὶ κατρακύλα κρυὸ νερὸ ψηλάθε ἀπὸ τὸ
βράχο,
κι ἦταν βωμὸς ἀπάνωθε χτισμένος, ποὺ
θυσιάζαν
στὶς Νύφες ὅσοι διάβαιναν· κεῖ πέρα ὁ
Μελανθέας
τοὺς βλέπει τοῦ Δολίου ὁ γιός, μὲ δυὸ
βοσκοὺς κατόπι,
ποὺ φέρναν τὰ πιὸ διαλεχτὰ τῶν κοπαδιῶνε
γίδια
γιὰ τῶ μνηστήρων τὸ φαγί· κι ἅμα τοὺς εἶδε
ἐκεῖνος
πειραχτικὰ τοὺς μίλησε καὶ μὲ μεγάλη κάκια,
καὶ τὸ Δυσσέα πληγώνανε τ' ἀδιάντροπά
του λόγια·
"Ἕνας ἀχρεῖος τὸν ἄλλονε μὰ τὴν
ἀλήθεια σέρνει
κι ἔτσι παντοτινὰ ὁ θεὸς ὅμοιο στὸν ὅμοιον
φέρνει.
Ποῦ τάχα, ὦ βρώμικε βοσκέ, τὸν πᾶς αὐτὸν
τὸν χάφτη
τὸν παλιοζήτουλα, μωρέ, τῶν τραπεζιῶν
τὴ λώβα;
Σὲ πόσες πόρτες θὰ σταθῆ τὴ ράχη του νὰ
τρίβη,
ὄχι λεβέτια καὶ σπαθιά, παρὰ βουκιὲς
ζητώντας.
Δῶσ' τον ἐμένα, φύλακα τῆς στάνης νὰ τὸν
ἔχω,

τόν κ᾽ εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι
σηκοκόρον τ᾽ ἔμεναι θαλλόν τ᾽ ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ᾽ ἐπεὶ οὖν δὴ ἔργα κάκ᾽ ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ᾽ ἔλθῃ πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο,
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο."
ὣς φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
ἀλλ᾽ ἔμεν᾽ ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἔλοιτο,
ἦ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας.
ἀλλ᾽ ἐπετόλμησε, φρεσὶ δ᾽ ἔσχετο· τὸν δὲ συβώτης
νείκεσ᾽ ἐσάντα ἰδών, μέγα δ᾽ εὔξατο χεῖρας ἀνασχών·
"νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴ ποτ᾽ Ὀδυσσεὺς
ὔμμ᾽ ἐπὶ μηρί᾽ ἔκηε, καλύψας πίονι δημῷ,
ἀρνῶν ἠδ᾽ ἐρίφων, τόδε μοι κρηήνατ᾽ ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·

νὰ μοῦ σαρώνη τὸ μαντρί, χλωρόκλαδα νὰ φέρνη
στὰ γίδια, καὶ νὰ πίνη ὀρό, παχιὰ μεριὰ νὰ κάνη.

Τώρα ὅμως ποὺ κακόμαθε, δὲ θέ' δουλειὰ νὰ πιάση
μόνε τοῦ ἀρέσει σὲ χωριὰ νὰ σέρνεται καὶ χῶρες,
νὰ θρέφη μὲ τὴ διακονιὰ τὴ λαίμαργη κοιλιά του.
Μὰ ἔχω δυὸ λόγια νὰ σοῦ πῶ, κι ὅ,τι σοῦ λέω θὰ γίνη·

ἂν τύχη κι ἔρθη στοῦ θεϊκοῦ τοῦ Ὀδυσσέα τοὺς πύργους.
τριγύρω στὴν κεφάλα του πολλὰ σκαμνιὰ ριγμένα
ἀπὸ τὰ χέρια τῶν ἀντρῶν θὰ σπάσουν τὰ πλευρά του."
Καὶ καθὼς πέρναε, τοῦ 'δωσε κλωτσιὰ ὁ χαζὸς στὸ γόφο·
μὰ ἐκεῖνος δὲν ξεστράτισε, παρὰ ἔμεινε στὸ δρόμο·
Τότες στὸ νοῦ του μέσα ὁ γιὸς ἀνάδευε τοῦ Λαέρτη,
νὰ ὁρμήση, καὶ μὲ μιὰ ραβδιὰ νὰ τόνε ξεπαστρέψη,
ἢ ἁρπάζοντάς τον ἀπ' τ' αὐτιά, νὰ τοῦ βροντήξη χάμου
τὴν κούτρα· μὰ τὸ ἀπόμεινε, καὶ βάσταξε ἡ καρδιά του.
Κι ἀγριομιλώντας ὁ βοσκὸς στὸν ἄλλον ἀντικρύ του,
ἔβγαλ' εὐκή ἀψηλόφωνη μὲ χέρια σηκωμένα·
"Νύφες τῆς βρύσης, καὶ τοῦ Διὸς ὦ κόρες,
ἂν ποτές του
μεριὰ ὁ Δυσσέας σᾶς ἔκαψε σὲ πάχος τυλιγμένα
γιδιῶν κι ἀρνιῶνε, τούτη μου τελέστε τὴ λαχτάρα·
ἂς ἔρθη ἐκεῖνος πιά, καὶ θεὸς ἂς τόνε φέρη κάποιος.

τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες."
τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
"ὦ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἴ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ."
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ ἦκα κιόντας,
αὐτὰρ ὁ βῆ, μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι καθῖζεν,
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
τῷ πάρα μὲν κρειῶν μοῖραν θέσαν οἳ πονέοντο,
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα

ἔδμεναι. ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
στήτην ἐρχομένω, περὶ δέ σφεας ἦλυθ' ἰωὴ
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·

"Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα

Αὐτὸς θὰ σοῦ τὰ σκόρπιζε στ' ἀλήθεια τὰ καμάρια
ποὺ τώρ' ἀγέρωχα κρατᾶς στὴ χώρα τριγυρνώντας,
ἐνῶ ἀφανίζουνε κακοὶ βοσκοὶ τὰ πρόβατά σου."
Κι ὁ Μελανθέας ἀπάντησε καὶ τοῦ 'πε·
"Ὤχοῦ, τί κρένει,
ὁ σκύλος ὁ παμπόνηρος, ποὺ ἐγὼ θὰ τὸν περάσω
μακριὰ ἀπ' τὸ Θιάκι κάποτες μὲ μελανὸ καράβι
κέρδος νὰ βγάλω περισσό. Ὅμως μακάρι τώρα
τοῦ Φοίβου τοῦ ἀργυρότοξου οἱ σα.ί,τες νὰ σκοτώσουν
στὸν πύργο τὸν Τηλέμαχο, γιὰ κονταριὲς μνηστήρων,
σὰν ποὺ ὁ γονιός του χάθηκε στὰ μακρινὰ καὶ ξένα."
Αὐτὰ εἶπε, καὶ τοὺς ἄφησε σιγὰ νὰ περπατᾶνε,
μὰ ἐκεῖνος γλήγορα ἔφτασε στοῦ ρήγα τὰ παλάτια,
καὶ μπῆκε εὐτὺς καὶ κάθισε μαζὶ μὲ τοὺς μνηστῆρες,
ἀντίκρυ στὸν Εὐρύμαχο, ποὺ τὸν παραγαποῦσε.
Τοῦ βάλαν ἀπ' τὰ κρέατα τὸ μερτικό του οἱ δοῦλοι,
κι ἡ σεβαστὴ κελάρισσα ψωμὶ παράθεσέ του
νὰ φάη· κι ἦρθαν ὁ πάγκαλος βοσκὸς μὲ τὸ Δυσσέα,
καὶ στάθηκαν κοντά· ὡς αὐτοὺς τῆς βαθουλῆς ἐρχόταν
τῆς φόρμιγγας τό παίξιμο, τὶ τότες ἀρχινοῦσε
κι ὁ Φήμιος τὸ τραγούδι του. Καὶ τοῦ 'σφιξε ὁ Δυσσέας
τὸ χέρι τοῦ χοιροβοσκοῦ, καὶ μίλησέ του κι εἶπε·
"Εὔμαιε αὐτά 'ναι τὰ λαμπρὰ παλάτια

κάλ᾽ Ὀδυσῆος,
ῥεῖα δ᾽ ἀρίγνωτ᾽ ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
ἐξ ἑτέρων ἕτερ᾽ ἐστίν, ἐπήσκηται δέ οἱ αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ᾽ εὐερκέες εἰσὶ
δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
γιγνώσκω δ᾽ ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες, ἐπεὶ κνίση μὲν ἀνήνοθεν, ἐν δέ καπνοῦ προβάλλει μυρουδιά, κι ἀκούγουνται
τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"ῥεῖ᾽ ἔγνως, ἐπεὶ οὐδὲ τά τ᾽ ἄλλα πέρ ἐσσ᾽ ἀνοήμων.
ἀλλ᾽ ἄγε δὴ φραζώμεθ᾽ ὅπως ἔσται τάδε ἔργα.
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ ναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ·
εἰ δ᾽ ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ᾽ εἶμι προπάροιθε·
μηδὲ σὺ δηθύνειν, μή τίς σ᾽ ἔκτοσθε νοήσας
ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
ἀλλ᾽ ἔρχευ προπάροιθεν, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ.
οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων·
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω·

τοῦ Ὀδυσσέα·
κι ἀνάμεσα σὲ πάμπολλα μπορεῖς νὰ τὰ ξανοίξης.
Ἀπ' τό 'να στὸ ἄλλο μέσα πᾶς, κι ἔχουν αὐλὴ κλεισμένη
μὲ τείχισμα στεφανωτὸ καὶ στεριωμένες πόρτες
δικάνατες καὶ ποιός μπορεῖ νὰ τὰ καταφρονέση;
Βλέπω καὶ μέσα περισσοὶ πίνουν καὶ τρῶνε ἀνθρῶποι·
τῆς λύρας
οἱ κόρδες ποὺ οἱ ἀθάνατοι γιὰ τὰ τραπέζια ὁρίσαν."
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Κι αὐτὸ μεμιὰς τὸ ἀπείκασες, σὰν ποὺ ὅλα ἐσύ τὰ νιώθεις.
Μὰ τώρα πῶς θὰ κάμουμε καιρὸς νὰ στοχαστοῦμε.
Γιὰ πρῶτος στὰ παλάτια ἐσὺ τὰ ὡριοχτισμένα μπαίνεις,
καὶ στοὺς μνηστῆρες προχωρεῖς, καὶ πίσω ἐγὼ προσμένω,
γιὰ ἂν θέλης κοντοστάσου ἐσὺ, κι ὁμπρὸς ἐγὼ πηγαίνω.
Μὰ μὴν ἀργῆς νὰ μὴ σὲ δοῦν ἀπόξω, κι ἢ σὲ διώξουν,
ἢ σὲ βαρέσουν ἄξαφνα· στοχάσου αὐτὸ ποὺ σοῦ 'πα."
Κι ἀπάντησε ὁ πολύπαθος κι ὁ μέγας Ὀδυσσέας·
"Ξέρω, καὶ νιώθω· τό 'χω ἐγὼ στὸ νοῦ μου αὐτὸ ποὺ μοῦ 'πες.
Μόν' ἐσὺ τράβηξε ὁμπροστά, κι ἐγὼ θὰ μείνω πίσω·
σὲ χτυπησιὲς καὶ σὲ ριξιὲς ἀνήξερος δὲν εἶμαι·
βαστάει ἡ καρδιά μου, τὶ πολλὰ μοῦ 'ρθαν ἐμένα πάθια
σὲ ἀμάχες καὶ σὲ κύματα· κι αὐτὸ μ' ἐκεῖνα ἂς ἔρθη.

γαστέρα δ᾽ οὔ πως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
οὐλομένην, ἣ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσι,
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ᾽ ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὃν ῥά ποτ᾽ αὐτὸς
θρέψε μέν, οὐδ᾽ ἀπόνητο, πάρος δ᾽ εἰς Ἴλιον ἱρὴν
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
αἶγας ἐπ᾽ ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς·
δὴ τότε κεῖτ᾽ ἀπόθεστος ἀποιχομένοιο ἄνακτος,
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων
ἡμιόνων τε βοῶν τε ἅλις κέχυτ᾽, ὄφρ᾽ ἂν ἄγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·
ἔνθα κύων κεῖτ᾽ Ἄργος, ἐνίπλειος κυνοραιστέων.
δὴ τότε γ᾽, ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ᾽ ὅ γ᾽ ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
ἆσσον δ᾽ οὐκέτ᾽ ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ᾽ ἐρεείνετο μύθῳ·
"Εὔμαι᾽, ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ᾽ ἐνὶ κόπρῳ.
καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ᾽

Ὅμως τὴ λύσσα τῆς κοιλιᾶς δὲ δύνεσαι νὰ κρύψῃς,
ποὺ ἡ ἔρμη ἀρίθμητα δεινὰ στὸν κόσμο πάντα φέρνει.
Γιὰ κείνην ἀρματώνουνται καλόζυγα καράβια,
ποὺ σκίζουνε τὰ πέλαγα καὶ τοὺς ὀχτροὺς χτυπᾶνε."
Αὐτὰ καθὼς λαλούσανε κι ἀνάμεσό τους λέγαν,
σκυλὶ ποὺ κοίτουνταν, τ' αὐτιὰ καὶ τὸ κεφάλι ὀρθώνει,
ὁ Ἄργος, ποὺ ὁ ἀντρόψυχος Δυσσέας τὸν εἶχε θρέψει,
ὅμως δὲν τόνε χάρηκε, γιατ' εἶχε φύγει ἐκεῖνος
στὴ Τροία τότες τὴν ἱερή· σ' ἄλλους καιρούς οἱ νέοι
ζαρκάδια, γίδια.
Τώρα, π' ὁ ἀφέντης ἔλειπε, τὸν ἄφηναν πεσμένο
στὴν σωριασμένη τὴν κοπριὰ βοδιῶν καὶ μουλαριῶνε,
ποὺ ὀμπρὸς στὴ θύρα ἁπλώνονταν, κι οἱ παραγιοὶ ἀποκεῖθε
τὴν σήκωναν καὶ κόπριζαν τοὺς κήπους τοῦ Ὀδυσσέα.
Ἀπάνω αὐτοῦ κοιτότανε τσιμπουριασμένος ὁ Ἄργος.
Καὶ τώρα, ἅμα μυρίστηκε σιμὰ τὸν Ὀδυσσέα,
γοργοσαλεύει τὴν οὐρά, τ' αὐτιά του κατεβάζει,
μὰ πιὸ κοντὰ τοῦ ἀφέντη του δὲν μπόρειε νὰ ζυγώσῃ.
Γύρισ' αὐτὸς τὴν ὄψη του καὶ σφούγγισ' ἕνα δάκρυο
κρυφὸ μὲ τρόπο, κι ὕστερα τὸν πιστικὸ ρωτοῦσε·
"Μεγάλο θάμα, στὴν κοπριὰ νὰ μνήσκῃ τέτοιος σκύλος·
ὄμορφος σκύλος, μὰ ἄραγες νά 'ναι καὶ

οὐ σάφα οἶδα,
εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
ἦ αὔτως οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ᾽· ἀγλαΐης δ᾽ ἕνεκεν κομέουσιν ἄνακτες."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
εἰ τοιόσδ᾽ εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·
νῦν δ᾽ ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.
δμῶες δ᾽, εὖτ᾽ ἂν μηκέτ᾽ ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ᾽ ἔπειτ᾽ ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ᾽ ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ᾽ ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν."
ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας,
βῆ δ᾽ ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Ἄργον δ᾽ αὖ κατὰ μοῖρ᾽ ἔλαβεν μέλανος θανάτοιο,
αὐτίκ᾽ ἰδόντ᾽ Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.
τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς

γοργοπόδης
κοντὰ στὴν τόση του ὀμορφιά, γιά νά 'ναι δὰ ἀπὸ κείνους
ποὺ στὰ τραπέζια στολισμὸ τοὺς ἔχουν οἱ ἀφεντάδες;"
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Εἶν' ἐκεινοῦ ποὺ ἀπέθανε στὰ ξένα αὐτὸς ὁ σκύλος.
Ἂν ἦταν ἔτσι στὸ κορμί, καὶ στὰ ἔργα του σὰν τότες
ποὺ ὁ Ὀδυσσέας τὸν ἄφησε κινώντας γιὰ τὴν Τροία,
τότες θὰ κοίτας δύναμη καὶ γληγοράδα, ἀλήθεια.
Ἀγρίμι δὲν τοῦ ξέφευγε μὲς στὰ βαθιὰ τοῦ λόγγου,
κάθε κυνήγι, ποὺ ἔβγαζε στ' ἀχνάρια μαθημένος.
Μὰ παθιασμένος τώρ' αὐτός, ὁ ἀφέντης του στὰ ξένα
χαμένος, καὶ δὲ νοιάζονται γι' αὐτὸν ἐδῶ οἱ γυναῖκες.
Κι οἱ δοῦλοι, σὰ δὲ βρίσκεται ποπάνω τους ἀφέντης,
δουλειὰ νὰ κάμουνε σωστὴ δὲ θέλουνε πιὰ τότες·
τὶ παίρνει τὴ μισὴ ἀρετὴ τοῦ ἀνθρώπου ὁ βροντορίχτης
ὁ Δίας, ἅμα τῆς σκλαβιᾶς ἡ μαύρη τοῦ 'ρθη μέρα."
Αὐτὰ σὰν εἶπε, στὰ λαμπρὰ παλάτια μέσα μπηκε,
καὶ πηγε τοὺς καμαρωτοὺς μνηστῆρες ν' ἀνταμώση.
Ὅμως τὸν Ἄργο θάνατος μαῦρος κι ἀχνὸς τὸν πῆρε,
σὰν εἶδε τὸν ἀφέντη του, στὰ εἴκοσι χρόνια ἀπάνω.
Κι ὁ θεόμοιαστος Τηλέμαχος πρῶτος ἀπ' ὅλους εἶδε
μὲς στὰ παλάτια τὸ βοσκό νὰ μπαίνη καὶ τοῦ γνέφει

ἐρχόμενον κατὰ δῶμα συβώτην,
ὦκα δ᾽ ἔπειτα
νεῦσ᾽ ἐπὶ οἷ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἔνθα τε δαιτρὸς ἐφίζεσκε κρέα πολλὰ
δαιόμενος μνηστῆρσι δόμον κάτα δαινυμένοισι·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον, ἔνθα δ᾽ ἄρ᾽ αὐτὸς ἐφέζετο· τῷ δ᾽ ἄρα κῆρυξ
μοῖραν ἑλὼν ἐτίθει κανέου τ᾽ ἐκ σῖτον ἀείρας.
ἀγχίμολον δὲ μετ᾽ αὐτὸν ἐδύσετο δώματ᾽ Ὀδυσσεύς,
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροΐ εἵματα ἕστο.
ἷζε δ᾽ ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
Τηλέμαχος δ᾽ ἐπὶ οἷ καλέσας προσέειπε συβώτην,
ἄρτον τ᾽ οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
καὶ κρέας, ὡς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
"δὸς τῷ ξείνῳ ταῦτα φέρων αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ᾽ οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι."
ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντ᾽ ἀγόρευε·
"Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σ᾽ ἐκέλευσε

νὰ πάη σιμά του· γύρω του τηράει αὐτός, καὶ παίρνει
σκαμνὶ ποὺ τό 'χε ὁ μοιραστὴς ποὺ μοίραζε τὸ κρέας
στοὺς ἥρωες ποὺ τρωγόπιναν μὲς στὰ λαμπρὰ παλάτια.
Ἀγνάντια στοῦ Τηλέμαχου ζυγώνει τὸ τραπέζι,
κι ἐκεῖ καθίζει· ὁ κήρυκας τοῦ παραθέτει τότες
μερίδα ὀμπρός του, καὶ ψωμὶ τοῦ δίνει ἀπ' τὸ πανέρι.

Εὐτὺς κατόπι του ἔφτασε στοὺς πύργους κι ὁ Ὀδυσσέας,
ὅμοιος μὲ κακορίζικο καὶ γέρο ψωμοζήτη,
ἀκουμπισμένος σὲ ραβδί, καὶ κουρελοντυμένος.
Καὶ καθὼς μπῆκε, κάθισε στὸ φράξινο κατώφλι,
κυπαρίσσι,
ποὺ τό 'χε σιάξει τεχνικὰ μὲ στάφνη ὁ μάστορής του.
Προσκάλεσε ὁ Τηλέμαχος τὸν πιστικὸ σιμά του,
καὶ παίρνοντας ἀλάκερο ,ψωμὶ ἀπὸ τὸ πανέρι,
καὶ κρέας ὅσο οἱ φοῦχτες του μαζὶ χωροῦσαν, τοῦ εἶπε·
"Πάρ' τα, τοῦ ξένου δῶσ' τα αὐτά, καὶ πές του δίνοντάς τα,
κι ἀπ' τοὺς μνηστῆρες ὁλονοὺς νὰ πάη καὶ νὰ γυρέψη.
Σὰν ἔχη ἀνάγκη ὁ ἄνθρωπος, νὰ ντρέπεται δὲν πρέπει."
Αὐτά εἶπε, κι ὁ χοιροβοσκὸς σὰν τ' ἄκουσε, πηγαίνει
σιμά του, καὶ τοῦ προσμιλεῖ μὲ φτερωμένα λόγια·
"Ξένε, ὁ Τηλέμαχος αὐτὰ σοῦ δίνει, καὶ μηνᾶ

σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ᾽ οὐκ ἀγαθήν φησ᾽ ἔμμεναι ἀνδρὶ προΐκτῃ."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί οἱ πάντα γένοιθ᾽ ὅσσα φρεσὶν ᾗσικι ὅλ᾽ ἂς τοῦ γίνουνε καθὼς ἀποθυμεῖ ἡ μενοινᾷ."
ἦ ῥα καὶ ἀμφοτέρῃσιν ἐδέξατο καὶ κατέθηκεν
αὖθι ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης,
ἥσθιε δ᾽ ἦος ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν·
εὖθ᾽ ὁ δεδειπνήκειν, ὁ δ᾽ ἐπαύετο θεῖος ἀοιδός.
μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρ᾽. αὐτὰρ Ἀθήνη,
ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα
ὤτρυν᾽, ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
γνοίη θ᾽ οἵ τινές εἰσιν ἐναίσιμοι οἵ τ᾽ ἀθέμιστοι·
ἀλλ᾽ οὐδ᾽ ὥς τιν᾽ ἔμελλ᾽ ἀπαλεξήσειν κακότητος.
βῆ δ᾽ ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
πάντοσε χεῖρ᾽ ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἱ δ᾽ ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν,
ἀλλήλους τ᾽ εἴροντο τίς εἴη καὶ πόθεν ἔλθοι.
τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
"κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.

σου
κι ἀπ' τοὺς μνηστῆρες ὁλονοὺς νὰ πᾶς καὶ νὰ γυρέψῃς,
τὶ λέει πὼς εἶναι ἀταίριαστη ἡ ντροπὴ σὲ διακονιάρη."

Καὶ τότε ὁ πολυστόχαστος Δυσσέας ἀπάντησέ του·
"Ὁ Δίας τοῦ Τηλέμαχου καλοτυχιὰ νὰ δίνῃ,
καρδιά του."
Αὐτά εἶπε, καὶ τὰ δέχτηκε στὶς φοῦχτες του καὶ χάμου
στὰ πόδια του τ' ἀκούμπησε στὸ φτωχικὸ σακί του.
Κι ὅσο ὁ καλὸς τραγουδιστὴς τραγούδαε στὰ παλάτια,
ἔτρωγε αὐτός· σὰν ἔπαψε νὰ τραγουδάῃ ἐκεῖνος,
κι ἀπόφαγε ὁ Δυσσέας, βοὴ σηκῶσαν οἱ μνηστῆρες·
καὶ στάθη ὀμπρός του ἡ Ἀθηνᾶ καὶ τὸν παρακινοῦσε
γύρω νὰ πάῃ μαζεύοντας καρβέλια ἀπ' τοὺς μνηστῆρες,
ποιός εἶναι δίκιος καὶ καλός, ποιός ἄδικος, νὰ μάθῃ·
ἀλλὰ κι ἔτσι ἡ θεὰ δὲν ἔμελλε κανένα νὰ γλυτώσῃ.

Ἄρχισ' αὐτὸς ἀπὸ δεξὰ καὶ καθενὸς ζητοῦσε
τὸ χέρι ἁπλώνοντας, παλιὸς σὰ νά 'τανε ζητιάνος.
Κι αὐτοὶ πονώντας τοῦ 'διναν, ὅμως πολὺ ἀποροῦσαν,
κι ἕνας τὸν ἄλλον ρώταγε ποιός ἦταν κι ἀποποῦθε.
Καὶ τότες ὁ γιδοβοσκὸς ὁ Μελανθέας τοὺς εἶπε·
"Ἀκοῦστε με, τῆς δοξαστῆς βασίλισσας μνηστῆρες,
γι' αὐτὸν τὸν ξένο· ἐγὼ καὶ πρὶν τὸν εἶχα δῆ, καὶ βέβαια

ἦ τοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν,
αὐτὸν δ᾽ οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι."
ὣς ἔφατ᾽, Ἀντίνοος δ᾽ ἔπεσιν νείκεσσε συβώτην·
"ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; ἦ οὐχ ἅλις ἦμιν ἀλήμονές εἰσι καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
ἐνθάδ᾽ ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ᾽ ἐκάλεσσας;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"Ἀντίνο᾽, οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθών
ἄλλον γ᾽, εἰ μὴ τῶν οἵ δημιοεργοὶ ἔασι,
μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπῃσιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ᾽ ἀπείρονα γαῖαν·
πτωχὸν δ᾽ οὐκ ἄν τις καλέοι τρύξοντα ἒ αὐτόν.
ἀλλ᾽ αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, πέρι δ᾽ αὖτ᾽ ἐμοί· αὐτὰρ ἐγώ γε
οὐκ ἀλέγω, ἧός μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"σίγα, μή μοι τοῦτον ἀμείβεο πολλὰ

ὁ Εὔμαιος θὰ τὸν ἔφερνε σ' αὐτὸν τὸν πύργο τότες.
Ποιός ὅμως εἶν' αὐτὸς καὶ ποιὰ ἡ γενιά του, δὲν κατέχω."
Κι ὁ Ἀντίνος τὸ χοιροβοσκὸ μάλωσε τότες κι εἶπε·
"Τί μᾶς τὸν ἔφερες, κι ἐσὺ χοιροβοσκέ, στὴ χώρα;
Λὲς τάχα δὲ μᾶς ἔφταναν τόσοι ἄλλοι γυρολόγοι
παλιοζητιάνοι βαρετοί, τῶν τραπεζιῶνε λῶβες;
Ἢ λίγοι ἐδῶ μαζώχτηκαν καὶ τρῶν τὸ βιὸς τοῦ ἀφέντη,
καὶ πῆγες καὶ προσκάλεσες κι ἐτοῦτον ἐδῶ τώρα;"
Κι ἐσύ, Εὔμαιε χοιροβοσκέ, τοῦ ἀπολογήθης κι εἶπες·
"Σωστά, ὦ Ἀντίνε, δὲ λαλεῖς, ὅσο εὐγενὴς κι ἂν εἶσαι.
Καὶ ποιός ποτές του γύρεψε νὰ προσκαλέση ξένον
ἀλλοῦθε, ἐξὸν ἂν ἤτανε χρειαζούμενος τεχνίτης,
κανένας μάντης, ἢ γιατρός, ἢ ξυλουργός, ἢ θεῖος
τραγουδιστής, ποὺ μὲ γλυκὰ τραγούδια μας γλεντίζει;
αὐτοὶ δά, ποὺ ὡς τὰ πέρατα γυρεύουνται τοῦ κόσμου·
ὅμως κανένας δὲν καλεῖ καταλυτὴ ζητιάνο.
Μὰ ἐσύ 'σουν ὁ πιὸ δύστροπος ἀπ' ὅλους τοὺς μνηστῆρες
γιὰ ὅλους κι ἐμένα χωριστὰ τοὺς δούλους τοῦ Ὀδυσσέα.
Ὡχ τόσο ἐγὼ δὲ σὲ ψηφῶ· σώνει νὰ ζῆ στοὺς πύργους
ἡ Πηνελόπη ἡ φρόνιμη κι ὁ θεόμοιαστος ὁ γιός της."
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τοῦ κρένει·
"Σώπα, μὲ δαύτονε πολλὰ μιλήματα μὴν

ἔπεσσιν·
Ἀντίνοος δ᾽ εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους."
ἦ ῥα καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
"Ἀντίνο᾽, ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο ποὺ ἀπ' τὸ παλάτι ζήτησες εὐτὺς νὰ φύγη ὁ διέσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἐγώ γε·
μήτ᾽ οὖν μητέρ᾽ ἐμὴν ἄζευ τό γε μήτε τιν᾽ ἄλλον
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
ἀλλ᾽ οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλῳ."
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος ἀπαμειβόμενος προσέειπε·
"Τηλέμαχ᾽ ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες.
εἴ οἱ τόσσον ἄπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι."
ὣς ἄρ᾽ ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζης
κείμενον, ᾧ ῥ᾽ ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων·
οἱ δ᾽ ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ᾽ ἄρα πήρην
σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς
αὖτις ἐπ᾽ οὐδὸν ἰὼν προικὸς γεύσεσθαι Ἀχαιῶν·
στῆ δὲ παρ᾽ Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπε·

ἔχης·
πάντα μὲ λόγια συνηθάει πικρὰ νὰ μᾶς χολώνη,
μὰ καὶ τοὺς ἄλλους προσκαλεῖ παρόμοια νὰ μᾶς λένε."
Εἶπε, κι ἐκείνου μίλησε μὲ λόγια φτερωμένα·
"Πολὺ ὄμορφα, καὶ σὰ γονιός, ὦ Ἀντίνε, μᾶς κοιτάζεις,
ξένος
μὲ προσταγὴ τόσο βαρειά· ὁ θεὸς νὰ μὴν τὸ δώση.
Μοίραζε, δὲ λυπᾶμαι ἐγώ· πρῶτος ἐγὼ τὸ θέλω.
Μὴ νοιάζεσαι τὴ μάνα μου μήτ' ἄλλον ἀπ' τοὺς δούλους,
ποὺ βρίσκουνται μὲς στοῦ θεϊκοῦ Δυσσέα τὰ παλάτια.
Μὰ τέτοιους στοχασμοὺς ἐσὺ στὰ φρένα σου δὲν ἔχεις,
τὶ προτιμᾶς νὰ καλοτρῶς, παρ' ἀλλονοῦ νὰ δίνης."
Κι ὁ Ἀντίνος τότες γύρισε κι αὐτὰ τοῦ ἀπολογήθη·
"Τηλέμαχε περήφανε κι ἀκράτητε, τί μοῦ 'πες;
Ἂν ὅλοι τόση πόρεψη τοῦ δίναν οἱ μνηστῆρες,
σωστοὺς τρεῖς μῆνες θά 'κανε στὸ σπίτι νὰ ζυγώση."
Κι ἀπ' τὸ τραπέζι κάτωθε σκαμνὶ τραβάει καὶ δείχνει,
ποὺ τὰ λαμπρά του ἀκούμπαγε τὰ πόδια σὰ δειπνοῦσε.

Ὡς τόσο οἱ ἄλλοι τοῦ 'διναν, καὶ μὲ ψωμὶ καὶ κρέας
τὸ σάκο του γεμίσανε· καὶ κάνοντας νὰ σύρη
πρὸς τὸ κατώφλι, νὰ γευτῆ τῶν Ἀχαιῶν τὰ δῶρα,
σιμὰ τοῦ Ἀντίνου στάθηκε, καὶ μίλησέ του κι εἶπε·

"δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
ἔμμεναι, ἀλλ᾽ ὥριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
τῷ σε χρὴ δόμεναι καὶ λώϊον ἠέ περ ἄλλοι
σίτου· ἐγὼ δέ κέ σε κλείω κατ᾽ ἀπείρονα γαῖαν.
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτῃ,
τοίῳ ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι ἄλλα τε πολλὰ
οἷσίν τ᾽ εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων--ἤθελε γάρ που--
ὅς μ᾽ ἅμα λῃϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἴγυπτόνδ᾽ ἰέναι, δολιχὴν ὁδόν, ὄφρ᾽ ἀπολοίμην.
στῆσα δ᾽ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
ἔνθ᾽ ἦ τοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
οἱ δ᾽ ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ᾽ Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ᾽ ἔκτεινον· τάχα δ᾽ ἐς πόλιν ἵκετ᾽ ἀϋτή.
οἱ δὲ βοῆς ἀΐοντες ἅμ᾽ ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν

“Δῶσε μου, φίλε· ὁ πιὸ ἀχαμνὸς ἐδῶ θαρρῶ δὲν εἶσαι,
μόν' πρῶτος ἀπ' τοὺς Ἀχαιούς, τὶ βασιλιᾶς μοῦ μοιάζεις.
Γι' αὐτὸ καὶ πιότερο ψωμὶ νὰ δώσης ἐσὺ πρέπει,
καὶ τότες ὡς τὰ πέρατα τῆς γῆς θὰ σὲ δοξάζω.
Κι ἐγὼ εἶχα σπίτια μιὰ φορὰ στὸν κόσμο, κι ἤμουν πλούσιος
κι εὐτυχισμένος, κι ἔδινα σ' ἐκείνους ποὺ γυρνοῦσαν
καὶ γύρευαν, ὅποιοι ἤτανε, κι ἀπ' ὅ,τι εἶχαν ἀνάγκη·
καὶ δούλους εἶχα ἀρίθμητους, κι ἄλλα καλὰ περίσσια,
ποὺ ἔχουν αὐτοὶ ποὺ καλοζοῦν καὶ ποὺ τοὺς λένε ἀρχόντους.
Μὰ ὁ Δίας ἄλλα θέλησε καὶ μοῦ τὰ ρήμαξε ὅλα,
μὲ πολυπλάνητους ληστὲς σὰ μ' ἔβγαλε καὶ πῆγα
στὸν Αἴγυπτο τὸ μακρινό, νὰ χάσω ἐκεῖ τὰ πάντα.
Στὸν ποταμὸ σὰν ἄραξα τὰ δίπλωρα καράβια,
πρόσταξ' ἀμέσως τοὺς καλοὺς συντρόφους μου νὰ μείνουν
αὐτοῦ, πλάϊ στὰ καράβια τους, γιὰ νὰ τὰ διαφεντεύουν,
κι ἔστειλα βίγλες νὰ τηροῦν ἀπ' τὶς κορφὲς τριγύρω·
μὰ ἐκεῖνοι ξεπαρθήκανε κι ὅπου ἤθελαν τραβῆξαν·
τῶν Αἰγυπτίων κουρσέψανε τὰ ὁλόμορφα χωράφια,
καὶ παῖρναν γυναικόπαιδα, χαλνούσανε τοὺς ἄντρες.
Κι ἦρθε ὡς τὴ χώρα τὸ βουητό, κι ἀκοῦν αὐτοὶ καὶ τρέχουν
σὰν ἔφεξε· καὶ γέμισε πεζούρα καὶ καβάλλα
ὅλος ὁ κάμπος, κι ἄστραφτε ὁ χαλκός· κι ὁ βροντοχάρης

τε καὶ ἵππων
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ᾽ ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ᾽ ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἔμ᾽ ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
ἔνθεν δὴ νῦν δεῦρο τόδ᾽ ἵκω πήματα πάσχων."
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος ἀπαμείβετο φώνησέν τε·
"τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
στῆθ᾽ οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδὴς ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ᾽ ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ."
τὸν δ᾽ ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ πόποι, οὐκ ἄρα σοί γ᾽ ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
οὐ σύ γ᾽ ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ᾽ ἄλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔ τί μοι ἔτλης
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν."

ὁ Δίας στοὺς συντρόφους μου ρίχνει κακὴ φευγάλα,
κι ἕνας δὲν κότας νὰ σταθῆ κι ὀχτρό του ν' ἀντικρύση,
γιατὶ παντοῦθε ἀφανισμὸς κακὸς τοὺς εἶχε ζώσει.

Τότες πολλοὺς μοῦ σκότωσαν τὰ κοφτερὰ σπαθιά τους,
κι ἄλλους τοὺς πιάσαν ζωντανοὺς καὶ στὴ σκλαβιὰ τοὺς ρίξαν.
Μένα σὲ φίλο μ' ἔδωκαν, ποὺ ἔτυχε ἐκεῖ, στοῦ Ἰάσου
τὸ γιὸ τὸ Δμήτορα, τρανὸ τῆς Κύπρος βασιλέα.
Ἀπὸ κεῖ πέρα τώρα ἐδῶ βασανισμένος ἦρθα."
Κι ὁ Ἀντίνος τότες φώναξε· "Μὰ ποιός θεὸς μᾶς φέρνει
αὐτὸ τὸ μέγα βάσανο, τῶν τραπεζῶν τὴ λώβα;
Μακριὰ ἀπὸ τὸ τραπέζι μου, στὴ μέση ποὺ εἶσαι, στάσου,
σὲ πιὸ πικρὴ νὰ μὴ βρεθῆς ἄλλη Αἴγυπτο καὶ Κύπρο,
ἀδιάντροπος κι ἀπόκοτος σὰν πού 'σαι διακονιάρης.
Μὲ τὴν ἀράδα σ' ὅλους πᾶς, καὶ ξένοιαστα ὅλοι δίνουν,
τὶ κρατημὸ δὲν ἔχουνε καὶ λύπη, μόνε ρίχτουν
ἀπὸ τὰ ξένα, ἀφοῦ πολλὰ καθένας ἔχει ὁμπρός του."
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τραβήχτηκε καὶ τοῦ 'πε·
"Κρῖμας ποὺ σὰν τὰ κάλλη σου κι ἡ γνώση σου δὲν εἶναι·
μήτ' ἄλας ἀπ' τὸ σπίτι σου δὲ θά 'δινες ποτές σου,
ἀφοῦ σὲ ξένο κάθεσαι τραπέζι, καὶ νὰ δώσης
βουκιὰ ψωμὶ δὲ βάσταξες, ποὺ τά 'χεις τόσα ὁμπρός σου."

ὣς ἔφατ', Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
"νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιό γ' ὀΐω
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις."
ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,
πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη ἠΰτε πέτρη
ἔμπεδον, οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
ἂψ δ' ὅ γ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
θῆκεν ἐϋπλείην, μετὰ δὲ μνηστῆρσιν ἔειπε·
"κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτε τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσι
βλήεται, ἢ περὶ βουσὶν ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐρινύες εἰσίν,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη."
τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
"ἔσθι' ἔκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ,
μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἵ'

Εἶπε, κι ὁ Ἀντίνος πιὸ βαριὰ τότες χολώνει ἀκόμα,
κι ἀγριοκοιτώντας τον, μ' αὐτὰ τοῦ μίλησε τὰ λόγια·
"Τώρα δὲν ἔχει πιά, γερὸς ἀπ' τὸ παλάτι ἐτοῦτο
πίσω θαρρῶ πὼς δὲ γυρνᾶς, ἀφοῦ μᾶς βρίζεις κιόλας."
Εἶπε, κι ἁρπώντας τὸ σκαμνί, τοῦ τὸ πετάει στὴν ἄκρη
τοῦ ὤμου τοῦ δεξοῦ· μὰ αὐτός, ἀσάλευτος σὰ βράχος,
δὲ λύγισε ἀπ' τὸ χτύπημα τοῦ Ἀντίνου, μόν' σωπώντας
τὴν κεφαλή του κούνησε, τ' εἶχε κακὸ στὸ νοῦ του.
Καὶ στὸ κατώφλι γύρισε, καὶ κάθισε, καὶ χάμου
τ' ὁλόγεμό του βάζοντας σακί, στοὺς ἄλλους εἶπε·
"Ἀκοῦτε με, τῆς δοξαστῆς βασίλισσας μνηστῆρες,
ὅσα ἐγὼ μέσα μου ἀγρικῶ θὰ σᾶς τὰ φανερώσω.
Κανέναν πόνο ὁ ἄνθρωπος δὲν ξέρει, μήτε λύπη
σὰ χτυπηθῆ παλεύοντας νὰ σώση τὸ δικό του,
ἂς εἶναι βόδια ἢ ἄσπρα ἀρνιά· μὰ ἐμένανε ὁ Ἀντίνος
μὲ βάρεσε γιὰ τὴν κοιλιὰ τὴ σιχαμένη κι ἔρμη,
καὶ ποὺ μ' ἀρίθμητα δεινὰ τὸν κόσμο βασανίζει.
Ὅμως κι οἱ ζήτουλοι θεοὺς ἂν ἔχουν κι Ἐρινύες,
πρὶν ἔρθη ὁ γάμος, θάνατος θὰ σβήση τὸν Ἀντίνο."
Κι ὁ Ἀντίνος τοῦ ἀποκρίθηκε· "Κάθου καὶ σώπα, ὦ ξένε,
καὶ τρῶγε αὐτοῦ, ἢ φύγε ἀλλοῦ, τὶ ἀλλιῶς ἀπ' τὰ παλάτια
οἱ νέοι μ' αὐτὰ τὰ λόγια σου τραβώντας

ἀγορεύεις,
ἢ ποδὸς ἢ καὶ χειρός, ἀποδρύψωσι δὲ πάντα."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
οὐλόμεν', εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.
καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες."
ὣς ἄρ' ἔφαν μνηστῆρες, ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε
βλημένου, οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμῳῇσιν ἔειπεν·
"αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων."
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
"εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο."
τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ἔοικε.

σου τὰ πόδια
ἢ καὶ τὰ χέρια, ἁλάκερο θένα σὲ γδάρουν ὄξω."
Αὐτὰ εἶπε, κι ὅλους ἄξαφνα θυμὸς πολὺς τοὺς πῆρε·
κι ἀπὸ τοὺς ξιππασμένους νιοὺς ἕνας αὐτὰ λαλοῦσε·
"Κακὰ ἔκαμες τὸ ζήτουλα, ὦ Ἀντίνε, νὰ βαρέσης,
κακόμοιρε, ποὺ κάποιος θεὸς μπορεῖ ἐπουράνιος νά 'ναι.
Τὶ μοιάζοντας οἱ θεοὶ συχνὰ μ' ἀλλομερῖτες ξένους
μορφὲς ἀλλάζουν, καὶ γυρνοῦν στὶς χῶρες τῶν ἀνθρώπων,
νὰ ἰδοῦν ποιοί φέρνονται ἄνομα καὶ ποιοὶ ἔχουν δίκιους νόμους."
Αὐτὰ οἱ μνηστῆρες λέγανε, μὰ ἐκεῖνος τ' ἀψηφοῦσε.
Πικράθηκε ὁ Τηλέμαχος τὸ βάρεμα τηρώντας,
μὰ δάκρυο ἀπὸ τὸ μάτι του δὲ χύθη, μόν' σωπώντας
τὴν κεφαλή του κούνησε, τ' εἶχε κακὸ στὸ νοῦ του.
Κι ἡ Πηνελόπη ἡ φρόνιμη σὰν ἔμαθε τοῦ Ἀντίνου
τὸ κάμωμα, εἶπε στὶς καλὲς ἀγνάντια παρακόρες·
"Κι αὐτὸν ὁ χρυσοδόξαρος ἔτσι ἂς χτυπήση ὁ Φοῖβος."
Καὶ τότες ἡ κελάρισσα τῆς κάνει ἡ Εὐρυνόμη·
"Ἂν πιάσουν οἱ κατάρες μας, ἀπ' αὐτονοὺς κανένας
νὰ ζήση ὡς τὴ χρυσόθρονη δὲ σώνει τὴν Αὐγούλα."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γυρίζει καὶ τῆς κρένει·
"Ὅλ' εἶναι ὀχτροί μας, μάνα μου, τὶ τὸ κακό μας θένε·
μὰ αὐτὸς ἀκόμα πιότερο τὸ μαῦρο χάρο μοιάζει.

ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
ἔνθ᾽ ἄλλοι μὲν πάντες ἐνέπλησάν τ᾽ ἔδοσάν τε,
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον."
ἡ μὲν ἄρ᾽ ὣς ἀγόρευε μετὰ δμῳῇσι γυναιξίν,
ἡμένη ἐν θαλάμῳ· ὁ δ᾽ ἐδείπνεε δῖος Ὀδυσσεύς·
ἡ δ᾽ ἐπὶ οἱ καλέσασα προσηύδα δῖον ὑφορβόν·
"ἔρχεο, δῖ᾽ Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ᾽ ἐρέωμαι
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικε."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα
"εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
οἷ᾽ ὅ γε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ᾽ ἤματ᾽ ἔρυξα
ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ᾽ ἵκετο νηὸς ἀποδράς·
ἀλλ᾽ οὔ πω κακότητα διήνυσεν ἣν ἀγορεύων.
ὡς δ᾽ ὅτ᾽ ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς τε θεῶν ἓξ
ἀείδει δεδαὼς ἔπε᾽ ἱμερόεντα βροτοῖσι,
τοῦ δ᾽ ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ᾽ ἀείδῃ·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισι.
φησὶ δ᾽ Ὀδυσσῆος ξεῖνος πατρώϊος

Ξένος βαριόμοιρος γυρνάει στὸν πύργο, κι ἀπ' τοὺς ἄντρες
ψωμοζητάει, γιατὶ πολλὴ τὸν ἀναγκάζει φτώχεια·
κάθε ἄλλος τοῦ 'δωσε θροφὴ καὶ πόρεψη περίσσια,
κι αὐτὸς σκαμνὶ τοῦ πέταξε πὰς στὸ δεξὶ τὸν ὦμο."
Αὐτὰ στὶς παρακόρες της στὸ θάλαμο καθόταν
ἡ Πηνελόπη κι ἔλεγε· κι ἔτρωγε ὁ θεῖος Δυσσέας.
Τότες ἐκείνη φώναξε τὸν Εὔμαιο, καὶ τοῦ εἶπε·
"Ἄμε, ὦ καλὲ κυρούλη μου, προσκάλεσε τὸν ξένο,
νὰ τὸν καλωσορίσω ἐγώ, καὶ νὰ τόνε ρωτήξω
μήπως τοῦ καρτερόψυχου Δυσσέα μαντάτα ξέρη
ἢ μὴν τὸν εἶδε σὰν πολὺ ταξιδεμένος μοιάζει."
Κι ὁ ἄξιος χοιροβοσκὸς τῆς ἀποκρίθη κι εἶπε·
"Ἂς σώπαιναν οἱ Ἀχαιοί, βασίλισσα, ν' ἀκούσης
τὰ ὅσα συντυχαίνει αὐτός, καὶ νὰ χαρῆ ἡ καρδιά σου.
Τρία σωστὰ μερόνυχτα τὸν εἶχα στὴν καλύβα,
τὶ ἐκεῖ μοῦ πρωτοφάνηκε σὰν ξέφυγε ἀπ' τὸ πλοῖο,
ὅμως δὲν πρόφταξε ὅλα του νὰ δηγηθῆ τὰ πάθια.
Καθὼς καλὸς τραγουδιστής, ποὺ θεοὶ τόνε διδάξαν,
βγαίνει καὶ τραγουδάει γλυκὰ τραγούδια στούς ἀνθρώπους,
κι ὅλοι κοιτώντας τον ἀκοῦν μ' ἀχόρταγη λαχτάρα,
ὅμοια κι αὐτὸς μὲ μάγευε σιμά μου καθισμένος.
Καὶ μοῦ 'πε φίλος πατρικὸς πὼς εἶναι τοῦ

εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ᾽ ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ᾽ Ὀδυσῆος ἀκοῦσαι,
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· πολλὰ δ᾽ ἄγει κειμήλια ὅνδε δόμονδε."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"ἔρχεο, δεῦρο κάλεσσον, ἵν᾽ ἀντίον αὐτὸς ἐνίσπῃ.
οὗτοι δ᾽ ἠὲ θύρῃσι καθήμενοι ἐψιαάσθων.
ἢ αὐτοῦ κατὰ δώματ᾽, ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ᾽ ἀκήρατα κεῖτ᾽ ἐνὶ οἴκῳ,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν,
οἱ δ᾽ εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται.
οὐ γὰρ ἔπ᾽ ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
εἰ δ᾽ Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ᾽ ἐς πατρίδα γαῖαν,
αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν."
ὣς φάτο, Τηλέμαχος δὲ μέγ᾽ ἔπταρεν, ἀμφὶ δὲ δῶμα
σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια,
αἶψα δ᾽ ἄρ᾽ Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·

Ὀδυσσέα,
καὶ πὼς στὴν Κρήτη κατοικεῖ, τοῦ Μίνωα τὴν πατρίδα.
Ἀπὸ τὰ κεῖθε τώρα ἐδῶ τὸν πέταξαν τὰ πάθια,
καὶ λέει καὶ γιὰ τὸ θεϊκὸ πὼς ἄκουσε Ὀδυσσέα,
ἐδῶ σιμά, πρὸς τὴν παχειὰ τῶν Θεσπρωτῶνε χώρα,
πὼς ζῆ, καὶ φέρνει θησαυροὺς στοὺς πύργους του περίσσους."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη σ' ἐκεῖνον ἀποκρίθη·
"Πήγαινε, κάλεσ' τον ἐδῶ, γιὰ νὰ τὰ πῆ μπροστά μου,
κι ἐκεῖνοι ἂς παίζουν, ἢ ὀμπροστὰ στὶς θύρες καθισμένοι,
ἢ μὲς στοὺς πύργους αὐτουδά, μιὰς κι εἶναι ἀναπαμένοι,
ποὺ μνήσκουνε στὰ σπίτια τους ἀκέρια τὰ καλά τους,
σιτάρι καὶ γλυκὸ κρασί, καὶ μόνε οἱ δοῦλοι τρῶνε.
Ὅμως ἐκεῖνοι ὁλοκαιρὶς σ' αὐτὸ τὸ σπίτι ζοῦνε,
καὶ βόδια σφάζοντας κι ἀρνιὰ καὶ τὰ παχιά μας γίδια,
κάθουνται τρῶνε, καὶ μαζὶ κρασὶ φλογάτο πίνουν,
τοῦ κάκου, καὶ τὰ σπαταλοῦν· τὶ δὲν εἶναι κανένας
σὰν τὸ Δυσσέα, ἀπ' τὴν πληγὴ τὸ σπίτι νὰ γλυτώση.
Μιὰς νά 'ρθη στὴν ἀγαπητὴ πατρίδα του ὁ Δυσσέας,
καὶ μὲ τὸ γιό του γδικιωμὸ θὰ βρῆ τῆς ἀνομιᾶς τους."
Αὐτὰ εἶπε, κι ὁ Τηλέμαχος φτερνίστηκε μὲ κρότο,
κι ὅλος ὁ πύργος βούηξε· γελάει ἡ Πηνελόπη,
καὶ κρένει τοῦ χοιροβοσκοῦ μὲ λόγια φτερωμένα·

"ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι;
τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά."
ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί έ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
εἰ δέ κέ σε γνώῃ νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
χρῄΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι ὅς κ' ἐθέλῃσι."
τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
"Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν.
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον

"Πήγαινε, κάλεσε, Εὔμαιε, τὸν ξένο ἐδῶ μπροστά μου.
Δὲ βλέπεις πῶς φτερνίστηκε μ' αὐτὰ τὰ λόγια ὁ γιός μου;
Θὰ πῆ πὼς βέβαιος θάνατος θὰ βρῆ κάθε μνηστήρα·
μήτ' ἕνας ἀπ' τὴ μαύρη του δὲ θὰ γλυτώση μοῖρα.
Κι ἕνα ἄλλο λόγο θὰ σοῦ πῶ, κι ἐσὺ νὰ τὸν θυμᾶσαι·
ἂ δῶ πῶς ὅλα βγαίνουνε σωστὰ ποὺ μᾶς δηγέται,
θὰ τόνε ντύσω μὲ ὄμορφη χλαμύδα καὶ χιτώνα."
Αὐτὰ ὁ καλὸς χοιροβοσκὸς σὰν ἄκουσε, πηγαίνει
σιμὰ στὸν ξένο, στέκεται, καὶ τοῦ λαλεῖ·
"Πατέρα,
ἡ μάνα τοῦ Τηλέμαχου σὲ κράζει, ἡ Πηνελόπη·
Ὅσο πολλὰ κι ἂν ἔπαθε, κι ὅσο ἂν πονῆ ἡ καρδιά της,
νὰ σὲ ρωτήξη λαχταρεῖ γιὰ τὸν καλό της ἄντρα.
Κι ἂ δῆ πὼς ὅλα βγαίνουνε σωστὰ ποὺ μᾶς δηγέσαι,
χιτώνα καὶ χλαμύδα αὐτὴ νὰ βάλης θὰ σοῦ δώκη,
ποὺ ἔχεις ἀνάγκη· θὰ μπορῆς καὶ νὰ ζητᾶς παντοῦθε
ψωμὶ νὰ βόσκης τὴν κοιλιά, καὶ θὰ σοῦ δίνουν ὅλοι."
Κι ἀπολογιέται του ὁ τρανός, πολύπαθος Δυσσέας·
"Εὔμαιε, σωστὰ μεμιᾶς ἐγὼ θὰ τὰ δηγόμουν ὅλα
στὴν Πηνελόπη τὴ σεμνὴ τοῦ Ἰκάριου θυγατέρα,
τὶ γνώρισα τὰ πάθια του μαζί του σὰν πλανιόμουν.
Ὅμως φοβᾶμαι τῶν κακῶν μνηστήρων τὸ κοπάδι,
ποὺ τ' ἄχτι τους κι ἡ ἀδιαντροπιὰ στὰ

οὐρανὸν ἵκει.
καὶ γὰρ νῦν, ὅτε μ᾽ οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔ τι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
οὔτε τι Τηλέμαχος τό γ᾽ ἐπήρκεσεν οὔτε τις ἄλλος.
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ᾽ εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι
λύγρ᾽ ἔχω· οἶσθα καὶ αὐτός, ἐπεί σε πρῶθ᾽ ἱκέτευσα."
ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσε.
τὸν δ᾽ ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
"οὐ σύ γ᾽ ἄγεις, Εὔμαιε· τί τοῦτ᾽ ἐνόησεν ἀλήτης;
ἦ τινά που δείσας ἐξαίσιον ἦε καὶ ἄλλως
αἰδεῖται κατὰ δῶμα; κακὸς δ᾽ αἰδοῖος ἀλήτης."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
"μυθεῖται κατὰ μοῖραν, ἅ πέρ κ᾽ οἴοιτο καὶ ἄλλος,
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δὲ σοὶ ὦδ᾽ αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ᾽ ἐπακοῦσαι."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"οὐκ ἄφρων ὁ ξεῖνος· ὀΐεται, ὡς περ ἂν εἴη·

οὐράνια ἀπάνω φτάνει.
Γιατὶ καὶ τώρα ποὺ ἕνας τους, στὸν πύργο σὰ γυρνοῦσα,
μὲ πόνεσε βαρώντας με, χωρὶς κακὸ νὰ πράξω,
βοηθὸς μήτ' ὁ Τηλέμαχος μήτ' ἄλλος δὲ μοῦ στάθη.
Πὲς τῆς λοιπὸν τῆς φρόνιμης κερᾶς νὰ περιμείνη,
βιάση κι ἂν ἔχη περισσή, νὰ γείρη πρῶτα ὁ ἥλιος,
καὶ τότες γιὰ τὸ γυρισμὸ τοῦ ἀντρός της ἂς ρωτήξη,
καθίζοντάς με ἐκεῖ στὴ στιά, τὶ εἶμαι κακοντυμένος,
καθὼς γνωρίζεις κι ἴδιος σου, πού 'ρθα σ' ἐσένα πρῶτα."
Ξεκίνησε ὁ χοιροβοσκὸς σὰν τοῦ 'πε αὐτὰ ὁ Δυσσέας·
κι ἅμ' ἀπ' τὴ θύρα πέρασε, τοῦ κρένει ἡ Πηνελόπη·
"Δὲ μοῦ τὸν ἔφερες, βοσκέ; ,τί κρένει ὁ διακονιάρης;
ἢ κάποιος τόνε τρόμαξε; ἢ καὶ ντροπὴ τὸν πῆρε
μέσα στὸν πύργο; Εἶναι κακὸς ὁ ντροπαλὸς ζητιάνος."
Κι ἐσὺ, Εὔμαιε χοιροβοσκέ, τῆς ἀποκρίθης κι εἶπες·
"Καλὰ στοχάζεται, ὦ κερά, κι ἔτσι θὰ κάναν ἄλλοι,
τῶν ἔρμων τὴν ἀποκοτιὰ μνηστήρω νὰ ξεφύγουν·
καὶ νὰ προσμείνης σοῦ μηνάει ὥσπου νὰ γείρη ὁ ἥλιος.
Καλύτερο, ὦ βασίλισσα, θαρρῶ 'ναι καὶ γιὰ σένα,
μονάχη σου νὰ τοῦ μιλᾶς, νὰ τὸν ἀκοῦς μονάχη."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γυρίζει καὶ τοῦ κρένει·
"Ὁ ξένος δὲν εἶν' ἄμυαλος· σωστὰ τὰ βλέπει ὁ νοῦς του·

οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται."
ἡ μὲν ἄρ᾽ ὣς ἀγόρευεν, ὁ δ᾽ ᾤχετο δῖος ὑφορβὸς
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ᾽ οἱ ἄλλοι·
"ὦ φίλ᾽, ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ᾽ ἐνθάδε πάντα μελόντων.

αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἡμῖν πῆμα γενέσθαι."

τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ἔσσεται οὕτως, ἄττα· σὺ δ᾽ ἔρχεο δειελιήσας·
ἠῶθεν δ᾽ ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει."
ὣς φάθ᾽, ὁ δ᾽ αὖτις ἄρ᾽ ἕζετ᾽ ἐϋξέστου ἐπὶ δίφρου,
πλησάμενος δ᾽ ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος
βῆ ῥ᾽ ἴμεναι μεθ᾽ ὕας, λίπε δ᾽ ἔρκεά τε μέγαρόν τε,
πλεῖον δαιτυμόνων· οἱ δ᾽ ὀρχηστυῖ καὶ ἀοιδῇ
τέρποντ᾽· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

τὶ ἄλλους δὲν ἔχει ἐδῶ θνητοὺς ἀνθρώπους
σὰν ἐτούτους,
νὰ συλλογιένται τὸ κακό, καὶ ν' ἀδικοῦν τὸν κόσμο."
Αὐτὰ εἶπε· κι ὁ χοιροβοσκὸς πρὸς τῶν μνηστήρων πῆγε
τὸ πλῆθος, ἅμα τέλειωσε μὲ τὴν κερὰ τὸ λόγο.
Καὶ τοῦ Τηλέμαχου λαλεῖ μὲ φτερωμένα λόγια,
σιμώνοντας τὴν κεφαλή, νὰ μὴν ἀκούσουν ἄλλοι·
"Ἐγὼ πηγαίνω τώρα ἐκεῖ τοὺς χοίρους νὰ φυλάξω
καὶ τ' ἄλλα, πού 'ναι τὸ ἔχει σου, καὶ τὸ δικό μου τὸ ἔχει·
κι ἐδῶ ἐσὺ τοῦτα φρόντιζε, καὶ πρῶτα τὸν ἑαυτό σου,
νὰ μὴ μᾶς πάθῃς τίποτα, τὶ ἔχουν πολλοὶ ἀπ' ἐτουτους
κακὸ σκοπὸ γιὰ λόγου σου· ποὺ ὁ Δίας νὰ τοὺς λυώση
πρὶ νὰ μᾶς ἔρθη τὸ κακὸ καὶ πρὶ μᾶς ξολοθρέψουν."
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησέ του κι εἶπε·
"Κυρούλη μου, ἔτσι θὰ γενῆ· ξεκίνα ἐσὺ τὸ γέρμα,
καὶ γύρισε αὔριο τὴν αὐγὴ μὲ τὰ καλὰ σφαχτά σου·
τὰ ἐδῶ θὰ τὰ φροντίσω ἐγὼ κι οἱ ἀθάνατοι σιμά μου."
Καὶ στὸ καλόφτιαστο θρονὶ κάθισε πάλε ἐκεῖνος·
κι ἀπὸ φαΐ κι ἀπὸ πιοτὸ σὰ χόρτασε ἡ καρδιά του,
στὴ χοιρομάντρα γύρισε, κι ἀφῆκε τὰ παλάτια,
γεμάτα κόσμο, ποὺ ἔτρωγαν καὶ ποὺ χαροκοποῦσαν
μὲ τὸ τραγούδι, μὲ χορούς, τὶ κόντευε τὸ βράδυ.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία σ

Ὀδυσσέως καὶ Ἴρου πυγμή.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

ἦλθε δ᾽ ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
πτωχεύεσκ᾽ Ἰθάκης, μετὰ δ᾽ ἔπρεπε γαστέρι μάργῃ
ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἴς
οὐδὲ βίη, εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
Ἀρναῖος δ᾽ ὄνομ᾽ ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ
ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
οὕνεκ᾽ ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι·
ὃς ῥ᾽ ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
"εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ.
οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ᾽ αἰσχύνομαι ἔμπης.
ἀλλ᾽ ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται."
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"δαιμόνι᾽, οὔτε τί σε ῥέζω κακὸν οὔτ᾽ ἀγορεύω,
οὔτε τινὰ φθονέω δόμεναι καὶ πόλλ᾽ ἀνελόντα.
οὐδὸς δ᾽ ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ

Κι ἦρθε ἕνας ζήτουλας κοινός, ποὺ στοῦ Θιακιοῦ τὴ χώρα
γύρνα ζητώντας, ξακουστὸς γιὰ τὴν ἀχορτασιά του·
ἔτρωγε κι ἔπινε ἄπαυα, μὰ δύναμη δὲν εἶχε
μήτ' ἀντρειοσύνη, ὅσο τρανὸς στὴν ὄψη κι ἃ φαινόταν.

Ἡ μάνα του τὸν ἔβγαλε σάνε γεννήθη Ἀρναῖο,
μὰ ὅλοι οἱ νέοι τὸν φώναζαν Ἶρο, τὶ τόνε στέλναν
κι ἔτρεχε σὰν τὴν Ἶριδα μηνύματα νὰ φέρη.
Ἀπ' τὸ παλάτι του ἦρθ' αὐτὸς τὸν Ὀδυσσέα νὰ διώξη,
καὶ τὸν κακόβριζε μ' αὐτὰ τὰ φτερωμένα λόγια.

"Φεύγα ἀπ' τὴν πόρτα, γέρο μου, νὰ μὴ σὲ ποδοσύρουν.
Δὲ βλέπεις πὼς μοῦ γνέφουνε αὐτοὶ ὅλοι μὲ τὸ μάτι
νὰ σὲ πετάξω; ὅμως ἐγὼ ντροπῆς μου σὰ νὰ τό 'χω.
Μὰ σῦρε ἃ δὲν ἀποθυμῆς στὰ χέρια νὰ πιαστοῦμε."

Καὶ λέει ἀγριοκοιτώντας τον ὁ τρίξυπνος Δυσσέας·
"Ἐγώ, μωρέ, ποτὲς κακὸ δὲ σοῦ 'πραξα μήτε εἶπα,
μὰ μήτε καὶ σοῦ ζήλεψα ποὺ παίρνεις τόσα δῶρα.
Κι οἱ δυό μας θὰ χωρέσουμε σ' ἐκεῖνο τὸ κατώφλι·

ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης
ὥς περ ἐγών, ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε γέρων περ ἐὼν στῆθος καὶ χείλεα φύρσω
αἵματος· ἡσυχίη δ᾽ ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ᾽ εἴη
αὔριον· οὐ μὲν γάρ τί σ᾽ ὑποστρέψεσθαι ὀΐω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος."
τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης·
"ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους· πῶς δ᾽ ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;"
ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.
τοῖϊν δὲ ξυνέηχ᾽ ἱερὸν μένος Ἀντινόοιο,
ἡδὺ δ᾽ ἄρ᾽ ἐκγελάσας μετεφώνει μνηστήρεσσιν·
"ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα.
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
χερσὶ μαχέσσασθαι· ἀλλὰ

ἂν κι ἄλλος ξένα μερικὰ ζητήση, τί ζουλεύεις;
Θαρρῶ ζητεύεις δὰ κ' ἐσύ, κι οἱ θεοὶ θὰ μᾶς πορέψουν.

Μὴ θὲς μαζί μου νὰ πιαστῆς, μὴν τύχη καὶ θυμώσω,
καὶ μ' ὅλα μου τὰ γερατειὰ σοῦ περιχύσω μ' αἷμα
τὰ χείλη καὶ τὰ στήθια σου· καὶ θά 'μουν συχασμένος
τὴν ταχινή, γιατὶ ὄρεξη δὲ θὰ σοῦ 'ρχόταν πάλε
νὰ ξαναμπῆς στ' ἀρχοντικὸ τοῦ γόνου τοῦ Λαέρτη."
Κι ὁ Ἶρος τότε ὁ ζήτουλας φωνάζει χολιασμένος·
"Ὤχου, καὶ πῶς μωρολογάει τρεχάτα ὁ ψωμοχάφτης,
σὰ χουχουλόγρια· θά 'θελα νὰ τόνε πιάσω ἀλήθεια,
καὶ μὲ τὰ δυὸ βαρώντας του, τὰ δόντια ἀπ' τὰ σαγόνια
σὰν τῆς γουρούνας νὰ πετῶ τῆς σπαρτοκαταλύτρας.
Ἔλα, καὶ ζώσου νὰ μᾶς δοῦν κι αὐτοὶ ὅλοι στὴν παλαίστρα· 30
καὶ πῶς στὴ μάχη ἀποκοτᾶς νὰ βγῆς μὲ νεώτερό σου;"

Ἔτσι ὀμπροστὰ στὶς ἀψηλὲς τὶς θύρες λογοφέρναν,
ἀπάνω στὸ πελεκητὸ στεκάμενοι κατώφλι.
Τοὺς ἄκουσε ἀπομέσαθε ὁ ἀντρόψυχος Ἀντίνος,
κι ἀπ' τὴν καρδιά του γέλασε, καὶ στοὺς μνηστῆρες εἶπε·
" Δὲ μᾶς συνέβηκε ἄλλοτες, ἀδέρφια, τέτοιο πρᾶμα,
μὲς στὰ παλάτια αὐτὰ ὁ θεὸς νὰ στέλνη τέτοιο γλέντι.
Στὰ χέρια πᾶνε νὰ πιαστοῦν ὁ ξένος μὲ τὸν Ἶρο·
μὰ ἐλᾶτε νὰ τοὺς σπρώξουμε νὰ φαγωθοῦν

ξυνελάσσομεν ὦκα."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
"κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω.
γαστέρες αἴδ' αἰγῶν κέατ' ἐν πυρί, τὰς ἐπὶ δόρπῳ
κατθέμεθα κνίσης τε καὶ αἵματος ἐμπλήσαντες·
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
αἰεὶ αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα."
ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
"ὦ φίλοι, οὔ πως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσθαι
ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
ὀτρύνει κακοεργός, ἵνα πληγῇσι δαμείω.
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
μή τις ἐπ' Ἴρῳ ἧρα φέρων ἐμὲ χειρὶ βαρείῃ
πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀπώμνυον ὡς ἐκέλευεν.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο·

οἱ δυό τους. ”
Εἶπε, καὶ τρέξαν ὅλοι τους γελώντας, καὶ τριγύρω
στοὺς φτωχοφορεμένους δυὸ ζητιάνους μαζωχτῆκαν
καὶ τότ' ἔτσι τοὺς μίλησε τοῦ Εὐπείθη ὁ γιὸς ὁ Ἀντίνος·
“Ἀκοῦστε αὐτὸ ποὺ θὰ σᾶς πῶ, λεβέντηδες μνηστῆρες.
Ἐχουμ' ἐδῶ γιδοκοιλιὲς πὰς στὴ φωτιὰ βαλμένες,
ποὺ μ' αἷμα τὶς γεμίσαμε καὶ ξύγγι γιὰ τὸ δεῖπνο·
ὅποιος νικήση ἀπὸ τοὺς δυό, καὶ βγῆ πιὸ παλληκάρι,
ἂς σηκωθῆ, κι ἀπ' τὶς κοιλιὲς ὅποια τοῦ ἀρέση ἂς πάρη·
κι ὕστερ' ἂς τρώη αὐτὸς μ' ἐμᾶς γιὰ πάντα, καὶ κανέναν
νά 'ρχεται μέσα νὰ ζητάη δὲ θέν' ἀφήνουμε ἄλλον.”
Αὐτά 'πε ὁ Ἀντίνος, κι ἄρεσαν τὰ λόγια του στοὺς ἄλλους. 50
Τότε ὁ Δυσσέας ὁ τρίξυπνος μὲ πονηριὰ τοὺς κρένει·
“ Παιδιά, σὲ ἀγώνα δὲν μπορεῖ νὰ βγῆ μὲ νεώτερό του
γέρος σὰ μένανε ἄνθρωπος καὶ κακοπαθιασμένος·
κι ὅμως ἡ ἄπιστη ἡ κοιλιὰ νὰ χτυπηθῶ μὲ βιάζει.
Ὡς τόσο ἐσεῖς ἀμῶστε μου μ' ὅρκο φριχτό, καὶ πῆτε
πὼς ἄνομα κανένας σας δὲ θὰ βοηθήση ἐτοῦτον
βαρώντας με, ἀποκάτω του πιὸ εὔκολα νὰ πέσω.”
Αὐτά εἶπε, κι ὅλοι ὁρκίστηκαν καθὼς αὐτὸς ζητοῦσε.
Καὶ στοὺς θεοὺς σὰν ἄμωσαν, καὶ πῆρε ὁ ὅρκος τέλος,
ξαναρχινάει ὁ γνωστικὸς Τηλέμαχος τὸ λόγο·

"ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μή τιν' Ἀχαιῶν
δείδιθ', ἐπεὶ πλεόνεσσι μαχήσεται ὅς κέ σε θείνῃ·
ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ' αἰνεῖτον βασιλῆες,
Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω."

ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον· αὐτὰρ Ὀδυσσεὺς
ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
καλούς τε μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι
στήθεά τε στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ἦ τάχα Ἶρος Ἄϊρος ἐπίσπαστον κακὸν ἕξει,
οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει."
ὣς ἄρ' ἔφαν, Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός.
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν τὸ γέρο, κι ἂς τὸν ἔφαγαν τὰ βάσανα ποὺ

"Ἂν θέλη ἡ ἀντρειωμένη σου ψυχὴ νὰ τὸν ξεκάνης,
ὦ ξένε, ἐτοῦτον, ἄλλονα μὴ φοβηθῆς κανένα,
τὶ θὰ παλαίψη μὲ πολλοὺς ἐσένα ὅποιος χτυπήση.
Ξένο μου σ' ἔχω, κι εἶναι δυὸ μαζί μας βασιλιάδες·
ὁ Ἀντίνος κι ὁ Εὐρύμαχος, ἄντρες κι οἱ δυὸ μὲ γνώση."
Αὐτά 'λεγε ὁ Τηλέμαχος, καὶ συμφωνοῦσαν ὅλοι·
κι ὁ Ὀδυσσέας τὴ γύμνια του μὲ τὰ κουρέλια δένει,
καὶ δείχνει τότες τὰ ὄμορφα καὶ τὰ παχιὰ μεριά του,
καὶ φάνηκαν τὰ διάπλατα τὰ στήθια του κι οἱ ὦμοι,
καὶ τὰ βραχιόνια τὰ γερά· ζυγώνει κι ἡ Παλλάδα
σιμά καὶ τὸ βασιλικὸ κορμί του μεγαλώνει.
Θαμάσανε κι ἀπόμειναν τότε οἱ μνηστῆρες ὅλοι,
καὶ γύριζε ἕνας κι ἔλεγε τὸν πλαγινὸ κοιτώντας·
"Καὶ τί κακὸ ποὺ γύρεψε νὰ πάθη ὁ καψο-Ἶρος.
Γιὰ δὲς μερὶ ποὺ κρύβανε τοῦ γέρου τὰ κουρέλια."
Αὐτὰ εἶπαν, καὶ ταράχτηκε μέσα ἡ καρδιά τοῦ Ἶρου,
Ὅμως ἀφοῦ τὸν ἔζωσαν, τὸν φέραν τὰ κοπέλια
μὲ τὸ στανιό, τὶ σύγκορμος τρεμούλιαζε ἀπ' τὸ φόβο.
Κι ὁ Ἀντίνος τόνε μάλωσε κι ὀνόμασέ τον κι εἶπε·
"Καὶ νὰ μὴν εἶχες γεννηθῆ βουβάλι φουσκωμένο,
ποὺ αὐτὸν ἐσὺ τὸν ἄνθρωπο φοβᾶσαι καὶ τρομάζεις,

ἱκάνει.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κέν σ᾽ οὗτος νικήσῃ κρείσσων τε γένηται,
πέμψω σ᾽ ἤπειρόνδε, βαλὼν ἐν νηὶ μελαίνῃ,
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
ὅς κ᾽ ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ,
μήδεά τ᾽ ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι."
ὣς φάτο, τῷ δ᾽ ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα.
ἐς μέσσον δ᾽ ἄναγον· τὼ δ᾽ ἄμφω χεῖρας ἀνέσχον.
δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεὺς
ἦ ἐλάσει᾽ ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
ἦέ μιν ἦκ᾽ ἐλάσειε τανύσσειέν τ᾽ ἐπὶ γαίῃ.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ἦκ᾽ ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ᾽ Ἀχαιοί.
δὴ τότ᾽ ἀνασχομένω ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ᾽ αὐχέν᾽ ἔλασσεν ὑπ᾽ οὔατος, ὀστέα δ᾽ εἴσω
ἔθλασεν· αὐτίκα δ᾽ ἦλθε κατὰ στόμα φοίνιον αἷμα,
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, σὺν δ᾽ ἄλασ᾽ ὀδόντας
λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον.
αὐτὰρ Ὀδυσσεὺς
ἕλκε διὲκ προθύροιο λαβὼν ποδός, ὄφρ᾽ ἵκετ᾽ αὐλήν,
αἰθούσης τε θύρας· καί μιν ποτὶ ἕρκίον αὐλῆς
τοῦ 'ρθαν.
Μὰ ἐγὼ ἕνα λόγο θὰ σοῦ πῶ, κι αὐτὸ ποὺ πῶ θὰ γίνη,
Ἂ σὲ καταπονέση αὐτός, καὶ βγῆ πιὸ παλληκάρι,
θένα σὲ στείλω στὴ στεριὰ μὲ μελανὸ καράβι,

στὸ βασιλέα τὸν Ἔχετο, τοῦ κόσμου ἀδικοπράχτη,
μύτη κι αὐτιὰ νὰ κόψη σου μ' ἀλύπητο μαχαίρι,
καὶ βγάζοντάς σου τὰ κρυφὰ τὰ ρίξη ὠμὰ στοὺς σκύλους. ″
Εἶπε, κι ἐκεῖνον πιότερη τὸν ἔπιασε τρομάρα,
στὴ μέση σὰν τὸν ἔφερναν. Τότες οἱ δυὸ τὰ χέρια

σηκώσανε, κι ἀνάδευε στὸ νοῦ του ὁ Ὀδυσσέας,
νὰ τὸν χτυπήση, ποὺ νεκρὸς στὸν τόπο ἐκεῖ νὰ μείνη,
ἢ μ' ἕνα βάρεμα ἀλαφρὸ νὰ τόνε στρώση χάμου.
Καὶ συλλογιώντας ἔκρινε πιὸ φρόνιμο πὼς ἦταν
νὰ δώση βάρεμα ἀλαφρό, μὴν τόνε νιώσουν οἱ ἄλλοι.
Σηκώνουν χέρι, καὶ χτυπάει στὸν δεξιὸν ὦμο ὁ Ἶρος.
Στὸ ζνίχι κι ὁ Δυσσέας χτυπάει, κατὰ τ' αὐτὶ ἀποκάτου,
καὶ μέσα σπάει τὰ κόκαλα· καὶ κόκκινο αἷμα τρέχει
ἀπὸ τὸ στόμα. Βόγγησε κι ἔπεσε χάμου ὁ Ἶρος,
τὰ δόντια τρίζοντας καθὼς τὰ χώματα κλωτσοῦσε.
Σηκώσανε τὰ χέρια τους οἱ ξέλαμπροι μνηστῆρες,
κι ἀπὸ τὰ γέλια ἀπέθαναν. Τὸν παίρνει ἀπὸ τὸ πόδι,
καὶ μέσ' ἀπὸ τὸ πρόθυρο καταόξω σέρνοντάς τον,

εἶσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρί,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

"ἐνταυθοῖ νῦν ἧσο σύας τε κύνας τ' ἀπερύκων,
μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι
λυγρὸς ἐών, μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ."
ἦ ῥα καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
ἂψ δ' ὅ γ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
ἡδὺ γελώοντες καὶ δεικανόωντ' ἐπέεσσι·
"Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ,
ὅς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων."
ὣς ἄρ' ἔφαν, χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν,
ἐμπλείην κνίσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας
καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
"χαῖρε, πάτερ ὦ ξεῖνε, γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι

ὁ Ὀδυσσέας τὸν ἔφερε στῶν παλατιῶν τὶς θύρες·
καὶ γέρνοντάς τον στῆς αὐλῆς τὸν τοῖχο, κάθισέ τον,
ραβδὶ στὸ χέρι τοῦ 'βαλε, καὶ φώναξε τον κι εἶπε·
"Κάθου αὐτοῦ τώρα, τὰ σκυλιὰ νὰ διώχνης καὶ τοὺς χοίρους,
καὶ μὴ μοῦ βγαίνης φύλακας τῶν ξένων καὶ ζητιάνων,
χαμένε, πιὸ χειρότερα γιὰ νὰ μή σοῦ 'ρθουν πάθια."
Αὐτά εἶπε, καὶ παλιὸν τορβὰ γεμάτο τρύπες ρίχτει
στοὺς ὤμους του, μὲ πρόστυχο σκοινί, γιὰ κρεμαστήρι,
καὶ στὸ κατώφλι γύρισε καὶ κάθισε. Κι οἱ ἄλλοι
μὲ γέλια μπήκανε πολλὰ καὶ τόνε προσμιλοῦσαν·
"Ὁ Δίας κι οἱ ἀθάνατοι νὰ σοῦ χαρίζουν, ξένε,
ὅ,τι ἐσὺ πιότερο ποθεῖς, κι ὅ,τι ζητάει ἡ καρδιά σου,
ποὺ ἐτοῦτον τὸν ἀχόρταγο νὰ τρέχη δὲν ἀφῆκες
στὴ χώρα μέσα· στὴ στεριὰ θένα σταλθῆ μὲ πλοῖο,
στὸ βασιλέα τὸν Ἔχετο, τοῦ κόσμου ἀδικοπράχτη".
Εἶπαν καὶ χάρηκε ὁ λαμπρὸς Δυσσέας στὰ λόγια ἐκεῖνα.
Κι ὁ Ἀντίνος ἔβαλε τρανὴ μπρός του κοιλιὰ γεμάτη
αἷμα καὶ ξύγγι· δυὸ ψωμιὰ κι ὁ Ἀμφίνομος τοῦ φέρνει
ἀπ' τὸ πανέρι, μὲ χρυσὸ τὸν χαιρετάει ποτήρι,
καὶ λέει του· "Γειά σου, ὦ ξένε μας πατέρα, καὶ νὰ σοῦ 'ρθουν
καλὰ στερνά· γιατ' εἶν' πολλὰ τὰ βάσανά σου τώρα".

πολέεσσι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
τοίου γὰρ καὶ πατρός, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν ἀφνειόν τε·
τοῦ σ' ἔκ φασι γενέσθαι, ἐπητῇ δ' ἀνδρὶ ἔοικας.
τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὅφρ' ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ·
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.
καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
πολλὰ δ' ἀτάσθαλ' ἔρεξα βίῃ καὶ κάρτεϊ εἴκων,
πατρί τ' ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισι.
τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅ γε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.
οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
κτήματα κείροντας καὶ ἀτιμάζοντας ἄκοιτιν

Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας κι ἀπάντησέ του·
"Ἀμφίνομε, ἄνθρωπος ἐσὺ μοῦ φαίνεσαι μὲ γνώση·
τέτοιο ὄνομα ἄκουγα λαμπρὸ πὼς εἶχε κι ὁ γονιός σου,
ὁ πλούσιος κι ὁ καλόκαρδος ὁ Δουλιχιώτης Νῖσος·
ἐκείνου λέγεσαι παιδί, καὶ σὰ λεβέντης μοιάζεις.
Καὶ τώρα λόγο θὰ σοῦ πῶ, ποὺ ἐσὺ καλάκουσέ τον.
Ἀπ' ὅσα ζοῦν καὶ σέρνουνται πάνω στὴ γῆς, κανένα
ἀπ' τὸ θνητὸ πιὸ ἀδύναμο δὲ βρίσκεται ἄλλο πλάσμα.
Ὅσο βαστιέται κι οἱ θεοὶ καλοτυχιὰ τοῦ δίνουν,
θαρρεῖ πὼς δὲν μπορεῖ κακὸ στὸν κόσμο πιὰ νὰ πάθη·
ἂν ὅμως οἱ μακαριστοὶ θεοὶ τοῦ φέρουν λύπες,
τότες κι ἀθέλητα μπορεῖ καὶ τὶς βαστάει ἡ καρδιά του.
Τὶ ἀλλάζει τῶν θνητῶν ὁ νοῦς κι αὐτὸς κατὰ τὴ μέρα,
ποὺ τοὺς χαρίζει τῶν θεῶν κι ἀνθρώπων ὁ πατέρας.
Θά 'χα κι ἐγὼ καλοτυχιὲς καὶ πλούτια μὲς στὸν κόσμο,
μὰ μύριες ἔπραξα ἀνομιὲς μὲ τῆς ἀντρειᾶς τὴν τόλμη,
κι ἀπὸ τὴν πίστη τὴν πολλὴ σὲ ἀδέρφια καὶ πατέρα.
Λοιπὸν ποτές του τὸ ἄδικο νὰ μὴ ζητάη κανένας,
μόν' ἂς τὰ χαίρεται ἥσυχα ὅσα οἱ θεοὶ τοῦ δίνουν.
Καὶ τώρα βλέπω τί ἀνομιὲς σοφίζουνται οἱ μνηστῆρες,
ποὺ καταλοῦν τὰ χτήματα, καὶ βρίζουν τὴ γυναίκα

ἀνδρός, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν. ἀλλά σε δαίμων
οἷκαδ᾽ ὑπεξαγάγοι, μηδ᾽ ἀντιάσειας ἐκείνῳ,
ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω
μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ."
ὣς φάτο, καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον,
ἂψ δ᾽ ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
αὐτὰρ ὁ βῆ διὰ δῶμα φίλον τετιημένος ἦτορ,
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
ἀλλ᾽ οὐδ᾽ ὣς φύγε κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
τῇ δ᾽ ἄρ᾽ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
θυμὸν μνηστήρων ἰδὲ τιμήεσσα γένοιτο
μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος ἢ πάρος ἦεν.
ἀχρεῖον δ᾽ ἐγέλασσεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔ τι πάρος γε,
μνηστήρεσσι φανῆναι,
ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε

ἐκείνου, ποὺ θαρρῶ μακριὰ ἀπὸ φίλους καὶ πατρίδα
δὲ βρίσκεται· καὶ μάλιστα κοντά 'ναι· ἐσένα τότες
θεὸς ἂς φέρη σπίτι σου, νὰ μὴν τὸν ἀντικρύσης
τὴν ὥρα ποὺ στὴν ποθητὴ πατρίδα του γυρίση·
τὶ στὸ παλάτι του ἅμα αὐτὸς πατήση, δίχως αἷμα
σοῦ λέω πὼς δὲ θὰ χωριστοῦν ἐκεῖνος κι οἱ μνηστῆρες ".

Αὐτὰ εἶπε, καὶ σὰν ἔσταξε κι ἤπιε κρασὶ καὶ φράνθη,
ξανάθεσε στοῦ βασιλιᾶ τὰ χέρια τὸ ποτήρι.
Τότες αὐτὸς βαριόκαρδος περπάταε μὲς στὸν πύργο,
σκυμμένο τὸ κεφάλι του, γιατὶ κακὸ φοβόταν.
Μὰ κι ἔτσι δὲν τὸν ξέφυγε τὸ χάρο· τὶ ἡ Παλλάδα
μὲ τ' ὅπλο τοῦ Τηλέμαχου τὸν ἔκαμε νὰ πέση·
καὶ πῆγε ξανακάθισε στὸ θρόνο ποὺ εἶχε ἀφήσει.
Τότες τῆς ἔβαλε στὸ νοῦ ἡ θεὰ ἡ γαλανομάτα,
τῆς φρόνιμης βασίλισσας καὶ κόρης τοῦ Ἰκαρίου,
μπρὸς στοὺς μνηστῆρες νὰ φανῆ, κι ἐλπίδα στὴν ψυχή τους
νὰ φέρη μεγαλύτερη, καὶ λατρευτὴ νὰ γίνη
στὸ γιό της καὶ στὸν ἄντρα της περσότερο ἀπὸ πρῶτα.
Καὶ λαφρογέλασε ἄκαρδα, καὶ στὴν κελάρισσα εἶπε·
" Θέλει, Εὐρυνόμη, ὅσο ἄλλοτες δὲν ἤθελε ἡ καρδιά μου,
μπρὸς στοὺς μνηστῆρες νὰ φανῶ, κι ἂς εἶν' καὶ μισητοί μου,
καὶ στὸ παιδάκι μου νὰ πῶ δυὸ λόγια γιὰ

κέρδιον εἴη,
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
οἵ τ᾽ εὖ μὲν βάζουσι, κακῶς δ᾽ ὄπιθεν φρονέουσι."
τὴν δ᾽ αὖτ᾽ Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
"ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ᾽ ἴθι καὶ σῷ παιδὶ ἔπος φάο μηδ᾽ ἐπίκευθε,
χρῶτ᾽ ἀπονιψαμένη καὶ ἐπιχρίσασα παρειάς·
μηδ᾽ οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
ἔρχευ, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι."
τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
χρῶτ᾽ ἀπονίπτεσθαι καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
ἀγλαΐην γὰρ ἐμοί γε θεοί, τοὶ Ὄλυμπον ἔχουσιν,
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
οἵη δ᾽ οὐκ εἴσειμι μετ᾽ ἀνέρας· αἰδέομαι γάρ."
"ὣς ἄρ᾽ ἔφη, γρηὺς δὲ διὲκ μεγάροιο βεβήκει
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·

καλό του,
νὰ μὴν πολυξανοίγεται μὲ τοὺς κακούς μνηστῆρες,
ποὺ πάντα τοῦ γλυκομιλοῦν, μὰ κρύβει μαῦρα ὁ νοῦς τους.”
Καὶ τότες ἡ κελάρισσα της εἶπε ἡ Εὐρυνόμη·
“ Καλὰ καὶ συσταζούμενα τὰ λὲς αὐτά, παιδί μου,
κι ἄμε τοῦ γιοῦ σου νὰ τὰ πῆς, κρυφὰ μὴν τὰ φυλάγης·
μὰ νίψου πρῶτα, κι ἄλειψε τὴν ὄψη σου μὲ λάδι,
μὴν ἔρχεσαι μὲ πρόσωπο θαμπὸ καὶ δακρυσμένο,
τ' εἶναι κακὸ νὰ φαίνεσαι πάντα γιομάτη πίκρα,
τώρα δὰ ποὺ ἄντρας γένηκε, στοὺς θεοὺς καθὼς τὸ εὐκόσουν,
μιὰ μέρα νὰ τὸν ἀξιωθῆς μὲ γένια φυτρωμένα.”
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γύρισε τότες κι εἶπε·
“Ἂν καὶ πονῆς με, ὅμως αὐτὰ μὴ μοῦ τὰ λές, καλή μου,
ἐγὼ μαθὲς νὰ νίβουμαι, τὴν ὄψη μου ν' ἀλείβω·
τὶ ἐμένα οἱ θεοὶ οἱ ἀθάνατοι τὰ κάλλη μου ἀφανίσαν,
ἀφότου ἐκεῖνος ἔφυγε μὲ τὰ βαθιὰ καράβια.
Μόνε τῆς Ἱπποδάμειας πὲς καὶ τῆς Αυτονόης,
νά 'ρθουν νὰ μὲ παρασταθοῦν μὲς στὸ παλάτι οἱ δυό τους
τὶ ντρέπουμαι μονάχη μου νὰ πάω στοὺς ἄντρες μέσα.”
Εἶπε, καὶ διάβηκε ἡ γριὰ πομέσα ἀπ' τὸ παλάτι,
νὰ πάη νὰ δώση μήνυμα τῶ γυναικῶνε νά 'ρθουν.
Τότε ἄλλο συλλογίστηκε ἡ θεὰ ἡ γαλανομάτα·

κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν,
εὖδε δ᾽ ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἄψεα πάντα
αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ᾽ ἄρα δῖα θεάων
ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ᾽ Ἀχαιοί.
κάλλεϊ μέν οἱ πρῶτα προσώπατα καλὰ κάθηρεν
ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
χρίεται, εὖτ᾽ ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι,
λευκοτέρην δ᾽ ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος.
ἡ μὲν ἄρ᾽ ὡς ἔρξασ᾽ ἀπεβήσετο δῖα θεάων,
ἦλθον δ᾽ ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
καί ῥ᾽ ἀπομόρξατο χερσὶ παρειὰς φώνησέν τε·
"ἦ με μάλ᾽ αἰνοπαθῆ μαλακὸν περὶ κῶμ᾽ ἐκάλυψεν.
αἴθε μοι ὡς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
αὐτίκα νῦν, ἵνα μηκέτ᾽ ὀδυρομένη κατὰ θυμὸν
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετήν, ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν."
ὣς φαμένη κατέβαιν᾽ ὑπερῴϊα σιγαλόεντα,
οὐκ οἴῃ· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾽ ἕποντο.
ἡ δ᾽ ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα

μὲ ὕπνο γλυκὸ περέχυσε τοῦ Ἰκάριου τὴν κόρη,
καὶ πλάγιασε, κοιμήθηκε, καὶ λύθηκαν οἱ ἁρμοί της
καθὼς κοιτότανε· κι ἡ θεὰ μὲ δῶρα τὴ στολίζει
ἀθάνατα, ποὺ οἱ Ἀχαιοὶ θωρώντας, νὰ θαμάζουν.
Καὶ πρῶτα ἀμάραντη ὀμορφιὰ στὴν ὄψη της ἁπλώνει,
σὰν τῆς ὡριοστεφάνωτης τὴν ὀμορφιά Κυθέρειας,
στὸν ἐρωτιάρικο χορὸ σὰν μπαίνη τῶ Χαρίτων·

τὴν ἔκαμε καὶ πιὸ ἁψηλή, καὶ πιὸ τρανὴ στὴν ὄψη,
κι ἀπ' τὸ κοφτὸ τὸ φίλντισι πιὸ λαμπερὴ καὶ πιὸ ἄσπρη.
Αὐτὰ σὰν ἔκαμε, ἔφυγε ἡ θεὰ ἡ γαλανομάτα·
κι ἀπ' τὸ παλάτι φτάσανε οἱ ἀσπροχεροῦσες βάγιες,
κι ἀπ' τὸν κατάγλυκο ὕπνο της τὴν ξύπνησε ἡ φωνή τους.

Τὴν ὄψη μὲ τὰ χέρια της ἔτριψε τότες, κι εἶπε·

"'Ὕπνος ποὺ μ' ηὗρε μαλακὸς τὴν κακοπαθιασμένη.
Μακάρι τέτοιο θάνατο νὰ μοῦ 'δινε ἡ παρθένα
ἡ Ἄρτεμη, ποὺ ὁλοζῶς στὰ δάκρυα νὰ μή λυώνω,
τὶς χάρες τὶς ἀρίθμητες ποθώντας τοῦ ἀκριβοῦ μου
τοῦ ἀντρός, ποὺ ἀπ' ὅλους ἤτανε τοὺς Ἀχαιοὺς ὁ πρῶτος."
Αὐτὰ σὰν εἶπε, ἀπ' τὰ λαμπρὰ κατέβηκε τ' ἀνώγια,
μόνη της ὄχι· ἀντάμα της δυὸ βάγιες κατεβῆκαν.
Κι ἡ ζουλεμένη ἀρχόντισσα σὰν πῆγε στοὺς μνηστῆρες,
σιμὰ στὸ στύλο στάθηκε τῆς δουλεμένης

ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ᾽ ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
τῶν δ᾽ αὐτοῦ λύτο γούνατ᾽, ἔρῳ δ᾽ ἄρα θυμὸν ἔθελχθεν,
πάντες δ᾽ ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
ἡ δ᾽ αὖ Τηλέμαχον προσεφώνεεν, ὃν φίλον υἱόν·
"Τηλέμαχ᾽, οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα·
παῖς ἔτ᾽ ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε᾽ ἐνώμας·
νῦν δ᾽, ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις,
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς;
σοί κ᾽ αἶσχος λώβη τε μετ᾽ ἀνθρώποισι πέλοιτο."
τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ᾽ ἔτι νήπιος ἦα.
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·

στέγης,
σηκώνοντας στὸ πρόσωπο τὸ λαμπερὸ φακιόλι,
μὲ τὶς παραστεκάμενες ἀπὸ τὶς δυὸ πλευρές της.
Κι ἐκεῖνοι, γλυκοτρέμοντας ἀπ' τὴν πολλὴ λαχτάρα,
εὐκόταν τὴν ἀγάπη της μιὰ μέρα νὰ χαροῦνε.
Καὶ τότες αὐτὴ μίλησε τοῦ ἀκριβογιοῦ της, κι εἶπε·
" Σοῦ 'φυγε ὁ νοῦς, Τηλέμαχε, καὶ λογισμὸ δὲν ἔχεις.
Παιδὶ σὰν ἤσουν, πιότερα σοφίζουνταν ὁ νοῦς σου·
καὶ τώρα ποὺ μεγάλωσες, καὶ παλληκάρι γίνης,
κι ὅποιος τηράει τὴν ὁμορφιὰ καὶ τὴν κορμοστασιά σου
θὰ πῇ πὼς εἶσαι ἀρχόντου γιός, ὅμως δὲν ἔχεις τώρα
τὰ φρένα σου σὰν ἄλλοτες, καὶ λείπει ὁ λογισμός σου.
Δές, πῶς αὐτὸ τὸ κάμωμα μὲς στὸ παλάτι ἀφῆκες
νὰ γίνη· ξένος ἄξαφνα νὰ κακοπάθη ὀμπρός σου.
Μὰ ἂν πάθαινε μαθὲς κι αὐτὸς ποὺ κάθεται ἐκεῖ τώρα,
παρόμοιο μεταχείρισμα σκληρὸ μὲς στὸ παλάτι,
πόση ἀτιμιά, καὶ τί ντροπὴ σ' ὅλον τὸν κόσμο θά 'χες. "
Κι ὁ γνωστικὸς Τηλέμαχος γυρίζει καὶ τῆς κρένει·
" Δὲν τὸ παραξενεύουμαι, μανοὺλα, ποὺ χολώνεις·
μὰ ὅλα στὸ νοῦ μου τά 'χω ἐγώ, κι ὅλα τὰ ξεδιαλύνω,
καὶ τὸ καλὸ καὶ τὸ κακό, τὶ πιὰ μωρὸ δὲν εἶμαι.
Ὅμως σωστὰ τὸ καθετις δὲ δύνομαι νὰ κρίνω,

ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ᾽ οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι, βίῃ δ᾽ ὅ γε φέρτερος ἦεν.
αἴ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
οἱ δ᾽ ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος κεῖνος ἐπ᾽ αὐλείῃσι θύρῃσιν
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικώς,
οὐδ᾽ ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι
οἴκαδ᾽, ὅπη οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Εὐρύμαχος δ᾽ ἐπέεσσι προσηύδα Πηνελόπειαν·
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
εἰ πάντες σε ἴδοιεν ἀν᾽ Ἴασον Ἄργος Ἀχαιοί,
πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
ἠῶθεν δαινύατ᾽, ἐπεὶ περίεσσι γυναικῶν
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια·
"Εὐρύμαχ᾽, ἦ τοι ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον

τὶ ἄλλος ἐδῶ κι ἄλλος ἐκεῖ τὰ φρένα μου σαστίζουν,
αὐτοὶ ἐδῶ οἱ κακόβουλοι, κι ἐγὼ βοηθοὺς δὲν ἔχω.
Ὡς τόσο σὰν ποὺ θέλανε δὲν τέλειωσε τοῦ ξένου
καὶ τοῦ Ἴρου ἡ μάχη· πιὸ γερὸς καὶ δυνατὸς ὁ ξένος.
Ἄχ, Δία πατέρα, κι Ἀθηνᾶ, κι Ἀπόλλωνα, ἂς μποροῦσα
νὰ δῶ μὲς στὰ παλάτια μας ἐτούτους τοὺς μνηστῆρες
νὰ γέρνουν τὰ κεφάλια τους πεσμένοι ἄλλοι ἐδῶ μέσα,
ἄλλοι παρόξω στὴν αὐλή, κορμιὰ παραλυμένα,
καθὼς κι ὁ Ἶρος κάθεται κεῖ στῆς αὐλῆς τὴ θύρα,
καὶ γέρνει τὸ κεφάλι του σὰ νά 'ταν μεθυσμένος,
κι ὄρθιος στὰ πόδια νὰ σταθῆ δὲ δύνεται, καὶ μήτε
νὰ σύρη πίσω σπίτι του, κορμὶ παραλυμένο."
Αὐτὰ λαλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσο τους·
καὶ μίλησε ὁ Εὐρύμαχος τῆς Πηνελόπης κι εἶπε·
"Ὦ Πηνελόπη φρόνιμη, τοῦ Ἰκάριου θυγατέρα,
ἂν ὅλοι τοῦ Ἄργους οἱ Ἀχαιοὶ σὲ βλέπανε δωπέρα,
πιότεροι θὰ τρωγόπιναν μνηστῆρες στὰ παλάτια
τ' ἀπόταχο, γιατ' εἶσαι ἐσὺ τῶ γυναικῶν ἡ πρώτη,
στὸ κάλλος καὶ στ' ἀνάστημα, καὶ στὰ σωστά σου φρένα."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Εὐρύμαχε, τὶς χάρες μου, τὰ κάλλη, τὸ κορμί μου,
τ' ἀφάνισαν οἱ ἀθάνατοι, στὴν Τρωάδα σὰν

εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ᾽ ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ᾽ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ᾽ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἦ μὲν δὴ ὅτε τ᾽ ἦε λιπὼν κάτα πατρίδα γαῖαν,
δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
"ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ᾽ ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
τῷ οὐκ οἶδ᾽ ἤ κέν μ᾽ ἀνέσει θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ᾽ ἐνθάδε πάντα μελόντων.
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
ὡς νῦν, ἠ ἔτι μᾶλλον ἐμεῦ ἀπονόσφιν ἐόντος·
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
γήμασθ᾽ ᾧ κ᾽ ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
"κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
νὺξ δ᾽ ἔσται ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
οὐλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.

κινῆσαν
οἱ Ἀργῖτες, καὶ μ' αὐτοὺς μαζὶ κι ὁ ἄντρας μου ὁ Δυσσέας.
Ἐκεῖνος ἂν ἐρχότανε τὴ ζωή μου νὰ φροντίζη,
πιὸ δοξασμένο καὶ λαμπρὸ θένα' ταν τ' ὄνομά μου.
Τώρα ἔχω λύπες, τὶ πολλὰ δεινὰ μοῦ φέρνει ἡ μοῖρα.
Ἄχ, τότες ποὺ ἀπ' τὴν ποθητὴ πατρίδα ξεκινοῦσε,
θυμᾶμαι πὼς ἀπ' τὸ δεξὶ μ' ἔπιασε χέρι, κι εἶπε·
" Γυναίκα, δὲ στοχάζουμαι πὼς οἱ φτερόποδοι ὅλοι
Ἀχαιοὶ θένα γυρίσουνε γεροὶ ἀπὸ τήν Τρωάδα·
τὶ λὲν πὼς πολεμόχαροι κι οἱ Τρωαδῖτες ὄντας,
κι ἀπὸ κοντάρι ξέρουνε, κι ἀπὸ δοξάρι νιώθουν
καὶ σὲ γοργόποδα ἄλογα ἀνεβαίνουν, καὶ τὸν ὅμοιο
ἀποφασίζουν μονομιὰς ἀγώνα τοῦ πολέμου.
Ἔτσι, δὲν ξέρω ἂν ὁ θεὸς θ' ἀφήση νὰ γυρίσω,
ἢ ἐκεῖ στὴν Τροία ἂν θὰ χαθῶ· κι ἐδῶ σὺ νοιάζου τα ὅλα,
τὴ μάνα καὶ τὸν κύρη μου σὰν τώρα φρόντιζέ τους,
ἢ καὶ καλύτερα, ὅσο 'γὼ βρίσκουμ' ἐκεῖ στὰ ξένα·
καὶ τοῦ παιδιοῦ μας ἅμα δῆς τὰ γένια νὰ φυτρώνουν
τότε ἄφησε τὸ σπίτι σου, πάρε ὅποιον θέλεις ἄντρα."
Ἐκεῖνος τέτοια μοῦ 'λεγε, κι ὅλα τελιοῦνται τώρα,
κι ἡ νύχτα δὲ θ' ἀργήση πιὰ τοῦ μαύρου γάμου ἐμένα,
τῆς ἔρμης, ποὺ μοῦ τό 'σβησε τὸ ριζικό μου ὁ Δίας.

ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·
οἵ τ᾽ ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι καὶ ἀλλήλοις ἐρίσωσιν,
αὐτοὶ τοί γ᾽ ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
ἀλλ᾽ οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν."
ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
μειλιχίοις ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα.
τὴν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
δῶρα μὲν ὅς κ᾽ ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ᾽ ἐνεῖκαι,
δέξασθ᾽. οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
ἡμεῖς δ᾽ οὔτ᾽ ἐπὶ ἔργα πάρος γ᾽ ἴμεν οὔτε πῃ ἄλλῃ,
πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν ὅς τις ἄριστος."
ὣς ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος·
δῶρα δ᾽ ἄρ᾽ οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
ποικίλον· ἐν δ᾽ ἄρ᾽ ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
χρύσειαι, κληῖσιν ἐϋγνάμπτοις ἀραρυῖαι.
ὅρμον δ᾽ Εὐρυμάχῳ πολυδαίδαλον

Μὰ κι ἄλλος πόνος φοβερὸς ἀγγίζει τὴν καρδιά μου·
τέτοιες δὲν εἶχαν ἄλλοτες συνήθειες οἱ μνηστῆρες·
ἀρχοντοκόρη ἂν θέλανε νὰ πάρουν ζουλεμένη,
κι ἀνάμεσό τους μάχονταν ποιὸς νὰ τὴν κάμη νύφη,
βόδια μαζί τους φέρνανε κι ἀρνιὰ καλοθρεμμένα,
γιὰ τοὺς δικοὺς τῆς κορασιᾶς, κι ὥρια τῆς δίναν δῶρα,
μὰ ξένα πλούτια χάρισμα δὲν τρώγανε ποτές τους."
Αὐτὰ εἶπε, κι ὁ πολύπαθος χαιρότανε Ὀδυσσέας,
ποὺ πάσκιζε τὰ δῶρα τους νὰ πάρη, καὶ μὲ λόγια
γλυκὰ γλυκὰ τοὺς μάγευε, μὰ ὁ νοῦς της ἄλλα ζήτα.
Κι ὁ Ἀντίνος τοῦ Εὐπείθη ὁ γιὸς ἀπάντησέ της κι εἶπε·
"Ὦ Πηνελόπη φρόνιμη, τοῦ Ἰκάριου θυγατέρα,
ὅποιος ἐδῶ ἀπ' τοὺς Ἀχαιοὺς θέλει νὰ φέρνη δῶρα,
δέχου τα· δὲν εἶναι καλὸ χαρίσματα ν' ἀρνιέσαι·
μὰ ἐμεῖς, μήτε στὰ χτήματα, μήτε κι ἀλλοῦ δὲν πᾶμε,
πρὶ νὰ διαλέξης ἄντρα σου τῶν Ἀχαιῶν τὸν πρῶτο."
Αὐτά 'πε ὁ Ἀντίνος, κι ἄρεσαν τὰ λόγια του στοὺς ἄλλους,
κι ἔστειλαν ὅλοι κήρυκα τὰ δῶρα νὰ τοὺς φέρη.
Τοῦ Ἀντίνου πέπλο φέρανε πανώριο καὶ μεγάλο,
καὶ πλουμιστό, μὲ δώδεκα μαλαματένιες κόπτσες
ποὺ στὰ θηλύκια ταίριαζαν τὰ ὁμορφολυγισμένα.
Τοῦ Εὐρύμαχου περίτεχνη τοῦ φέραν

αὐτίκ᾽ ἔνεικε.
χρύσεον, ἠλέκτροισιν ἐερμένον ἠέλιον ὡς.
ἕρματα δ᾽ Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
τρίγληνα μορόεντα· χάρις δ᾽ ἀπελάμπετο πολλή.
ἐκ δ᾽ ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.
ἄλλο δ᾽ ἄρ᾽ ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
ἡ μὲν ἔπειτ᾽ ἀνέβαιν᾽ ὑπερῴϊα δῖα γυναικῶν,
τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα
οἱ δ᾽ εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο, μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν,
ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ,
καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ᾽ ἀνέφαινον
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος.
αὐτὰρ ὁ τῇσιν
αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
"δμῳαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
ἔρχεσθε πρὸς δώμαθ᾽, ἵν᾽ αἰδοίη βασίλεια·
τῇ δὲ παρ᾽ ἠλάκατα στροφαλίζετε, τέρπετε δ᾽ αὐτὴν
ἧμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·

ἁλυσίδα,
κεχριμπαρένια καὶ χρυσή, ποὺ ἔφεγγε σὰν τὸν ἥλιο.
Οἱ δοῦλοι τοῦ Εὐρυδάμαντα δυὸ σκουλαρίκια φέραν,
μὲ τρία σὰ μοῦρα, ὁλόλαμπρα, πετράδια τὸ καθένα.
Κι ὁ βασιλέας ὁ Πείσαντρος, ὁ γιὸς τοῦ Πολυχτόρου,
δῶρο ἔστειλε πανόμορφο σφανταχτερὸ γιορντάνι.
Ὅμοια κι οἱ ἄλλοι οἱ Ἀχαιοὶ προσφέρνανε στολίδια.
Κατόπι ἡ θεία ἡ δέσποινα στ᾽ ἀνώγια της ἀνέβη,
κι οἱ βάγιες ἀκολούθησαν μὲ τὰ πανώρια δῶρα.
Ἐκεῖνοι πάλε μὲ χορούς καὶ μὲ γλυκὰ τραγούδια
γλεντίζανε, προσμένοντας ὡσπού νὰ ρθῆ τὸ βράδυ·
καὶ καθὼς γλέντιζαν τ᾽ ἀχνὸ κατέβηκε τὸ βράδυ,
σὰν σ᾽ ὅλους τούτους πού ᾽ναι ἐδῶ μπορῶ καὶ φέγγω ἀτός μου,
Μὰ ἀκόμα κι ἂν προσμένουνε τὴν ὥρια

αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
ἦν περ γάρ κ᾽ ἐθέλωσιν ἐΰθρονον Ἠῶ μίμνειν,
οὔ τί με νικήσουσι· πολυτλήμων δὲ μάλ᾽ εἰμί."
ὣς ἔφαθ᾽, αἱ δ᾽ ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
τὸν δ᾽ αἰσχρῶς ἐνένιπε Μελανθὼ καλλιπάρῃος,
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
παῖδα δὲ ὡς ἀτίταλλε, δίδου δ᾽ ἄρ᾽ ἀθύρματα θυμῷ·
ἀλλ᾽ οὐδ᾽ ὡς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης,
ἀλλ᾽ ἥ γ᾽ Εὐρυμάχῳ μισγέσκετο καὶ φιλέεσκεν.
ἥ ῥ᾽ Ὀδυσῆ᾽ ἐνένιπεν ὀνειδείοις ἐπέεσσιν·
"ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
οὐδ᾽ ἐθέλεις εὔδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην, ἀλλ᾽ ἐνθάδε πόλλ᾽ ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ᾽ ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἦ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
ὅς τίς σ᾽ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ."
τὴν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ᾽

αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
Αὐγούλα νά 'ρθη,
δὲ μὲ τρομάζουνε· τὶ ἐγὼ βαστῶ σὲ κάθε κόπο."
ἦν περ γάρ κ᾽ ἐθέλωσιν ἐΰθρονον Ἠῶ μίμνειν,
οὔ τί με νικήσουσι· πολυτλήμων δὲ μάλ᾽ εἰμί."
ὣς ἔφαθ᾽, αἱ δ᾽ ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
Εἶπε, κι ἐκεῖνες γέλασαν, κι εἶδαν ἡ μιὰ τὴν ἄλλη.
τὸν δ᾽ αἰσχρῶς ἐνένιπε Μελανθὼ καλλιπάρῃος,
Μὰ ἡ Μελανθὼ τότε ἄσκημα τοῦ μίλησε ἡ ὀμορφούλα,
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
ποὺ τοῦ Δολίου ἦταν παιδί, μὰ καλανάθρεψέ την
παῖδα δὲ ὡς ἀτίταλλε, δίδου δ᾽ ἄρ᾽ ἀθύρματα θυμῷ·
ἡ Πηνελόπη, καὶ λαμπρὰ τῆς χάριζε παιχνίδια·
ἀλλ᾽ οὐδ᾽ ὡς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης,
ὅμως τὴν Πηνελόπη αὐτὴ δὲ συμπονοῦσε τώρα,
ἀλλ᾽ ἥ γ᾽ Εὐρυμάχῳ μισγέσκετο καὶ φιλέεσκεν.
παρὰ μὲ τὸν Εὐρύμαχο κρυφὲς ἀγάπες εἶχε.
ἥ ῥ᾽ Ὀδυσῆ᾽ ἐνένιπεν ὀνειδείοις ἐπέεσσιν·
Αὐτὴ τοῦ κακομίλησε μὲ πεῖσμα τοῦ Ὀδυσσέα·
"ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
" Καημένε ξένε, ποὺ θαρρῶ ξεκουτιασμένος εἶσαι,
οὐδ᾽ ἐθέλεις εὔδειν χαλκήϊον ἐς δόμον ἐλθών,
δὲν πᾶς μὲς σὲ χαλκιάδικο νὰ κοιμηθῆς, ἢ χάνι,
ἠέ που ἐς λέσχην, ἀλλ᾽ ἐνθάδε πόλλ᾽ ἀγορεύεις,
μόνε ἦρθες καὶ μωρολογᾶς ἐδῶ μὲ τόσο θάρρος,
θαρσαλέως πολλοῖσι μετ᾽ ἀνδράσιν, οὐδέ τι θυμῷ
[σ' αὐτοὺς τοὺς ἄντρες ὀμπροστὰ χωρὶς νὰ νιώθης φόβο ;
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἦ νύ τοι αἰεὶ
Γιὰ τὸ κρασὶ σὲ ζάλισε, γιὰ τέτοια πάντα θά 'ναι
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
τὰ φρένα σου, καὶ κάθεσαι καὶ μᾶς λαλεῖς τοῦ βρόντου].
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
'Η καμαρώνεις ποὺ ἔρριξες τὸν Ἶρο τὸ ζητιάνο ·,
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
Κοίτα μὴν ἄλλος ἄξαφνα καλυτερός του σοῦ 'ρθη,
ὅς τίς σ᾽ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
καὶ μὲ τ' ἀντρίκια χέρια του τὰ καύκαλα σοῦ σπάση,
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ."
καὶ βουτημένο στὰ αἵματα σὲ διώξη ἀπ' τὸ παλάτι. "
τὴν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Καὶ λέει ἀγριοκοιτώντας την ὁ ρήγας ὁ Ὀδυσσέας·
"ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ᾽
"Θὰ τρέξω, τοῦ Τηλέμαχου νὰ τὰ μηνύσω,

ἀγορεύεις,
κεῖσ᾽ ἐλθών, ἵνα σ᾽ αὖθι διὰ μελεϊστὶ τάμῃσιν."
ὣς εἰπὼν ἐπέεσσι διεπτοίησε γυναῖκας.
βὰν δ᾽ ἴμεναι διὰ δῶμα, λύθεν δ᾽ ὑπὸ γυῖα ἑκάστης
ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
ἑστήκειν ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
ὥρμαινε φρεσὶν ἦσιν, ἅ ῥ᾽ οὐκ ἀτέλεστα γένοντο.
μνηστῆρας δ᾽ οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ᾽ ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
τοῖσιν δ᾽ Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ᾽ ἀγορεύειν,
κερτομέων Ὀδυσῆα· γέλω δ᾽ ἑτάροισιν ἔτευχε.
"κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐκ ἀθεεὶ ὅδ᾽ ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαίδων σέλας ἔμμεναι αὐτοῦ
κὰκ κεφαλῆς, ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ᾽ ἠβαιαί."
ἦ ῥ᾽, ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
"ξεῖν᾽, ἦ ἄρ κ᾽ ἐθέλοις θητευέμεν, εἴ σ᾽ ἀνελοίμην,
ἀγροῦ ἐπ᾽ ἐσχατιῆς--μισθὸς δέ τοι ἄρκιος ἔσται--
αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων;

ὦ σκύλα,
αὐτὰ ποὺ λές, νὰ ρθῆ μεμιὰς κομμάτια νὰ σὲ κόψη."
Μ' αὐτὰ τὰ λόγια δείλιασαν ἀμέσως οἱ γυναῖκες·
τοὺς κόπησαν τὰ ἥπατα, καὶ σκόρπισαν καὶ φύγαν
περίτρομες, τὶ πίστευαν πὼς εἶπε τὴν ἀλήθεια.
Στοὺς ἀναμμένους τοὺς φανοὺς στάθηκε τότε ἐκεῖνος
νὰ φέγγη, καὶ στὸ πρόσωπο θωροῦσε τὸν καθέναν,
μὰ ἄλλα στὸ νοῦ του γύριζε, ποὺ ἀτέλεστα δὲ μεῖναν.
Κι ἡ Ἀθηνᾶ δὲν ἄφηνε τοὺς θεότολμους μνηστῆρες
νὰ παύουν τὴν κακογλωσσιά, γιὰ νὰ κατέβη ὁ πόνος
ἀκόμα πιὸ βαθύτερα στοῦ Ὀδυσσέα τὰ σπλάχνα.
Καὶ πρῶτος ὁ Εὐρύμαχος, ὁ γόνος τοῦ Πολύβου,
τὸν Ὀδυσσέα πείραζε, γιὰ νὰ γελοῦν οἱ φίλοι·
"Ἀκοῦτε με, ὦ τῆς δοξαστῆς βασίλισσας μνηστῆρες,
τὰ ὅσα μέσα μου ἀγρικῶ νὰ σᾶς τᾶ φανερώσω.
Δὲν ἦρθε αὐτὸς χωρὶς βουλὴ θεοῦ μὲς στὸ παλάτι
τοῦ Ὀδυσσέα· σὰν τὰ δαδιὰ κι ἡ κεφαλή του φέγγει,
τὶ ἀπάνω της δὲν ἔμεινε μικρὴ ἢ μεγάλη τρίχα."
Καὶ τοῦ Ὀδυσσέα κουβέντιασε, τοῦ καστροπολεμίτη·
"Θὰ 'ρχόσουν τάχα ἀργάτης μου, ἂ σὲ ζητοῦσα, ὦ ξένε,
σὲ κάποιαν ἄκρη χωραφιῶν, μὲ πλερωμή, νὰ φέρνης
λιθάρια γιὰ τοὺς φράχτες μου, καὶ δέντρα νὰ φυτεύης;

ἔνθα κ᾽ ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
εἵματα δ᾽ ἀμφιέσαιμι ποσίν θ᾽ ὑποδήματα δοίην.
ἀλλ᾽ ἐπεὶ οὖν δὴ ἔργα κάκ᾽ ἔμμαθες, οὐκ ἐθελήσεις
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρ᾽ ἄν ἔχῃς βόσκειν σὴν γαστέρ᾽ ἄναλτον."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"Εὐρύμαχ᾽, εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ᾽ ἤματα μακρὰ πέλονται,
ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
εἰ δ᾽ αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵ περ ἄριστοι,
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
τετράγυον δ᾽ εἴη, εἴκοι δ᾽ ὑπὸ βῶλος ἀρότρῳ·
τῷ κέ μ᾽ ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
εἰ δ᾽ αὖ καὶ πόλεμόν ποθεν ὀρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη καὶ δύο δοῦρε
καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα,
τῷ κέ μ᾽ ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
οὐδ᾽ ἄν μοι τὴν γαστέρ᾽ ὀνειδίζων ἀγορεύοις.
ἀλλὰ μάλ᾽ ὑβρίξεις, καί τοι νόος

Ἐκεῖ θροφὴ θὰ σοῦ 'δινα, καὶ μὲ τὸ παραπάνω,
καὶ θά 'χες καὶ φορέματα, καὶ τὰ ποδήματά σου.
Μὰ τώρα ποὺ κακόμαθες, δουλειὰ δὲ θὲς νὰ πιάσης
μόνε σ' ἀρέσει σὲ χωριὰ νὰ σέρνεσαι καὶ χῶρες,
νὰ θρέφης μὲ τὴ διακονιὰ τὴ λαίμαργη, κοιλιά σου".
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας κι ἀπολογήθη·
"Ἤθελ' ἀλήθεια στὴ δουλειὰ νὰ παραβγοῦμε οἱ δυό μας
τὴν ἄνοιξη, ὦ Εὐρύμαχε, ποὺ μεγαλώνει ἡ μέρα,
πὰς στὸ γρασίδι· νὰ κρατῶ καλόγερτο δρεπάνι,
παρόμοιο νὰ κρατᾶς κι ἐσύ, καὶ νὰ δοκιμαστοῦμε,
ὡς τὸ σκοτάδι νηστικοί, καὶ νά 'χη ἐκεῖ χορτάρι.
Ἢ καὶ δυὸ βόδια ἂν εβρισκα λαμπρὰ νὰ κυβερνήσω,
μεγάλα καὶ βασταγερά, γρασίδι χορτασμένα,
ὁμήλικα, συνταιριαστά, μὲ δύναμη περίσσια,
ποὺ ὁ κάθε σβῶλος τῆς σποριᾶς νὰ πέφτη ὀμπρὸς στ' ἀλέτρι,
θὰ μ' ἔβλεπες πὼς θ' ἄνοιγα τ' αὐλάκι πέρα ὡς πέρα.
Κι ἂν ἀπὸ κάπου πόλεμο σήκωνε ὁ γιὸς τοῦ Κρόνου
σήμερα, κι εἶχα ἀσπίδα ἐγώ, καὶ δυὸ μαζὶ κοντάρια,
κι ὁλόχαλκο περίκρανο στὴν κεφαλὴ ἁρμοσμένο,
μὲς στοὺς προμάχους θά 'βλεπες ἐμένα πρῶτο πρῶτο,
καὶ δὲ θὰ κατηγόρειες με ποτὲς γιὰ τὴν κοιλιά μου.
Μὰ εἶσαι κακόβουλος ἐσύ, κι εἶναι σκληρὴ ἡ

ἐστὶν ἀπηνής·
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
οὔνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
φεύγοντι στείνοιτο διὲκ προθύροιο θύραζε."
ὣς ἔφατ', Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
"ἆ δείλ', ἦ τάχα τοι τελέω κακόν, οἵ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;"
ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα,
αὐτὰρ ὅ γ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι
πρὶν ἐλθεῖν· τῷ οὔ τι τόσον κέλαδον μετέθηκε.

καρδιά σου·
κι ὅμως μεγάλος καὶ πολὺς φαντάζεσαι πὼς εἶσαι,
ἂν καὶ μὲ λίγους σμίγεσαι, καὶ τούτους ὄχι ἀντρείους.
Ἀνίσως στὴν πατρίδα του γυρίση ὁ Ὀδυσσέας,
οἱ θύρες οἱ τετράπλατες ὁμπρός σου θὰ στενέψουν,
θὰ φεύγῃς ἀπ' τὰ πρόθυρα νὰ τιναχτῇς στοὺς δρόμους."
Αὐτὰ εἶπε, καὶ βαρύτερα ὁ Εὐρύμαχος χολιάζει,
κι ἀγριοκοιτώντας τον λαλεῖ μὲ φτερωμένα λόγια.
"Κακὰ θὰ πάθῃς μὰ τὸ ναί, παλιάνθρωπε, ἀπὸ μένα,
ποὺ ὁμπρὸς σ' αὐτοὺς μωρολογᾶς χωρὶς νὰ νιώθῃς φόβο·
γιὰ τὸ κρασὶ σὲ ζάλισε, γιὰ τέτοια πάντα θά 'ναι
τὰ φρένα σου, καὶ κάθεσαι καὶ μοῦ λαλεῖς τοῦ βρόντου.
Ἢ καμαρώνεις ποὺ ἔρριξες τὸν Ἶρο τὸ ζητιάνο;"
Αὐτὰ εἶπε, κι ἄδραξε σκαμνί· καὶ τότες ὁ Ὀδυσσέας
φοβήθηκε καὶ κάθισε στοῦ Ἀμφίνομου τὸ γόνα·
καὶ χτύπησε ὁ Εὐρύμαχος πὰς στὸ δεξὶ τὸ χέρι
τὸν κεραστή· καὶ μὲ βουητό κυλίστηκε ὁ προχύτης,
κι αὐτὸς ἀνάμεσα ἔπεσε στὰ χώματα βογγώντας.
Κι οἱ ἄλλοι στὰ βαθιόσκιωτα παλάτια ὀχλαλοοῦσαν·
κι ἀπ' αὐτοὺς κάποιος ἔλεγε τηρώντας πλαγινό του·
"Νά 'χε χαθῇ στὴν ἐρημιὰ πρὶν ἔρθη αὐτὸς ὁ ξένος,
δὲ θένα σήκωνε μαθὲς τέτοια βουὴ ἐδωπέρα.
Καὶ τώρα λογοφέρνουνε γιὰ ζήτουλους, καὶ

νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν, οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ."
τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο
"δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔ τιν' ἐγώ γε."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε
Νίσου φαίδιμος υἱός, Ἀρητιάδαο ἄνακτος·
"ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα."
ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἐαδότα μῦθον ἔειπε.
τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
κῆρυξ Δουλιχιεύς· θεράπων δ' ἦν

γλύκα
δὲν ἔχουν τὰ τραπέζια μας, μόν' τό κακό πρωτεύει. ″

Καὶ τότες ὁ Τηλέμαχος τοὺς ἔλεγε ὁ λεβέντης·
“ Κακότυχοι, φρενιάζετε, καὶ δὲν μπορεῖ πιὰ ὁ νοῦς σας
μηδὲ πιοτὸ μηδὲ φαΐ νὰ κρύψη· θεὸς σᾶς σπρώχνει.
Τώρα ποὺ καλοφάγατε, στὸ σπίτι σας καθένας
ἀμέτε καὶ συχάζετε· δὲ διώχνω ἐγὼ κανέναν.″
Αὐτὰ εἶπε, καὶ δαγκάνοντας τὰ χείλη τους ἐκεῖνοι,
θαμάζαν τὸν Τηλέμαχο, πόσο ἀνοιχτὰ μιλοῦσε.
Καὶ τότες ὁ Ἀμφίνομος ξαγόρεψέ τους κι εἶπε,
ὁ δοξαστὸς τοῦ Νίσου γιὸς καὶ τοῦ Ἀρήτου ἀγγόνι·
“ Παιδιά, σὰ μᾶς μιλοῦν σωστά, δὲν πρέπει ἐμεῖς ἀγνάντια
λαλώντας νὰ θυμώνουμε καὶ νὰ λογομαχοῦμε.
Τὸν ξένο μὴν τὸν βρίζετε, μήτε κανέναν ἄλλον
ἀπὸ τοὺς δούλους τοῦ θεϊκοῦ Δυσσέα στὰ παλάτια·
Μόν' ἂς ἀρχίση ὁ κεραστής, καὶ στάξιμο σὰ γίνη,
πηγαίνουμε στὰ σπίτια μας νὰ πέσουμε στὸν ὕπνο·
τὸν ξένο τὸν ἀφήνουμε στὸν πύργο τοῦ Ὀδυσσέα·
ἱκέτη του ὁ Τηλέμαχος τὸν ἔχει, κι ἂς νοιαστῆ τον. ″
Εἶπε, καὶ σ' ὅλους εὔλογα τὰ λόγια του φανῆκαν.
Κι ὁ ἥρωας Μούλιος, κήρυκας, τοῦ Ἀμφίνομου κοπέλι,
μὲς στὸ κροντήρι τὸ κρασὶ καλόσμιξε, καὶ σὲ

Ἀμφινόμοιο·
νώμησεν δ᾽ ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
σπείσαντες μακάρεσσι πίον μελιηδέα οἶνον.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμός,
βάν ῥ᾽ ἴμεναι κείοντες ἐὰ πρὸς δώμαθ᾽ ἕκαστος.

ὅλους
γύρω τὸ μοίρασε. Κι αὐτοὶ στοὺς ἀθανάτους στάξαν,
κι ἤπιαν μελόγλυκο κρασί. Καὶ σάνε στάξαν ὅλοι,
κι ἤπιαν κρασὶ ὅσο ἤθελε ἡ καρδιά τους, ξεκινῆσαν
καθένας πρὸς τὸ σπίτι του, νὰ πέσουνε στὸν ὕπνο.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία τ

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία. Τὰ νίπτρα.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
"Τηλέμαχε, χρὴ τεύχε᾽ ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ᾽· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
᾽ἐκ καπνοῦ κατέθηκ᾽, ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ᾽ ἀϋτμή.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔβαλε δαίμων
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα

Μὰ στὸ παλάτι ὁ θεϊκὸς ἀπόμεινε Ὀδυσσέας,
μὲ τὴ θεὰ ἀναδεύοντας τὸ φόνο τῶ μνηστήρων,
κι αὐτὰ τοῦ γιοῦ του μίλησε τὰ φτερωμένα λόγια·
"Ἀνάγκη μέσα τ' ἄρματα, ὦ Τηλέμαχε, νὰ θέσης
κι ὅταν ἐκεῖνοι θέλοντας νὰ ξέρουν, σὲ ρωτᾶνε,
ἐσὺ μὲ λόγια μαλακὰ γλυκαποκοίμιζέ τους,
καὶ λέγε τους: —Ἀπ' τὸν καπνὸ τὰ πῆρα τὶ δὲν εἶναι
σὰν ποὺ ὁ Δυσσέας τ' ἄφησε μισεύοντας στὴν Τροία,
μόνε ἡ ἀχνίλα τῆς φωτιᾶς τὰ θόλωσε ἀπὸ τότες.
Μὰ κι ἄλλο μεγαλύτερο βάζει στὸ νοῦ μου ὁ Δίας,
μὴν τύχη καὶ σὲ μάλωμα σᾶς ρίξη τὸ μεθύσι,
καὶ χτυπηθῆτε, κι ἀτιμιὰ στὴν προξενειά σας φέρτε,
γιατὶ μονάχο του τραβάει τὸ σίδερο τὸν

καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.'"
ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
"μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα.
νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἴξετ' ἀϋτμή."
τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"αἶ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο
οἴκου κήδεσθαι καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
δμῳὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι ὅς κεν ἐμῆς γε
χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς."
ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
κλῄϊσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
ἐσφόρεον κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
χρύσεον λύχνον ἔχουσα, φάος

ἄντρα."
Τὸν ἄκουσε ὁ Τηλέμαχος τὸν ἀκριβὸ γονιό του,
καὶ τὴ βυζάστρα Εὐρύκλεια φωνάζει, καὶ τῆς κρένει·
"Μὲς στὸ παλάτι κράτα μου τὶς κοπελιές, ὦ μάνα,
ὥσπου τοῦ κύρη τ' ἄρματα στὸ θάλαμο νὰ θέσω,
τὰ ὥρια, ποὺ τὰ τρώει πολλὴ στὸ σπίτι μας καπνίλα,
ἀπὸ τὰ τότες ποὺ ἔφυγε, κι ἤμουν ἐγὼ παιδάκι.
Θὰ τὰ φυλάξω τώρα ἐκεῖ ποὺ ἄχνη φωτιᾶς δὲ φτάνει."
Καὶ τότες ἡ πανάκριβη τοῦ κρένει παραμάνα·
"Μακάρι, ὦ γιέ μου, ν' ἄρχιζες μὲ πονεσιὰ καὶ γνώση
τὸ σπίτι αὐτὸ νὰ νοιάζεσαι καὶ νὰ φυλάης ἀλήθεια.
Μὰ πές μου ὡς τόσο, ποιά τὸ φῶς τώρα θὰ ρθῆ νὰ φέρη,
ποὺ δὲν ἀφήνεις νά 'βγουνε τὶς δοῦλες νὰ σοῦ φέγγουν;"
Κι ὁ γνωστικὸς Τηλέμαχος ἀπάντησέ της κι εἶπε·
"Τοῦτος ὁ ξένος, γιατὶ ἀργὸς δὲν τὸ σχωρνῶ νὰ μείνη
ὅποιος μοῦ ἀγγίζει τὸ ψωμί, κι ἂς ἦρθε κι ἀπ' τὰ ξένα."
Αὐτὰ εἶπε, κι ἔμεινε ἄφτερος στὰ χείλη της ὁ λόγος
καὶ τοῦ καλόχτιστου ἔκλεισε τοῦ παλατιοῦ τὶς θύρες.
Τότε ὁ Δυσσέας ξεκίνησε μὲ τὸ λεβέντη γιό του,
καὶ μέσα κράνη φέρανε, κι ἀφαλωτὲς ἀσπίδες,
καὶ σουβλερὰ κοντάρια. Ὀμπρὸς ἡ Ἀθηνᾶ ἡ Παλλάδα
χρυσὸ λυχνάρι κράταγε, ποὺ ἔχυνε φῶς

περικαλλὲς ἐποίει.
δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ᾽ αἶψα·
"ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι.
ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοί, καὶ κίονες ὑψόσ᾽ ἔχοντες
φαίνοντ᾽ ὀφθαλμοῖς ὡς εἰ πυρὸς αἰθομένοιο.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ᾽ ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ,
ὄφρα κ᾽ ἔτι δμῳὰς καὶ μητέρα σὴν ἐρεθίζω·
ἡ δέ μ᾽ ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα."
ὣς φάτο, Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
ἔνθα πάρος κοιμᾶθ᾽, ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθ᾽ ἄρα καὶ τότ᾽ ἔλεκτο καὶ Ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.

ἡ δ᾽ ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.

τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ᾽ ἄρ᾽ ἐφῖζε,

πανώριο.
Κι ἀμέσως ὁ Τηλέμαχος φωνάζει τοῦ γονιοῦ του·
"Θάμα 'ναι αὐτό, πατέρα μου, ποὺ βλέπω ἐδῶ ὀμπροστά μου·
τριγύρω οἱ τοῖχοι τοῦ σπιτιοῦ, τὰ μεσοδόκια τὰ ὥρια,
καὶ τὰ ἐλατένια τὰ δοκιὰ κι οἱ ἁψηλωμένοι οἱ στύλοι,
ὅλα ἀναλάμπουν καὶ χτυποῦν στὰ μάτια μου σὰ φλόγες,
Κάποιος Θεὸς κατέβηκε δῶ μέσα ἀπ' τὰ οὐράνια."
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τοῦ κρένει·
"Σώπα, τὸ νοῦ σου βάσταξε, καὶ μὴ ρωτᾶς τοῦ κάκου·
τέτοια ἡ συνήθεια τῶν θεῶν ποὺ κατοικοῦν τὰ οὐράνια.
Μόνε ἄμε ἐσὺ ν' ἀνεπαυτῆς, κι ἐγὼ ἐδῶ πέρα μνήσκω,
τὶς δοῦλες καὶ τὴ μάνα σου νὰ κάμω νὰ μιλήσουν.
Τὶ καθετὶς μὲ κλάματα θὰ μὲ ρωτήξη ἐκείνη."
Αὐτὰ εἶπε, κι ὁ Τηλέμαχος ἀπ' τὰ παλάτια βγῆκε,
καὶ μὲ τὴ λάμψη τῶ φανῶν περνάει στὸ θάλαμο του,
ποὺ αὐτοῦ κοιμότανε, γλυκὸς σὰν τοῦ κατέβαινε ὕπνος·

πλάγιασ' ἐκεῖ, καὶ πρόσμενε τῆς χαραυγῆς τὴν ὥρα.
Μὰ στὸ παλάτι ὁ θεϊκὸς ἀπόμεινε Ὀδυσσέας,
μὲ τὴ θεὰ γυρεύοντας τὸ φόνο τῶ μνηστήρων.

Τότες ἀπὸ τὸ θάλαμο κι ἡ Πηνελόπη φάνη,
παρόμοια μὲ τὴν Ἄρτεμη καὶ τὴ χρυσὴ Ἀφροδίτη.
Φέρανε πλάγι τῆς φωτιᾶς καὶ θέσαν τὸ θρονί της,

δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἦν ποτε τέκτων
ποίησ᾽ Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε
προσφυέ᾽ ἐξ αὐτῆς, ὅθ᾽ ἐπὶ μέγα βάλλετο κῶας.
ἔνθα καθέζετ᾽ ἔπειτα περίφρων Πηνελόπεια.
ἦλθον δὲ δμῳαὶ λευκώλενοι ἐκ μεγάροιο.
αἱ δ᾽ ἀπὸ μὲν σῖτον πολὺν ἦρεον ἠδὲ τραπέζας
καὶ δέπα, ἔνθεν ἄρ᾽ ἄνδρες ὑπερμενέοντες ἔπινον·
πῦρ δ᾽ ἀπὸ λαμπτήρων χαμάδις βάλον, ἄλλα δ᾽ ἐπ᾽ αὐτῶν
νήησαν ξύλα πολλά, φόως ἔμεν ἠδὲ θέρεσθαι.
ἡ δ᾽ Ὀδυσῆ᾽ ἐνένιπε Μελανθὼ δεύτερον αὖτις·
"ξεῖν᾽, ἔτι καὶ νῦν ἐνθάδ᾽ ἀνιήσεις διὰ νύκτα
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
ἀλλ᾽ ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε."
τὴν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"δαιμονίη, τί μοι ὧδ᾽ ἐπέχεις κεκοτηότι θυμῷ;
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροὶ εἵματα εἶμαι,
πτωχεύω δ᾽ ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτῃ,
τοίῳ ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι,

ποὺ τορνευτὸ μὲ φίλντισι κι ἀσήμι τό 'χε φτιάξει
ὁ μάστορης ὁ Ἰκμάλιος, μαζὶ μ' ἀκουμποπόδι
συνταιριαστό, καὶ μὲ προβιὰ μεγάλη σκεπασμένο·
σ' ἐκεῖνο ἀπάνω ἡ φρόνιμη καθόταν Πηνελόπη.

Ἀπ' τὰ παλάτια πρόβαλαν καὶ δοῦλες ἀσπροχέρες,
ποὺ σήκωσαν τὰ φαγητὰ καὶ τὰ λαμπρὰ τραπέζια,
καὶ τὰ ποτήρια ποὺ ἔπιναν οἱ ἀγέρωχοι μνηστῆρες.
Κι ἔρριξαν χάμου τὶς φωτιὲς ἀπ' τοὺς φανοὺς, καὶ βάλαν
ἄλλα περίσσια ἀπάνω τους ξύλα γιὰ φῶς καὶ ζέστα.
Τότες ἀρχίζει ἡ Μελανθὼ ξανὰ μὲ τὸ Δυσσέα·
"Ἀκόμα θὰ μᾶς τυραννῆς, ὦ ξένε, ἐδῶ τὴ νύχτα,
στὸ σπίτι τριγυρίζοντας, κοπέλες νὰ ματιάζῃς;
Σοῦ σώνουν, κακορίζικε, τὰ πόφαγες, καὶ φεύγα,
Ἢ τάχα θὲς μὲ τὶς δουλειὲς νὰ πεταχτῆς στὸ δρόμο;"
Καὶ λέει ἀγριοκοιτώντας την ὁ μέγας Ὀδυσσέας·
"Γιατί μὲ τόσο, ἀθεόφοβη, μὲ κατατρέχεις ἄχτι;
Τάχα πού 'μαι ἔτσι δὰ λερὸς καὶ φτωχικὰ ντυμένος,
καὶ βγαίνω καὶ ψωμοζητῶ στῆς πείνας τὴν ἀνάγκη;
Τέτοιοι 'ναι κεῖνοι ποὺ στὴ γῆς γυρίζουν καὶ ζητᾶνε.
Κι ἐγὼ εἶχα σπίτια μιὰ φορὰ στὸν κόσμο, κι ἤμουν πλούσιος,
κι εὐτυχισμένος, κι ἔδινα σ' ἐκείνους ποὺ γυρνοῦσαν,
τοίῳ ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος καὶ γύρευαν, ὅποιοι ἤτανε, κι ἀπ' ὅ,τι εἶχαν

ἔλθοι·
ἀνάγκη·

ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ
καὶ δούλους εἶχα ἀρίθμητους κι ἄλλα καλὰ περίσσια,

οἵσίν τ᾽ εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ποὺ ἔχουν αὐτοὶ ποὺ καλοζοῦν καὶ ποὺ τοὺς λένε ἀρχόντους.

ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που·
Μὰ ὁ Δίας ἄλλα θέλησε, καὶ μοῦ τὰ ρήμαξ' ὅλα·

τῷ νῦν μήποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
Κι ἐσύ, ὦ γυναίκα, κοίταξε μὴ χάσης τὴ λαμπράδα

ἀγλαΐην, τῇ νῦν γε μετὰ δμῳῇσι κέκασσαι·
ποὺ σὲ στολίζει ἀνάμεσα σὲ τόσες ἄλλες δοῦλες,

μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ,
μαζί σου ἂν τύχη κι ἄξαφνα χολιάση ἡ δέσποινά σου,

ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
ἢ ἂν ἔρθη, σὰν ποὺ ἐλπίζουνε, στὸ Θιάκι ὁ Ὀδυσσέας.

εἰ δ᾽ ὁ μὲν ὣς ἀπόλωλε καὶ οὐκέτι νόστιμός ἐστιν,
Κι ἂν πάλε ἐκεῖνος χάθηκε καὶ γυρισμὸ δὲν ἔχει,

ἀλλ᾽ ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἔκητι,
νά, ὁ γιόκας του ὁ Τηλέμαχος, μεγάλος μὲ τὴ χάρη

Τηλέμαχος· τὸν δ᾽ οὔ τις ἐνὶ μεγάροισι γυναικῶν
τοῦ Ἀπόλλωνα· δὲ δύνεται νὰ πράξη ἐδῶ γυναίκα

λήθει ἀτασθάλλουσ᾽, ἐπεὶ οὐκέτι τηλίκος ἐστίν."
κακό, χωρὶς νὰ ξέρη αὐτός, τὶ πιὰ παιδὶ δὲν εἶναι."

ὣς φάτο, τοῦ δ᾽ ἤκουσε περίφρων Πηνελόπεια,
Κι ἡ Πηνελόπη ἡ γνωστικιὰ τὸν ἄκουσε, κι ἀμέσως

ἀμφίπολον δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τὴν παρακόρη μάλωσε, καὶ φώναξέ της κι εἶπε·

"πάντως, θαρσαλέη, κύον ἀδεές, οὔ τί με λήθεις
"Ἀδιάντροπη κι ἀθεόφοβη, τὴ βλέπω σου τὴν κάκια,

ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις·
ποὺ ἀπάνω στὸ κεφάλι σου θὰ πέση αὐτὴ κατόπι.

πάντα γὰρ εὖ ᾔδησθ᾽, ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς
Σὰ νὰ μὴ γνώριζες μαθές, μιὰς κι ἄκουγές με τότες

ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
πὼς μέσα, στὸ παλάτι μου ποθοῦσα νὰ ρωτήξω

ἀμφὶ πόσει εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι."
τὸν ξένο γιὰ τὸν ἄντρα μου, γιατὶ βαρειά 'χω λύπη."

ἦ ῥα καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
Κατόπι τῆς κελάρισσας τῆς Εὐρυνόμης κρένει·

"Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ᾽ αὐτοῦ,
"Φέρε, Εὐρυνόμη, ἐδῶ θρονὶ μὲ τὴν προβιὰ ἀποπάνω,

ὄφρα καθεζόμενος εἴπῃ ἔπος ἠδ᾽ ἐπακούσῃ
ὁ ξένος νὰ καθίση ἐκεῖ, νὰ λέη καὶ νὰ μ' ἀκούγη

ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι."
ὣς ἔφαθ', ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
δίφρον ἐΰξεστον καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
"ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;"
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥς τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων
εὐδικίας ἀνέχῃσι, φέρῃσι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ,
τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς
ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ,
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
μνησαμένῳ μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
ἦσθαι, ἐπεὶ κάκιον πενθήμεναι

σὰν τοῦ μιλῶ, τί λαχταρῶ νὰ τὸν καλοξετάσω."

Εἶπε, κι ἐκείνη πρόθυμα φέρνει σιμὰ καὶ στήνει
σκαμνὶ καλοπελέκητο, μὲ τὴν προβειὰ ἀποπάνω.
Κάθισ' ἐκεῖ ὁ πολύπαθος κι ὁ θεῖος Ὀδυσσέας,
κι ἡ Πηνελόπη ἡ φρόνιμη μ' αὐτὰ τὰ λόγια ἀρχίζει·
"Ξένε, ἐγὼ πρῶτα πρῶτα αὐτὸ νὰ σὲ ρωτήξω θέλω·
ποιός εἶσαι ἐσύ, καὶ πούθενε; ποιὰ ἡ χώρα σου, οἱ γονιοί σου;"
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
"Γυναίκα, ἐσένα δὲν μπορεῖ μήτε στῆς γῆς τὴν ἄκρη
ψεγάδι νὰ σοῦ βρῆ θνητός. Ὡς τὰ οὐράνια ἐσένα
πηγαίνει ἡ φήμη σου· ὁ καλὸς παρόμοια βασιλέας
φημίζεται σὰν κυβερνάη λαὸ πολὺ κι ἀντρεῖο,
μὲ δίκιο καὶ θεοφοβιά. Ἡ γῆς του βγάζει στάρι,
τὰ δέντρα φέρνουνε καρπούς, τὰ πρόβατα πληθαίνουν,
χαρίζει ψάρια ἡ θάλασσα, κι ὅλος ὁ κόσμος ἔχει
καὶ πλούτια καὶ καλοτυχιὰ μὲ τὴν καλοδηγιά του.
Τώρα κι ἐμένα ρώταγε στὸ σπίτι σου ὅ,τι ἄλλο,
ὅμως πατρίδα καὶ γενιὰ νὰ πῶ μὴ μοῦ γυρεύης,
παλιὲς μὴν ἔρθουν θύμησες καὶ μὲ γεμίσουν πόνους,
γιατ' εἶμαι πολυστέναχτος. Καὶ μὲς σὲ ξένο σπίτι
δὲν πρέπει νὰ μοιρολογῶ καὶ στεναγμοὺς νὰ βγάζω,
τὶ φρόνιμο τ' ἀνέπαυο παράπονο δὲν εἶναι,

ἄκριτον αἰεί·
μή τίς μοι δμῳῶν νεμεσήσεται, ἠὲ σύθαρρέψτε γ᾽ αὐτή,
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια·
"ξεῖν᾽, ἦ τοι μὲν ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ᾽ ἐμὸς πόσις ἦεν Ὀδυσσεύς
εἰ κεῖνός γ᾽ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζον κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ᾽ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ᾽ αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ᾽ ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῷ οὔτε ξείνων ἐμπάξομαι οὔθ᾽ ἱκετάων
οὔτε τι κηρύκων, οἵ δημιοεργοὶ ἔασιν·
ἀλλ᾽ Ὀδυσῆ ποθέουσα φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένῃ μέγαν ἱστόν, ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ᾽ αὐτοῖς μετέειπον·
"κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μὴν κάποια δούλα σου, ἢ κι ἐσὺ, χολῶστε καὶ πὼς τὸ μεθύσι μ' ἔπιασε, καὶ πλημμυρῶ στὰ δάκρυα."

Κι ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Ὤξένε, ὅλες τὶς χάρες μου, τὴν ὀμορφιά, τὸ σῶμα,
οἱ ἀθάνατοι μοῦ ἀφάνισαν ἀφότου στὴν Τρωάδα
μὲ τοὺς Ἀχαιοὺς ξεκίνησε ὁ ἄντρας μου ὁ Δυσσέας.
Ἂν τὴ ζωή μου ἐρχότανε νὰ διαφεντέψη ἐκεῖνος,
κι ἡ δόξα μου θὰ πλήθαινε, κι ὅλα καλὰ θὰ βγαῖναν·
τώρα ἔχω πίκρες· τὶ πολλὰ δεινὰ μοῦ φέρνει ἡ μοῖρα.
[Γιατί ὅσοι γύρω στὰ νησιὰ πρωτοστατοῦν ἀρχόντοι,
Δουλίχι, Σάμη, Ζάκυνθο μὲ τὰ δασὰ τὰ δέντρα,
κι ὅσοι σ' αὐτὸ τὸ λιόλουστο νησί μας λημεριάζουν,
θέλω δὲ θέλω μὲ ζητοῦν, κι ὅλο χαλνᾶν τὸ βιός μου.]
Γιὰ δαῦτο, μήτε ξένο ἐγώ, καὶ μήτε ἱκέτη ἀκούγω,
μήτε κανένα κήρυκα, τοῦ κόσμου δουλευτάρη,
μόνε μοῦ τρώει τὰ σπλάχνα μου τοῦ Ὀδυσσέα ὁ πόθος.
Αὐτοὶ γιὰ γάμο βιάζουνται, κι ἐγὼ τοὺς πλέχνω δόλους.
Καὶ πρῶτα θεὸς μὲ βοήθησε νὰ σοφιστῶ νὰ στήσω
θεόμακρο στὸν πύργο μου πανί, καὶ νὰ τὸ φάνω,
ψιλόκλωστο κι ἀμέτρητο. Καὶ λέω τους: — Παλληκάρια,
μνηστῆρες μου, τώρα ὁ λαμπρὸς ποὺ ἀπέθανε Ὀδυσσέας.

μίμνετ᾽ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω--μή μοι μεταμώνια νήματ᾽ ὄληται--
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
μοῖρ᾽ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.
"ὣς ἐφάμην, τοῖσιν δ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστόν,
νύκτας δ᾽ ἀλλύεσκον, ἐπεὶ δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ᾽ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα πόλλ᾽ ἐτελέσθη,
καὶ τότε δή με διὰ δμῳάς, κύνας οὐκ ἀλεγούσας,
εἶλον ἐπελθόντες καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ᾽, ὑπ᾽ ἀνάγκης·
νῦν δ᾽ οὔτ᾽ ἐκφυγέειν δύναμαι γάμον οὔτε τιν᾽ ἄλλην
μῆτιν ἔθ᾽ εὑρίσκω· μάλα δ᾽ ὀτρύνουσι τοκῆες
γήμασθ᾽, ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.
ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί.
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου

μὴ βιάζετε τὸ γάμο μου, γιὰ ν' ἀποσώσω πρῶτα
τὸ πανικό, νὰ μὴ χαθοῦν τὰ νήματα τοῦ κάκου,
ποὺ τό 'χω γιὰ τὸ σάβανο τοῦ ἥρωα τοῦ Λαέρτη,
σὰν ἔρθη ὁ κορμοτεντωτής ὁ χάρος καὶ τὸν πάρη,
μπὰς καὶ καμιὰ τῶν Ἀχαιῶν κερὰ μὲ ψεγαδιάση,
σὰν κοίτεται ἀσαβάνωτος, πού 'ταν καὶ τόσο πλούσιος.
Αὐτὰ εἶπα, κι οἱ λεβέντικες τὰ δέχτηκαν ψυχές τους.
Λοιπόν, τὶς μέρες ἔφαινα τὸ θεόμακρο πανί μου,
τὴ νύχτα ὅμως τὸ ξέφαινα σὰν ἔφερναν τὰ φῶτα.
Τρεῖς χρόνους τοὺς κρυφόπαιζα, κι ἔτσι τοὺς ἔπειθα ὅλους·
μὰ οἱ ἐποχὲς σὰν ἔφεραν τὸν τέταρτο τὸ χρόνο,
καὶ τὰ φεγγάρια χάνονταν, καὶ πλήθαιναν οἱ μέρες,
οἱ δοῦλες, σκύλες ἄπονες, μὲ πρόδωσαν, κι ἐκεῖνοι
ἤρθαν καὶ μ' ἔπιασαν ἐδῶ, καὶ μοῦ βαριομιλῆσαν,
Καὶ τότες πιὰ μὲ τὸ στανιὸ τὸ τέλειωσα ἀπ' ἀνάγκη.
Μήτ' ἀπὸ γάμο γλυτωμὸ δὲ βλέπω τώρα, μήτε
ἄλλον πιὰ τρόπο· στὴν παντρειὰ μὲ σπρώχνουν οἱ γονιοί μου
κι ὁ γιός μου, βλέποντας τὸ βιὸς ποὺ τρῶν αὐτοί, σκυλιάζει,
τὶ τώρα ποὺ ἄντρας ἔγινε καὶ νιώθει, θὰ φροντίζη
τὸ σπίτι του σὰν ἄνθρωπος ποὺ τὸν τιμάει ὁ Δίας.
Ὡς τόσο λέγε μου κι ἐσὺ τὴ φύτρα, τὴ γενιά σου·
δὲ θά 'σαι ἀπ' τοῦ παραμυθιοῦ τὸ δρὺ καὶ τὸ

οὐδ᾽ ἀπὸ πέτρης."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκέτ᾽ ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ᾽ ἔκ τοι ἐρέω· ἦ μέν μ᾽ ἀχέεσσί γε δώσεις
πλείοσιν ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε᾽ ἀλώμενος, ἄλγεα πάσχων·
ἀλλὰ καὶ ὡς ἐρέω ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ᾽ ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ᾽ ἄνθρωποι
πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.
ἄλλη δ᾽ ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
ἐν δ᾽ Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί.
τῇσι δ᾽ ἐνὶ Κνωσός, μεγάλη πόλις, ἔνθα τε Μίνως
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,
πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος
Δευκαλίων δ᾽ ἐμὲ τίκτε καὶ Ἰδομενῆα ἄνακτα·
ἀλλ᾽ ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον ἴσω
ᾤχεθ᾽ ἅμ᾽ Ἀτρείδῃσιν, ἐμοὶ δ᾽ ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῇ· ὁ δ᾽ ἄρα πρότερος καὶ ἀρείων.

λιθάρι."
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
"Γυναίκα πολυσέβαστη τοῦ θεϊκοῦ Ὀδυσσέα,
ὡς πότε ἐσὺ θένα ζητᾶς νὰ μάθης τὴ γενιά μου;
Μὰ θὰ στὴν πῶ, καὶ πιότερος ἂς γίνεται ὁ καημός μου·
αὐτή 'ναι ἡ τύχη τοῦ θνητοῦ ποὺ λείπει ἀπ' τὴν πατρίδα
τόσον καιρό, ὅσο βρίσκουμαι κι ἐγὼ ξενιτεμένος,
καὶ τυραννιέται σὲ πολλὲς γυρνώντας πολιτεῖες.
Ὅμως καὶ πάλε θὰ σ' τὸ πῶ τὸ ποὺ ρωτᾶς νὰ μάθης.
Εἶναι μιὰ γῆς κατάμεσα τοῦ μελανοῦ πελάγου,
ἡ Κρήτη, ἡ ὥρια κι ἡ παχειὰ κι ἡ τριγυρολουσμένη.
Κατοίκους ἔχει ἀρίθμητους, καὶ χῶρες ἐνενήντα.
Κάθε λαὸς κι ἡ γλῶσσα του. Ζοῦν Ἀχαιοὶ στὸν τόπο,
ζοῦνε νησιῶτες Κρητικοί, παλληκαριᾶς ξεφτέρια,
καὶ Κύδωνες, καὶ Δωρικοί, καὶ Πελασγοὶ λεβέντες.
Κι εἶν' ἡ Κνωσό, χώρα τρανή, ποὺ ὁ Μίνωας τοῦ μεγάλου
τοῦ Δία σύντροφος ἐννιά, κι ἐννιά κυβέρναε χρόνους,
τοῦ Δευκαλίωνα ὁ γονιός, τοῦ ἀντρόψυχου γονιοῦ μου,
ποὺ ἐξὸν ἐμένα, γέννησε τὸ ρήγα Ἰδομενέα.
Στὸ Ἴλιο αὐτὸς ἀκλούθησε τοὺς δυὸ τοῦ Ἀτρέα γόνους
μὲ τὰ καράβια του. Αἴθωνας ἐμένα τ' ὄνομά μου,
κι ἐγὼ ὁ νεώτερος, αὐτὸς καλύτερος καὶ πρῶτος.

ἔνθ᾽ Ὀδυσῆα ἐγὼν ἰδόμην καὶ ξείνια δῶκα.
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἴς ἀνέμοιο,
ἱέμενον Τροίηνδε παραπλάγξασα Μαλειῶν·
στῆσε δ᾽ ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
ἐν λιμέσιν χαλεποῖσι, μόγις δ᾽ ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ᾽ Ἰδομενῆα μετάλλα ἄστυδ᾽ ἀνελθών·
ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ᾽ ἔμεν αἰδοῖόν τε.
τῷ δ᾽ ἤδη δεκάτη ἢ ἐνδεκάτη πέλεν ἠὼς
οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ᾽ ἄγων ἐὺ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καί οἱ τοῖς ἄλλοις ἑτάροις, οἳ ἅμ᾽ αὐτῷ ἕποντο,
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας
καὶ βοῦς ἱρεύσασθαι, ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἴλει γὰρ Βορέης ἄνεμος μέγας οὐδ᾽ ἐπὶ γαίῃ
εἶα ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων.
τῇ τρισκαιδεκάτῃ δ᾽ ἄνεμος πέσε, τοὶ δ᾽ ἀνάγοντο."
ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
τῆς δ᾽ ἄρ᾽ ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
ὡς δὲ χιὼν κατατήκετ᾽ ἐν ἀκροπόλοισιν ὄρεσσιν,
ἣν τ᾽ Εὖρος κατέτηξεν, ἐπὴν

᾽Εκεῖ εἶδα τὸ Δυσσέα ἐγώ, καὶ ξενοφίλεψά τον,
τὶ τοῦ ἀνέμου ἡ μάνητα τὸν πέταξε στὴν Κρήτη,
στὴν Τροία καθὼς ἀρμένιζε, λοξὰ ἀπὸ τὸ Μαλέα,
κι ἦρθε στὴν Ἀμνισό, κοντὰ στῆς Εἰλειθυίας τὸ σπήλιο,
μέσα στὰ κακολίμανα, καὶ σώθη ἀπ' τὰ δρολάπια,

Στὴ χώρα εὐτὺς ἀνέβηκε γιὰ τὸν ᾽Ιδομενέα,
ποὺ σεβαστὸ τὸν ἔλεγε κι ἀγαπητό του φίλο.
Ἦταν ὡς τόσο δέκα αὐγές, κἂν ἔνδεκα, ποὺ ἐκεῖνος
γιὰ τὸ Ἴλιο μὲ τ' ἀνάφρυδα καράβια εἶχε κινήσει.
Τὸν πῆρα ἐγὼ στὸν πύργο μου καὶ καλοδέχτηκά τον,
κι ἀπ' τὰ πολλὰ ποὺ βρίσκονταν τὸν φίλεψα γενναῖα·
κι ἔδωκα ἀλεύρια ἀπ' τὸ κοινό, κρασὶ φλογάτο, βόδια,
γιὰ τὶς θυσίες ἐκείνου καὶ τῶν συντρόφων ὅλων,
ποὺ τόνε συνοδεύανε, νὰ τὰ χαρῆ ἡ ψυχή τους.
Δώδεκα μέρες οἱ Ἀχαιοὶ προσμένουν τότε οἱ θεῖοι·
κακὸς τοὺς ἔκλεισε Βοριάς, κι οὐδὲ στὴ γῆς νὰ μείνουν
δὲν ἄφηνε· κάποιος θεὸς τοὺς ἔστελνε ὀργισμένος.
Στὶς δεκατρεῖς κατάπεσε, καὶ τότες ξεκινῆσαν."
Ἤξερε ψέματα πολλὰ νὰ λέη μ' ἀλήθειες ὅμοια·
τ' ἄκουγ' ἐκείνη, κι ἔκλαιγε ὡσποὺ ἔλυωνε ἡ θωριά της.
Κι ὅπως ἀπάνω στὰ ψηλὰ βουνὰ τὸ χιόνι λυώνει,
ποὺ ὁ Ζέφυρος τὸ στοίβαξε καὶ τό 'λυωσε ὁ

Ζέφυρος καταχεύῃ· Σιρόκος,
τηκομένης δ᾽ ἄρα τῆς ποταμοὶ κι ὅσο αὐτὸ λυώνει, οἱ ποταμοὶ φουσκώνουν
πλήθουσι ῥέοντες· κι ὅλο τρέχουν,
ὣς τῆς τήκετο καλὰ παρήϊα δάκρυ ἔτσι στὰ δάκρυα λυώνανε τὰ ὡραῖα
χεούσης, μάγουλά της,
κλαιούσης ἐὸν ἄνδρα παρήμενον. σὰν ἔκλαιγε τὸν ἄντρα της ποὺ πλάγι της
αὐτὰρ Ὀδυσσεὺς καθόταν.
θυμῷ μὲν γοόωσαν ἐὴν ἐλέαιρε Κι αὐτός, ὅσο κι ἂν ἔνιωθε τοῦ θρήνου της
γυναῖκα, τὸν πόνο
ὀφθαλμοὶ δ᾽ ὡς εἰ κέρα ἔστασαν ἠὲ κράταε τὰ μάτια ἀσάλευτα σὰν κέρατο ἢ
σίδηρος ἀτσάλι,
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ᾽ ὅ γε τὰ δάκρυα καθὼς ἔκρυβε στὰ βλέφαρα μὲ
δάκρυα κεῦθεν. τέχνη.
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη Κι ἐκείνη σάνε χόρτασε τὰ δάκρυα καὶ τὸ
πολυδακρύτοιο γόοιο, κλάμα,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη πάλε τοῦ ξαναμίλησε κι ἀπάντησέ του κι
προσέειπε· εἶπε·
"νῦν μὲν δή σευ, ξεῖνέ γ᾽, ὀΐω “Θαρρῶ πώς, ξένε, τώρα ἐγὼ θὰ
πειρήσεσθαι, δοκιμάσω ἐσένα,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις νὰ δῶ ἂν ἀλήθεια φίλεψες στ' ἀρχοντικό σου
ἑτάροισι μέσα
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, τὸν ἄντρα μου καὶ τοὺς καλοὺς συντρόφους
ὡς ἀγορεύεις. του ὅπως εἶπες.
εἰπέ μοι ὁπποῖ᾽ ἄσσα περὶ χροὶ Σὰν τί λογῆς φορέματα φοροῦσε στὸ κορμί
εἵματα ἕστο, του
αὐτός θ᾽ οἷος ἦεν, καὶ ἑταίρους, οἵ οἱ καὶ ποιὰ σὰ νά 'ταν ἡ ὄψη τους, κι αὐτοῦ καὶ
ἕποντο." τῶ συντρόφων;”
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας, καὶ
πολύμητις Ὀδυσσεύς· τῆς εἶπε·
"ὦ γύναι, ἀργαλέον τόσσον χρόνον “Γυναίκα, δύσκολο νὰ πῶ, τόσον καιρὸ πιὰ
ἀμφὶς ἐόντα τώρα·
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος εἴκοσι χρόνοι 'ναι ποὺ αὐτὸς τὸν τόπο μου
ἐστὶν ἔχει ἀφήσει·
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε ὅμως θὰ παραστήσω τον καθὼς ἀνιστορῶ
πάτρης· τον.
αὐτάρ τοι ἐρέω ὥς μοι ἰνδάλλεται Διπλὴ φλοκάτα μαλλωτὴ καὶ πορφυρένια
ἦτορ. φόρειε
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος ὁ θεῖος Δυσσέας καὶ μὲ χρυσὴ κόπτσα ποὺ
Ὀδυσσεύς, εἶχε θηλύκι
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο διπλότρυπο, κι ἀπὸ μπροστὰ λαμπρῆς
τέτυκτο δουλειᾶς στολίδι·
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ σκύλος ζαρκάδι παρδαλὸ στὰ μπροστινά
δαίδαλον ἦεν· του κράτα,

ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν,
ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ἐόντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἴσπαιρε πόδεσσι.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροΐ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο·
τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὡς·
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ' ἢ τάδε ἕστο περὶ χροΐ οἱκοθ' Ὀδυσσεύς,
ἦ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἦ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
καλὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,
αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος,
Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ἤδη."
"ὣς φάτο, τῇ δ' ἔτι μᾶλλον ὑφ'

καὶ κοίτα το ποὺ σπάραζε· κι αὐτὸ θαμάζαν ὅλοι,
πώς, ὄντας ἀπὸ μάλαμα, κοιτάει καὶ πνίγει ὁ σκύλος
τὸ ζῶ, ποὺ μὲ πόδια του σπαράζει νὰ ξεφύγη.
Θυμᾶμαι καὶ σφανταχτερὸ χιτώνα στὸ κορμί του,
ποὺ σὰν τὴ φλούδα γυάλιζε ποὺ ἔχει ξερὸ κρομμύδι·
τόσο ἤτανε ψιλόφτιαστος καὶ λιόλαμπρος συνάμα,
Πολλὲς σὰν τόνε βλέπανε γυναῖκες τὸ ν θαμάζαν.
Κι ἄλλο ἕνα λόγο θὰ σοῦ πῶ, κι ἂς μείνη μὲς στὸ νοῦ σου·
ἢ ἂν σύντροφος τοῦ τά 'δωκε σὰν ἔμπαινε στὸ πλοῖο,
ἢ κάποιος φίλος τὶ πολλοὺς τοὺς εἶχε ὁ Ὀδυσσέας.
Μὲς στοὺς λαοὺς τῶν Ἀχαιῶν λίγοι ἤτανε παρόμοιοι.
Κι ἐγὼ σπαθὶ χαλκόφτιαστο, καὶ πορφυρὴ χλαμύδα,
διπλὴ κι ὡραία τοῦ ἔδωκα, κι ὁλόμακρο χιτώνα,
καὶ μὲ τιμὴ τὸν ἔστειλα στὸ γλήγορο καράβι.
Μαζί του ἦταν καὶ κήρυκας τρανότερός του λίγο
στὰ χρόνια, ποὺ κι ἐκείνονε θὰ σοῦ στορήσω τώρα·
καμπούρης, μελαψός, σγουρός, κι εἶχε ὄνομα Εὐρυβάτης·
κι ἀπ' ὅλους τοὺς συντρόφους του τιμοῦσε ὁ Ὀδυσσέας
ξέχωρα αὐτόν, τὶ ταίριαζαν οἱ γνῶμες τῶ δυονῶν τους.″
Εἶπε, καὶ πιότερη ὄρεξη τῆς φέρανε γιὰ

ἴμερον ὧρσε γόοιο,
σήματ᾽ ἀναγνούσῃ τά οἱ ἔμπεδα πέφραδ᾽ Ὀδυσσεύς.
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο.
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε·
"νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινός,
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ᾽ ἔσῃ αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ᾽ ἐγὼ πόρον, οἴ᾽ ἀγορεύεις,
πτύξασ᾽ ἐκ θαλάμου, περόνην τ᾽ ἐπέθηκα φαεινὴν
κείνῳ ἄγαλμ᾽ ἔμεναι· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
ὤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε, πόσιν γοόωσα. νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ᾽ ἀλλοῖον ὀδύρεται ἄνδρ᾽ ὀλέσασα
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ᾽, ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι οὐδ᾽ ἐπικεύσω
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα

κλάμα
ἐκεῖνα τὰ ὁλοφάνερα τοῦ Ὀδυσσέα σημάδια.
Καὶ σάνε καλοχόρτασε τὰ δάκρυα καὶ τὸ κλάμα,
τότες τοῦ ξαναμίλησε κι ἀπάντησέ του κι εἶπε·
"Καὶ πρῶτα σὲ συμπόνεσα, μὰ ἀπὸ τὰ τώρα, ὦ ξένε,
μὲς στὸ παλάτι ἀγαπητὸς καὶ σεβαστὸς θὰ μοῦ εἶσαι.
Ἐγὼ τὰ ροῦχα τοῦ 'δωκα ποὺ τώρα μοῦ ἱστοροῦσες·
τὰ δίπλωσα καὶ τὰ 'βγαλα ἀπ' τὸ θάλαμο, κι ἀπάνω
θηλυκωτήρι λαμπερὸ τοῦ κάρφωσα στολίδι.
Μὰ αὐτὸς δὲ μοῦ γυρίζει πιὰ νὰ τὸν δεχτῶ στὸ σπίτι·
μοῖρα κακὴ τὸν ἔστειλε στὸ βαθουλὸ καράβι,
τὸ μαῦρο Ἴλιο γιὰ νὰ δῆ, τ' ἀναθεματισμένο."
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
"Γυναίκα πολυσέβαστη τοῦ τέκνου τοῦ Λαέρτη,
μὴ τὴν ὀμορφιά σου μὴ χαλνᾶς, μὴ λυώνης τὴν καρδιά σου,
θρηνώντας γιὰ τὸν ἄντρα σου. Κι ὄχι κακὸ πὼς τό 'χω,
τ' εἶναι πολλὲς ποὺ χάσανε καὶ κλαῖν τὸ σύγκοιτό τους,
ποὺ τὸ φιλί του χάρηκαν, καὶ τέκνα τοῦ γεννῆσαν,
κι ἂς ἦταν ἄλλος, κι ὄχι αὐτὸς, ποὺ λὲν σὰ θεὸς φαινόταν.
Μὰ πάψε πιὰ τὰ κλάματα, τὸ τὶ θὰ πῶ ν' ἀκούσης·
τὶ θὰ μιλήσω ἀληθινά, καὶ δὲ θὰ σοῦ τὸ κρύψω,
πὼς ἄκουσα τὸ γυρισμὸ τοῦ θεϊκοῦ Ὀδυσσέα,
ποὺ ζῆ κοντὰ στῶν Θεσπρωτῶν τὴ γῆς τὴν

ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ
αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ οἴνοπι πόντῳ,

Θρινακίης ἄπο νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
τὸν δ᾽ ἄρ᾽ ἐπὶ τρόπις νεὸς ἔκβαλε κῦμ᾽ ἐπὶ χέρσου,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,

οἳ δή μιν περὶ κῆρι θεὸν ὡς τιμήσαντο
καί οἱ πολλὰ δόσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ᾽ ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ᾽ Ὀδυσσεὺς
ἦην· ἀλλ᾽ ἄρα οἱ τό γε κέρδιον εἴσατο θυμῷ,
χρήματ᾽ ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἷδ᾽ Ὀδυσεύς, οὐδ᾽ ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ᾽ αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ Ἐμένα ἐρχομένη νηῦς

καρποφόρα,
καὶ φέρνει θησαυρὸ πολὺ ποὺ σύναξε ἀπ' τὸν τόπο.
Ὅμως τοὺς φίλους ἔχασε συντρόφους μὲ τὸ πλοῖο
μέσα στ' ἀχνὸ τὸ πέλαγος, ἀπὸ τῆς Θρινακίας

σὰν ξεκινοῦσε τὸ νησί· τὶ Ἥλιος μαζὶ καὶ Δίας
χολώσανε, σὰν ἔμαθαν πὼς ὅλοι του οἱ συντρόφοι
τοῦ Ἥλιου τὰ βόδια σκότωσαν. Χαθῆκαν τότες ὅλοι
στῆς ἀγριεμένης θάλασσας τὰ κύματα· μὰ ἐκεῖνον,
πὰς στὴν καρίνα ποὺ ἔμεινε, τὸν πέταξε τὸ κῦμα
ὄξω στὴ γῆς τῶ Φαιάκωνε, τῶν θεογεννημένων,
ποὺ σὰν θεὸ τὸν τίμησαν, καὶ δῶρα τοῦ χαρίσαν,
καὶ νὰ τὸν στείλουν ἤθελαν ἀπείραγο στὸ Θιάκι.
Κι ὁ Ὀδυσσέας ἀπὸ καιρὸ θά 'ταν ἐδῶ φτασμένος,
μὰ πιὸ συφέρο θάρρεψε καὶ σ' ἄλλες νὰ γυρίση
χῶρες πολλές, καὶ θησαυρὸ μεγάλο νὰ μαζέψη·
τόσες γνωρίζει πονηριὲς καὶ τρόπους νὰ κερδίζη,
κι ἄλλος θνητὸς δὲ δύνεται νὰ παραβγῆ μαζί του.
Αὐτὰ μοῦ τά 'πε ὁ Φείδωνας τῶν Θεσπρωτῶν ὁ ρήγας
καὶ μὲς στὸ σπίτι στάζοντας μοῦ ὁρκίστη πὼς τὸ πλοῖο
ἦταν ριγμένο κι ἕτοιμοι στεκόνταν οἱ συντρόφοι
στὴ γῆς νὰ τόνε φέρουνε τῆς ποθητῆς πατρίδας.
Ἐμένα ὅμως πρωτόστειλε, γιατ' ἔτυχε καράβι

ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ᾽ ἔδειξεν, ὅσα ξυναγείρατ᾽ Ὀδυσσεύς·
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ᾽ ἔτι βόσκοι,
ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ᾽ ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
ἤδη δὴν ἀπεών, ἦ ἀμφαδὸν ἦε κρυφηδόν.
"ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ᾽, οὐδ᾽ ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
τοῦδ᾽ αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ᾽ Ὀδυσσεύς,
τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ᾽ ἱσταμένοιο."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"αἰ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ᾽ ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ᾽ Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται,

θεσπρωτικὸ νὰ ξεκινάη στὸ καρπερὸ Δουλίχι.
Καὶ μοῦ 'δειξε ὅσους θησαυροὺς εἶχε ὁ Δυσσέας συνάξει,
ποὺ σῶναν καὶ τὴ δέκατη νὰ θρέψουνε γενιά του·
τόσα τοῦ μένανε καλὰ στοῦ βασιλέα τὰ σπίτια.
Καὶ στὴ Δωδώνη μοῦ 'λεγε πὼς εἶχε αὐτὸς περάσει,
ἀπ' τ' ἀψηλόκορφο τὸ δρὺ τὸ θέλημα τοῦ Δία
ν' ἀκούση, πῶς θὰ ξαναρθῆ στὸ πλούσιο τὸ νησί του,
κρυφὰ μαθὲς ἢ φανερά, τόσον καιρὸ ποὺ λείπει.
Καὶ νά, λοιπόν, ποὺ εἶναι καλά, καὶ θά 'ρθη ὅπου κι ἂν εἶναι,
καὶ δὲν ἀργεῖ τοὺς φίλους του νὰ δῆ καὶ τὴν πατρίδα.
Ὅρκο μεγάλο τώρα ἐδῶ σοῦ κάνω κι ἄκουσέ τον.
Ὁ Δίας νά 'ναι μάρτυρας, τῶν θεῶν ὁ πρωτοστάτης,
κι ἐτούτη ἡ στιὰ τοῦ θεόλαμπρου Ὀδυσσέα, ποὺ ἤρθα τώρα,
πὼς ὅλ' αὐτὰ θὰ τελεστοῦν καθὼς ἐγὼ τὰ λέγω.
Μέσα στὸ χρόνο αὐτὸν ἐδῶ θὰ φτάση ὁ Ὀδυσσέας,
τοῦτος ὁ μήνας ἅμα βγῆ, κι ἅμα πατήση ὁ ἄλλος."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Μακάρι, ὦ ξένε, ὁ λόγος σου τέλος νὰ βρῆ· καὶ τότες
θένα 'χης τὴν ἀγάπη μου, καὶ τόσα πλούσια δῶρα,
ποὺ θὰ σὲ μακαρίζουνε ὅσοι θνητοὶ σὲ βλέπουν.
Μὰ ἄλλα ἡ ψυχή μου προμηνᾶ, κι αὐτά, θαρρῶ, θὰ βγοῦνε.
Μήτ' ὁ Δυσσέας δὲν ἔρχεται καὶ μήτ' ἐσὺ δὲ

οὔτε σὺ πομπῆς
 τεύξῃ, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκῳ
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
 ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
 ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνήν,
 δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
 ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε χρῖσαί τε,
 ὥς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
 ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον ὅς κεν ἐκείνων
 τοῦτον ἀνιάζῃ θυμοφθόρος· οὐδέ τι ἔργον
 ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.

θά 'βρης
 προβόδωμα· δὲν ἔχει πιὰ τὸ σπίτι νοικοκύρη,
σὰν τὸ Δυσσέα ποὺ στάθηκε στοὺς τιμημένους ξένους,
 πάντα καλὸς νὰ προβοδᾶ καὶ νὰ καλωσορίζῃ.
 Νίψτε τον τώρα, κοπελιές, καὶ στρῶστε του κλινάρι
 μὲ μαλακὰ παπλώματα καὶ χράμια καὶ φλοκάτες,
 ποὺ ὡς τὴ χρυσόθρονην Αὐγὴ νὰ χαίρετ' ἀπὸ ζέστα.

Καὶ λοῦστε τον κι ἀλεῖψτε τον, ἅμα γλυκοχαράξῃ,
 νὰ πάῃ μὲ τὸν Τηλέμαχο στὸ γέμα νὰ καθίσῃ
 μὲς στὸ παλάτι. Θὰ τὸ βροῦν πικρὸ οἱ κακοὶ μνηστῆρες,
 ποὺ νὰ κακοκαρδίζουνε τὸν ξένο πάντα θέλουν,
 μὰ αὐτοὶ πιὰ δὲ θὰ δύνουνται νὰ κάμουν τὰ δικά τους,

ὅσο ἂν θυμώνουνε. Καὶ πῶς, ὦ ξένε, ἐσὺ θὰ μάθῃς,
πῶς γὰρ ἐμεῦ σύ, ξεῖνε, δαήσεαι εἴ τι γυναικῶν
 ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
 εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος ἐν μεγάροισιν
 δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
 ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
 ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
 ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
 τοῦ μέν τε κλέος εὐρὺ δὶα ξεῖνοι φορέουσι

ἐγὼ ἂν τὶς ἄλλες ξεπερνῶ στὰ φρένα καὶ στὴ γνώση,
 στὰ δεῖπνα μας ἂν κάθεσαι λερός, κακοντυμένος,
 μὲς στὸ παλάτι; τῶν θνητῶν οἱ μέρες εἶναι λίγες·
 ὅποιος μᾶς φαίνεται ἄσπλαχνος κι ἔχει ἄσπλαχνη τὴ γνώμη,
 ὅλοι οἱ ἀνθρῶποι καὶ σὰ ζῇ τὸν καταριοῦνται ἐτοῦτον,
καὶ σὰν πεθάνῃ, τὸν γελοῦν καὶ τὸν καταφρονοῦνε.
 Πάλε, ὅποιος φαίνεται γλυκός, κι ἔχει γλυκειὰ τὴ γνώμη,
 ἡ δόξα του ὡς τὰ πέρατα σκορπιέται ἀπὸ τοὺς ξένους,
 κι ὅλος ὁ κόσμος ἐκεινοῦ καλὸ ὄνομα τοῦ δίνει."

πάντας ἐπ᾽ ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἦ τοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ᾽, ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο,
κείω δ᾽ ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
ἄεσα καί τ᾽ ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῢς ἔστι παλαιή, κεδνὰ ἰδυῖα,
ἥ τις δὴ τέτληκε τόσα φρεσὶν ὅσσα τ᾽ ἐγώ περ·
τῇ δ᾽ οὐκ ἂν φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"ξεῖνε φίλ᾽· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
ὡς σὺ μάλ᾽ εὐφραδέως πεπνυμένα πάντ᾽ ἀγορεύεις·
ἔστι δέ μοι γρηῢς πυκινὰ φρεσὶ μήδε᾽ ἔχουσα
ἣ κεῖνον δύστηνον ἐὺ τρέφεν ἠδ᾽ ἀτίταλλε,
δεξαμένη χείρεσσ᾽, ὅτε μιν πρῶτον

Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
“Γυναίκα πολυσέβαστη τοῦ τέκνου τοῦ Λαέρτη,
σιχάθηκα τὶς μαλακὲς φλοκάτες καὶ τὰ χράμια,
ὅταν τῆς Κρήτης τὰ βουνὰ τὰ χιονισμένα ἀφῆκα,
καὶ βγῆκα μὲ μακρόκουπο καράβι στὰ πελάγη.
Κάλλιο ἂς πλαγιάσω σὰν καὶ πρὶν, ποὺ ὁλόνυχτα ἀγρυπνοῦσα·
πόσες νυχτιὲς δὲν πέρασα στὸ φτωχικὸ κλινάρι,
τὴ χρυσοθρόνιαστην Αὐγὴ προσμένοντας νὰ φέξη.
Κι οὐδὲ τὸ ποδοπλύσιμο δὲν τὸ ζητάει ἡ καρδιά μου,
οὐδὲ καμιὰ τὸ πόδι μου γυναίκα δὲ θ' ἀγγίξη,
ἀπ' ὅσες μὲς τοὺς πύργους σου βρίσκουντ' ἐδῶ δουλεῦτρες,
ἐξὸν κάποια γερόντισσα καλὴ καὶ τιμημένη,
ἃ βρίσκεται, ποὺ νά 'παθεν ὅσα κι ἐγὼ ἡ καρδιά της.
Ἐκείνη θὰ τὴν ἄφηνα τὰ πόδια μου ν' ἀγγίξη.”
Κι ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ λέει· “Ὦφίλε ξένε,
τὶ ξένος ἀπ' τὰ μακρινὰ σ' αὐτὸ ἐδῶ τὸ παλάτι
τόσο σοφὸς κι ἀγαπητὸς ἄλλος ποτὲς δὲν ἦρθε,
μὲ τόση γλύκα ἐσὺ τὰ λὲς καὶ τ' ἁρμηνεύεις ὅλα.
Τώρα ἔχω ἐγὼ γερόντισσα μὲ νοῦ γεμάτο γνώση,
αὐτὴ ποὺ γλυκανάθρεψε τὸ δύστυχο μου ρήγα,
κι ἀπὸ τῆς μάνας τὴν κοιλιὰ τὰ χέρια της τὸν

τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ᾽ ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
ἤδη τοιόσδ᾽ ἐστὶ πόδας τοιόσδε τε χεῖρας·
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."
ὣς ἄρ᾽ ἔφη, γρηὺς δὲ κατέσχετο χερσὶ πρόσωπα,
δάκρυα δ᾽ ἔκβαλε θερμά, ἔπος δ᾽ ὀλοφυδνὸν ἔειπεν·
"ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διὶ τερπικεραύνῳ
πίονα μηρί᾽ ἔκη᾽ οὐδ᾽ ἐξαίτους ἑκατόμβας,
ὅσσα σὺ τῷ ἐδίδους, ἀρώμενος ἦος ἵκοιο
γῆράς τε λιπαρὸν θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι οἴῳ πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.
οὕτω που καὶ κείνῳ ἐφεψιόωντο γυναῖκες
ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώμαθ᾽ ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι,
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ᾽ ἀλεείνων
οὐκ ἐάας νίζειν· ἐμὲ δ᾽ οὐκ ἀέκουσαν ἄνωγε
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
τῷ σε πόδας νίψω ἅμα τ᾽ αὐτῆς Πηνελοπείης

πῆραν.
Ἐκείνη, ἂν κι εἶναι ἀλλοίμονη, τὰ πόδια θὰ σοῦ πλύνη.
Σήκου καλή μου Εὐρύκλεια, τοῦ ἀφέντη σου νὰ νίψης
τὸ συνομίληκο. Ποὺ πιὰ κι ἐκεῖνος τώρα θά 'ναι
μὲ τοῦτον καὶ στὰ χέρια του παρόμοιος καὶ στὰ πόδια.
Γιατ' οἱ ἀνθρῶποι γλήγορα γεράζουνε στὰ πάθια."
Σκέπασε τότες ἡ γριὰ τὴν ὄψη μὲ τὰ χέρια,
καὶ δάκρυα χύνοντας θερμὰ παραπονέθη κι εἶπε·
"Ωχοῦ, παιδάκι μου, ἐγὼ πιὰ ἀπελπίστηκα γιὰ σένα·
περίσσια ὁ Δίας σ' ὀργίστηκε μ' ὅλη τὴ θεοφοβιά σου.
Γιατὶ ἄλλος τοῦ βροντόχαρου τοῦ Δία θνητὸς κανένας
δὲν ἔκαψε παχιὰ μεριὰ μηδ' ἑκατόβοδα ὥρια,
παρ' ὅσα ἐσύ τοῦ πρόσφερνες, μὲ προσευκὲς ζητώντας
ἀναπαμένα γερατειά, καὶ τοῦ παιδιοῦ σου χρόνια.
Καὶ τώρα ἐσένα μοναχὰ τὸ γυρισμό σου ἀρνήθη.
Ἔτσι μ' ἐκεῖνον θά 'παιζαν στὴν ξενιτειὰ οἱ γυναῖκες,
σὰν ἔμπαινε στὰ λαμπερὰ παλάτια τῶν ἀρχόντων,
σὰν ποὺ μὲ σένα ἐδῶ γελοῦν οἱ σκύλες τώρα ἐδαῦτες.
Μὴ θέλοντας ἐσὺ κακὲς ν' ἀκοῦς βρισιές, ἀρνιέσαι
τὸ πλύσιμο, κι ἐμένανε προστάζει, τὴν πιστή της,
ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ Ἰκάριου ἡ θυγατέρα.
Τὰ πόδια θὰ σοῦ πλύνω ἐγὼ γιὰ κείνη καὶ γιὰ σένα,

καὶ σέθεν εἵνεκ', ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
κήδεσιν. ἀλλ' ἄγε νῦν ξυνίει ἔπος, ὅττι κεν εἴπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
ἀλλ' οὔ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
ὡς σὺ δέμας φωνήν τε πόδας τ' Ὀδυσῆϊ ἔοικας."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γρηῦ, οὕτω φασὶν ὅσοι ἴδον ὀφθαλμοῖσιν
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἔμμεναι, ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις."
ὣς ἄρ' ἔφη, γρηὺς δὲ λέβηθ' ἕλε παμφανόωντα
τοῦ πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πουλὺ
ψυχρόν, ἔπειτα δὲ θερμὸν ἐπήφυσεν. αὐτὰρ Ὀδυσσεὺς
ἷζεν ἐπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα·
αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσατο, μή ἑ λαβοῦσα
οὐλὴν ἀμφράσσαιτο καὶ ἀμφαδὰ ἔργα γένοιτο.
νίζε δ' ἄρ' ἄσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησόνδ' ἐλθόντα μετ' Αὐτόλυκόν τε καὶ υἷας,
μητρὸς ἑῆς πάτερ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο
κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν
ἀρνῶν ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων

τὶ ξάφνω μὲς τὰ στήθια μου πολλοὶ καημοὶ ξυπνῆσαν.
Καὶ τώρα πρόσεξέ μου αὐτὸ ποὺ νὰ σοῦ πῶ ἐγὼ θέλω.
Ξένοι πολλοὶ πλανήθηκαν κι ἦρθαν ἐδῶ, μὰ ἀκόμα
κανένα δὲν ἀντάμωσα νὰ μοιάζῃ τοῦ Ὀδυσσέα,
ὅσο στὸ σῶμα, στὴ φωνὴ, στὰ πόδια ἐσὺ τοῦ μοιάζεις."

Τότε γυρνᾶ ὁ πολύβουλος Δυσσέας καὶ τῆς κρένει·
"Αὐτό, ὦ γριά, μᾶς εἴπανε κι ὅσοι τοὺς δυό μας εἶδαν,
πὼς ἕνας μὲ τὸν ἄλλονε πολὺ 'χαμε μοιασίδι,
καθὼς δὰ τό 'νιωσες κι ἐσὺ, καὶ φανερὰ μοῦ τό 'πες."

Εἶπε, καὶ πῆρε ὁλόλαμπρο τότ' ἡ γριὰ λεβέτι,
καλὸ γιὰ ποδοπλύσιμο, κι ἔβαλε πολὺ κρύο
νερό, κατόπι καὶ ζεστό. Καὶ κάθισε ὁ Δυσσέας
λίγο παράμερα τῆς στιᾶς, γερτὸς πρὸς τὸ σκοτάδι,

τὶ τοῦ 'ρθε φόβος ἄξαφνα μὴν τύχη καὶ γνωρίση
τὸ λάβωμα του ψάχνοντας, καὶ ὅλα τὰ φανερώση.
Σιμώνει τότες ἡ γριὰ τὸ ρήγα της νὰ πλύνη,
καὶ πλένοντάς τον ἔνιωσε τό λάβωμα ποὺ κάπρος
μὲ τ' ἄσπρο δόντι μιὰ φορὰ στὸ πόδι τοῦ 'χε ἀνοίξει,

σὰν ἦρθε νέος στὸν Παρνασσό, τῆς μάνας του τὸν κύρη,
τὸ δοξασμένο Αὐτόλυκο νὰ δῇ μὲ τὰ παιδιά του,
πού 'τανε πρῶτος τῶν θνητῶν σὲ πονηριὲς καὶ σ' ὅρκους,
τοῦ θεοῦ τοῦ Ἑρμῆ χαρίσματα τὶ εἶχε πολλὰ

ἅμ᾽ ὀπήδει.
Αὐτόλυκος δ᾽ ἐλθὼν Ἰθάκης ἐς πίονα δῆμον
παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·
τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
παυομένῳ δόρποιο, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"Αὐτόλυκ᾽, αὐτὸς νῦν ὄνομ᾽ εὕρεο ὅττι κε θῆαι
παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστιν."
τὴν δ᾽ αὖτ᾽ Αὐτόλυκος ἀπαμείβετο φώνησέν τε·
"γαμβρὸς ἐμὸς θυγάτηρ τε, τίθεσθ᾽ ὄνομ᾽ ὅττι κεν εἴπω·
πολλοῖσιν γὰρ ἐγώ γε ὀδυσσάμενος τόδ᾽ ἱκάνω,
ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα πουλυβότειραν·
τῷ δ᾽ Ὀδυσεὺς ὄνομ᾽ ἔστω ἐπώνυμον· αὐτὰρ ἐγώ γε,
ὁππότ᾽ ἂν ἡβήσας μητρῴϊον ἐς μέγα δῶμα
ἔλθῃ Παρνησόνδ᾽, ὅθι πού μοι κτήματ᾽ ἔασι,
τῶν οἱ ἐγὼ δώσω καί μιν χαίροντ᾽ ἀποπέμψω."
τῶν ἕνεκ᾽ ἦλθ᾽ Ὀδυσεύς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
τὸν μὲν ἄρ᾽ Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
χερσίν τ᾽ ἠσπάζοντο ἔπεσί τε μειλιχίοισι·
μήτηρ δ᾽ Ἀμφιθέη μητρὸς περιφῦσ᾽ Ὀδυσῆϊ
κύσσ᾽ ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.

ἀπ' ἐκεῖνον
καλὰ γιδιῶν κι ἀρνιῶν μεριὰ ὁ θεὸς Ἑρμῆς, καὶ πάντα
μὲ ἀγάπη τὸν συνόδευε καὶ προθυμιὰ μεγάλη.
Στὸ καρπερὸ ὁ Αὐτόλυκος σὰν πέρασε τὸ Θιάκι,
καὶ βρῆκε μὲ νιογέννητο τὴν κόρη του ἀγοράκι,
ἡ Εὐρύκλεια τοῦ τ' ἀπόθεσε στὰ γόνατα, κατόπι
ἀπὸ τὸ δεῖπνο, κι ἄξαφνα τοῦ φώναξε καὶ τοῦ 'πε·
"Αὐτόλυκε, βρὲς τ' ὄνομα ποὺ τώρα ἐσὺ θὰ βάλης
στῆς θυγατέρας σου τὸ γιὸ τὸν πολυαγαπημένο."
Κι ὁ Αὐτόλυκος ἀπάντησε· "Γαμπρὲ καὶ θυγατέρα,
νά, τ' ὄνομα θὰ σᾶς πῶ νὰ βάλτε τοῦ ἀγοριοῦ σας.
Περίσσιους δυσαρέστησα ἐγὼ ποὺ ἐδῶ σᾶς ἦρθα,
γυναῖκες κι ἄντρες, πὰς σ' αὐτὴ τὴ γῆς τὴν τροφοδότρα·
γι' αὐτὸ Δυσσέας νὰ λεχτῆ τ' ἀγόρι· καὶ σὰν ἔρθη
μεγάλος στῆς μητέρας του τὸ δοξαστὸ παλάτι,
στὸν Παρνασσό, ποὺ βρίσκεται τὸ βιός μου, θὰ τοῦ δώσω
μερίδιο, καὶ χαρούμενο θὰ τόν ξεπροβοδώσω."
Αὐτὰ ὁ Δυσσέας τὰ λαμπρὰ τὰ δῶρα ἦρθε νὰ πάρη,
καὶ τὰ παιδιὰ τοῦ Αὐτόλυκου, κι ὁ Αὐτόλυκος ἀτός του,
μὲ ἀγάπη τὸν χερόσφιξαν καὶ τοῦ γλυκομιλῆσαν.
Κι ἡ Ἀμφιθέα ἡ μάμμη του στὴν ἀγκαλιὰ τὸν πῆρε,
φιλώντας του τὴν κεφαλὴ καὶ τὰ ὄμορφά του μάτια.

Αὐτόλυκος δ᾽ υἱοῖσιν ἐκέκλετο κυδαλίμοισι
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ᾽ ὀτρύνοντος ἄκουσαν,
αὐτίκα δ᾽ εἰσάγαγον βοῦν ἄρσενα πενταέτηρον·
τὸν δέρον ἀμφί θ᾽ ἔπον, καί μιν διέχευαν ἅπαντα,
μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
δὴ τότε κοιμήσαντο καὶ ὕπνου δῶρον ἔλοντο.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
βάν ῥ᾽ ἴμεν ἐς θήρην, ἠμὲν κύνες ἠδὲ καὶ αὐτοὶ
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν· αἰπὺ δ᾽ ὄρος προσέβαν καταειμένον ὕλῃ
Παρνησοῦ, τάχα δ᾽ ἵκανον πτύχας ἠνεμοέσσας.
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο,
οἱ δ᾽ ἐς βῆσσαν ἵκανον ἐπακτῆρες· πρὸ δ᾽ ἄρ᾽ αὐτῶν
ἴχνι᾽ ἐρευνῶντες κύνες ἤϊσαν, αὐτὰρ ὄπισθεν
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
ἔνθα δ᾽ ἄρ᾽ ἐν λόχμῃ πυκινῇ

Καὶ τοὺς λεβέντηδές του γιοὺς τραπέζι νὰ τοιμάσουν
παράγγειλε ὁ Αὐτόλυκος, κι ἐκεῖνοι τὸν ἀκοῦσαν,
κι ἀμέσως πῆραν φέρανε πέντε χρονῶνε βόδι·
τὸ γδάραν, τὸ συγύρισαν, τὸ κόψανε κομμάτια,
μὲ τέχνη τὸ λιανίσανε, σὲ σοῦβλες τὸ περάσαν,
κι ἀφοῦ τ' ὁμορφοψήσανε, χωρίσαν τὶς μερίδες.
Ὁλημερὶς τρωγόπιναν ὡσποὺ κατέβη ὁ ἥλιος,
καὶ δὲ στερήθη κανενὸς καρδιὰ σωστὸ μερίδιο.
Κι ὁ ἥλιος σὰ βασίλεψε καὶ πῆρε τὸ σκοτάδι,
πλαγιάσανε νὰ κοιμηθοῦν καὶ νὰ χαροῦν τὸν ὕπνο.
Ἔφεξ' ἡ ροδοδάχτυλη τῆς νύχτας κόρη Αὐγούλα,
καὶ τὰ παιδιὰ τοῦ Αὐτόλυκου μὲ τὰ σκυλια κινῆσαν
γιὰ τὸ κυνήγι, κι ὁ λαμπρὸς μαζί τους Ὀδυσσέας.
Περνώντας τοῦ ἀψηλόκορφου τοῦ Παρνασσοῦ τὰ δάσια,
γλήγορα φτάσαν σὲ λακκιὲς ἀνεμοσαρωμένες.
Κι ὁ ἥλιος ὅτι πρόβαλε καὶ τὶς στεριὲς χτυποῦσε,
ἀπ' τοῦ βαθιοῦ τοῦ Ὠκεανοῦ τὸ σιγανὸ τὸ ρέμα,
στὸ δάσο μπῆκαν οἱ ὁδηγοί, τ' ἀχνάρια ὀμπρὸς οἱ σκύλοι
νὰ βροῦνε τρέχανε, κι οἱ γιοι τοῦ Αὐτόλυκου ἀκλουθοῦσαν
μὲ τὸ Δυσσέα τὸ θεϊκό, ποὺ πιὸ σιμὰ στοὺς σκύλους
τραβοῦσε ὀμπρὸς σαλεύοντας μακροΐσκιωτο κοντάρι.
Μέσα σὲ λόγγο σύδενδρο μέγα καπρὶ

κατέκειτο μέγας σῦς·
τὴν μὲν ἄρ᾽ οὔτ᾽ ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
οὔτε μιν᾽Ηέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
οὔτ᾽ ὄμβρος περάασκε διαμπερές·
ὣς ἄρα πυκνὴ
ἦεν, ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
τὸν δ᾽ ἀνδρῶν τε κυνῶν τε περὶ κτύπος ἦλθε ποδοῖϊν,
ὡς ἐπάγοντες ἐπῆσαν· ὁ δ᾽ ἀντίος ἐκ ξυλόχοιο
φρίξας εὖ λοφιήν, πῦρ δ᾽ ὀφθαλμοῖσι δεδορκώς,
στῆ ῥ᾽ αὐτῶν σχεδόθεν· ὁ δ᾽ ἄρα πρώτιστος Ὀδυσσεὺς
ἔσσυτ᾽ ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς
γουνὸς ὕπερ, πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
λικριφὶς ἀΐξας, οὐδ᾽ ὀστέον ἵκετο φωτός.
τὸν δ᾽ Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
ἀντικρὺ δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, ἀπὸ δ᾽ ἔπτατο θυμός.
τὸν μὲν ἄρ᾽ Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο,
ὠτειλὴν δ᾽ Ὀδυσῆος ἀμύμονος ἀντιθέοιο
δῆσαν ἐπισταμένως, ἐπαοιδῇ δ᾽ αἷμα κελαινὸν
ἔσχεθον, αἶψα δ᾽ ἵκοντο φίλου πρὸς δώματα πατρός.
τὸν μὲν ἄρ᾽ Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
εὖ ἰησάμενοι ἠδ᾽ ἀγλαὰ δῶρα πορόντες

κοιτόταν.
Μήτ᾽ ἄνεμοι ἐκεῖ σύνυγροι δὲν ἀγριοφυσοῦσαν,
μήτε τοῦ ἥλιου οἱ φωτερὲς ἀχτίδες δὲ χτυποῦσαν,
μήτε βροχὴ δὲν πέρναγε, τόσο πυκνὸς ὁ λόγγος,
καὶ φύλλα ἀρίθμητα στὴ γῆς τριγύρω σκορπισμένα.
Κι ἀκούγοντας ποδοβολὴ σκυλιῶν κι ἀντρῶν ὁ κάπρος,
ποὺ ἐρχόντουσαν ἀπάνω του, πετιέται ἀπὸ τὸ λόγγο,
κι ἀντίκρυ τους ὀρθότριχος, μὲ μάτια φλόγες, στάθη.
Πρῶτα ὁ Δυσσέας τοῦ χύθηκε, καὶ τὸ μακρὺ κοντάρι
ἡ χέρα του ἀνασήκωσε, τὸ ζῶ γιὰ νὰ βαρέση.
Ὅμως ὁ κάπρος πρόλαβε, κι ἀπάνω ἀπὸ τὸ γόνα
κρέας πολὺ τοῦ ξέσκισε περνώντας, κι ἀπ' τὸ πλάγι
τὸ δόντι μπήγοντας, χωρὶς τὸ κόκκαλο ν' ἀγγίξη.
Πάνω στὸν ὦμο τὸ δεξὶ βαρᾶ ὁ Δυσσέας τὸν κάπρο,
καὶ βγῆκε ἡ μύτη ἡ σουβλερὴ τοῦ κονταριοῦ ἀπ' ἀντίκρυ·
καὶ πέφτοντας μὲ μουγγρητὸ ξεψύχησε τ' ἀγρίμι.

Τότες οἱ γιοὶ τοῦ Αὐτόλυκου νοιαστῆκαν τὸ Δυσσέα,
τὸ θεῖο κι ἀψεγάδιαστο, τοῦ δέσανε μὲ τέχνη
τὸ λάβωμα, σταμάτησαν μὲ γήτεμα τὸ μαῦρο
τὸ αἷμα, καὶ τὸν φέρανε στὸ γονικὸ παλάτι.
Καὶ τέλος πιὰ ὁ Αὐτόλυκος μὲ τὰ παιδιά του ἀντάμα,
ἀφοῦ καλὰ τὸν ἔγιαναν, καὶ δῶρα τοῦ πορέψαν,

καρπαλίμως χαίροντα φίλην ἐς πατρίδ᾽ ἔπεμπον
εἰς Ἰθάκην. τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
χαῖρον νοστήσαντι καὶ ἐξερέεινον ἕκαστα,
οὐλὴν ὅττι πάθοι· ὁ δ᾽ ἄρα σφίσιν εὖ κατέλεξεν
ὥς μιν θηρεύοντ᾽ ἔλασεν σῦς λευκῷ ὀδόντι,
Παρνησόνδ᾽ ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
τὴν γρηὺς χείρεσσι καταπρηνέσσι λαβοῦσα
γνῶ ῥ᾽ ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
ἐν δὲ λέβητι πέσε κνήμη, κανάχησε δὲ χαλκός,
ἄψ δ᾽ ἑτέρωσ᾽ ἐκλίθη· τὸ δ᾽ ἐπὶ χθονὸς ἐξέχυθ᾽ ὕδωρ.
τὴν δ᾽ ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
"ἦ μάλ᾽ Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ᾽ ἐγώ γε
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ᾽ ἐμὸν ἀμφαφάασθαι."
ἦ καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
ἡ δ᾽ οὔτ᾽ ἀθρῆσαι δύνατ᾽ ἀντίη οὔτε νοῆσαι·
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
χεῖρ᾽ ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῇφι,
τῇ δ᾽ ἑτέρῃ ἔθεν ἄσσον ἐρύσσατο φώνησέν τε.
"μαῖα, τίη μ᾽ ἐθέλεις ὀλέσαι; σὺ δέ μ᾽

χαρούμενοι τὸν ἔστειλαν χαρούμενο στὸ Θιάκι.
Ὁ κύρης του ἀναγάλλιασε κι ἡ σεβαστή του μάνα
ποὺ γύρισε, καὶ ρώταγαν νὰ μάθουνε πῶς τοῦ 'ρθε
τὸ λάβωμα· καὶ τότε αὐτὸς δηγήθηκέ τους ὅλα,
πὼς στὸ κυνήγι ἀσπρόδοντο καπρὶ τὸν εἶχε σκίσει
στὸν Παρνασσό, μὲ τὰ παιδιὰ τοῦ Αὐτόλυκου σὰν πῆγε.
Αὐτὸ τὸ λάβωμα ἄγγιξε καὶ γνώρισε ἡ γριούλα,
κι ἀφῆκε εὐτὺς τὸ πόδι του νὰ πέση, καὶ τὸ πόδι
μὲς στὸ λεβέτι γλίστρησε, καὶ βρόντηξε ὁ χαλκός του,
κι ἀπὸ τὴν ἄλλην ἔγειρε, καὶ τὰ νερὰ χυθῆκαν.
Χαρὰ συνάμα καὶ καημὸς τὸ νοῦ της συνεπῆρε,
τὰ μάτια της δακρύσανε, καὶ κόπηκε ἡ φωνή της.
Καὶ τὸ πηγούνι πιάνοντας τοῦ Ὀδυσσέα, τοῦ εἶπε·
"Εἶσαι ὁ Δυσσέας, παιδάκι μου, καὶ δὲ σ' εἶχα γνωρίσει,
παρὰ καλὰ σὰν ἔψαξα τοῦ ἀφέντη μου τὸ σῶμα."
Εἶπε, καὶ γύρισε ματιὰ κατὰ τὴν Πηνελόπη,
νὰ φανερώση θέλοντας πὼς μέσα 'ναι ὁ καλός της.
Μὰ αὐτὴ νὰ δῆ δὲ δύνονταν ἀντίκρυ καὶ νὰ νιώση,
τὶ ἡ Ἀθηνᾶ τῆς γύριζεν ἀλλοῦ τὸ λογισμό της.
Τότε ὁ Δυσσέας ἀπ' τὸ λαιμὸ μὲ τὸ δεξὶ τὴν πιάνει,
καὶ πλάγι του τραβώντας την μὲ τ' ἄλλο, αὐτὰ τῆς λέει·
"Νὰ μ' ἀφανίσης καὶ καλὰ ζητᾶς ἐσύ,

ἔτρεφες αὐτὴ
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ᾽ ἄλγεα πολλὰ μογήσας
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
σίγα, μή τίς τ᾽ ἄλλος ἐνὶ μεγάροισι πύθηται.
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
εἴ χ᾽ ὑπ᾽ ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ᾽ ἂν ἄλλας
δμῳὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
"τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ᾽ ἐπιεικτόν,
ἔξω δ᾽ ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἴ χ᾽ ὑπό σοι γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
αἵ τέ σ᾽ ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσι."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή.
εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ᾽ ἑκάστην·
ἀλλ᾽ ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν."
ὣς ἄρ᾽ ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει

μανούλα;
Τάχα σ' αὐτό σου τὸ βυζὶ δὲ μ' ἔθρεψες; καὶ τώρα
τόσα σὰν ἔπαθα, γυρνῶ στὰ εἴκοσι τὰ χρόνια
στὸν τόπο μου. Ἀφοῦ μ' ἔνιωσες μὲ κάποιου θεοῦ βοήθεια,
σώπα, μὴν τύχη κι ἀκουστῆ κι ἀπ' ἄλλον ἐδῶ μέσα.
Γιατὶ ἄκουσε τί θὰ σοῦ πῶ, κι ὅ,τι ἐγὼ πῶ τελειέται·
ἂν ὁ θεὸς τοὺς ξέλαμπρους μνηστῆρες μοῦ δαμάση,
κι ἐσένα δὲ θὰ λυπηθῶ, βυζάστρα μου κι ἂν εἶσαι,
τὴν ὥρα ποὺ τὶς ἄλλες μου τὶς δοῦλες θὰ σκοτώνω."
Κι ἡ Εὐρύκλεια τότε ἡ γνωστικιὰ τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Τί λόγο ἀπὸ τ' ἀχείλι σου ξεστόμισες, παιδί μου;
Ἤρεις πὼς εἶναι ἀσάλευτη κι ἀλύγιστη ἡ ψυχή μου,
καὶ θά 'ναι σὰν τὸ σίδερο καὶ τὸ στεριὸ λιθάρι,
Κι ἄλλο ἕν' ἀκόμα θᾶ σοῦ πῶ, καὶ βάλ' το μὲς στὸ νοῦ σου·
ἂν ὁ θεὸς τοὺς ξέλαμπρους μνηστῆρες σου δαμάση,
κάθε γυναίκα τοῦ σπιτιοῦ θὰ σοῦ τὴν ἱστορήσω,
ποιὲς ἄτιμα σοῦ φέρνουνται καὶ ποιὲς δὲν ἔχουν κρῖμα."
Καὶ τότες ὁ πολύβουλος Δυσσέας ἀπολογήθη·
"Τί θὰ μοῦ πῆς, μανούλα, ἐσὺ γι' αὐτές; δὲν εἶναι ἀνάγκη·
μονάχος μου τὴν καθεμιὰ θὰ νιώσω καὶ θὰ μάθω.
Μον' σώπαινε, καὶ στοὺς θεοὺς ν' ἀφήσης τὴ φροντίδα."
Κι ἀπ' τὰ παλάτια διάβηκε ἡ γριὰ γιὰ νὰ τοῦ φέρη

οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ᾽ ἔκχυτο πάντα.
αὐτὰρ ἐπεὶ νίψεν τε καὶ ἤλειψεν λίπ᾽ ἐλαίῳ,
αὖτις ἄρ᾽ ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
"ξεῖνε, τὸ μέν σ᾽ ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή·
καὶ γὰρ δὴ κοίτοιο τάχ᾽ ἔσσεται ἡδέος ὥρη,
ὅν τινά γ᾽ ὕπνος ἕλοι γλυκερός, καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ᾽ ὀδυρομένη, γοόωσα,
ἔς τ᾽ ἐμὰ ἔργ᾽ ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκῳ·
αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ᾽ ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶνες ὀδυρομένην ἐρέθουσιν.
ὡς δ᾽ ὅτε Πανδαρέου κούρη, χλωρηΐς ἀηδών,
καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο,
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ᾽ ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
κτεῖνε δι᾽ ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
ὡς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα

νερὸ γιὰ ποδοπλύσιμο, ποὺ χύθηκε ὅλο τ' ἄλλο.
Κι ἀφοῦ καλὰ τὸν ἔπλυνε καὶ τοῦ ἄλειψε τὸ λάδι,
πρὸς τὴ φωτιὰ τότε ἔσυρε ὁ Δυσσέας τὸ κάθισμά του,
καὶ μὲ κουρέλια σκέπασε τὸ λαβωμένο πόδι.
Κι ἀρχίνησεν ἡ γνωστικιὰ νὰ κρένη Πηνελόπη·
"Ξένε, κάτι ἄλλο θέλω ἐγὼ νὰ σὲ ρωτήξω ἀκόμα,
τὶ φτάνει τώρα τῆς γλυκειᾶς ἀνάπαψης ἡ ὥρα,
γιὰ κείνους ποὺ ὕπνο χαίρουνται, πολὺ καημὸ κι ἂν ἔχουν.
Μὰ ἐμένα λύπη ἀμέτρητη μοῦ ἔχει δοσμένη ἡ μοῖρα.
Ὅσο 'ναι μέρα τὴν περνῶ, μὲ σπαραγμοὺς καὶ κλάψες,
στὸ σπίτι μέσα τὰ ἔργα μου κοιτώντας καὶ τὶς δοῦλες·
μὰ ἡ νύχτα μιὰς καὶ κατεβῇ, κι ὅλους τοὺς πάρη ὁ ὕπνος,
μὲς στὸ κλινάρι κοίτουμαι, καὶ τὴν πικρὴ καρδιά μου
ἔννοιες τὴν πνίγουνε σκληρές, ποὺ νὰ θρηνῶ μὲ κάνουν.
Κι ὅπως ἡ Ἀηδόνα ἡ λυγερὴ καὶ κόρη τοῦ Παντάρου,
γλυκολαλεῖ, τῆς ἄνοιξης ἅμα ὁ καιρὸς γυρίση,
στῶ δέντρων καθὼς κάθεται τὰ πυκνωμένα φύλλα
καὶ μὲ συχνὰ γυρίσματα μύριους σκοποὺς ἀλλάζει.
τὸν Ἴτυλο, τὸ τέκνο της, θρηνώντας, ποὺ τὸν εἶχε
σκοτώσει ἀνήξερα, τὸ γιὸ τοῦ βασιλέα τοῦ Ζήθου,
κι ἐμένα ὁ νοῦς μου μιὰ ἀπ' ἐδῶ καὶ μιὰ ἀπ' ἐκεῖ γυρίζει,
ἢ νὰ σταθῶ μὲ τὸ παιδί, καὶ νὰ φυλάω

πάντα φυλάσσω,
κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ᾽ αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ᾽ ἕπωμαι Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ᾽ ἐμὸς ἧος ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ᾽ οὔ μ᾽ εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ᾽ ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ᾽ ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ᾽ ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ᾽ ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ᾽ αὐχένας ἧξε καὶ ἔκτανεν· οἱ δ᾽ ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις, ὁ δ᾽ ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρῳ,
ἀμφὶ δ᾽ ἔμ᾽ ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ᾽ ὀλοφυρομένην ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ᾽ ἐλθὼν κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ προὔχοντι μελάθρῳ,
φωνῇ δὲ βροτέῃ κατερήτυε φώνησέν τε·
"᾽θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·

δωπέρα,
τὸ ἔχει μου, τὶς δοῦλες μου, καὶ τ' ἁψηλά παλάτια,
μὲ σεβασμὸ στὸ ταίρι μου καὶ στὴ φωνή του κόσμου,
ἢ τὸν καλύτερο Ἀχαιὸ μνηστήρα ν' ἀκλουθήσω,
ποὺ στὸ παλάτι βρίσκεται, καὶ δίνει πλέρια δῶρα.
Κι ὅσο ἤτανε μικρὸ παιδὶ δὲ δέχονταν ὁ γιός μου
ἄντρα νὰ πάρω καὶ νὰ βγῶ ἀπ' τοῦ Δυσσέα τοὺς πύργους·
μὰ τώρα ποὺ ἔγινε κι αὐτὸς μεγάλο παλληκάρι,
λυπᾶται τὸ πολὺ τὸ βιὸς ποὺ οἱ Ἀχαιοὶ τοῦ τρῶνε,
καὶ τοὺς θεοὺς παρακαλεῖ νὰ φύγω ἀπ' τὰ παλάτια.
Μ' ἄκουσε τώρα τ' ὄνειρο ποὺ εἶδα, καὶ ξήγησέ το.
Εἴκοσι χῆνες θρέφω ἐδῶ μὲ τὸ βρεχτὸ σιτάρι,
ποὺ χαίρουμαι νὰ τῆς θωρῶ καὶ νὰ τὶς καμαρώνω.
Μέγας ἀϊτὸς ἀπ' τὸ βουνὸ κατέβη ἀγκιστρομύτης,
καὶ τὰ λαιμά τους ἔσπασε· νεκρὲς στρωθῆκαν ὅλες
μὲς στὰ παλάτια κι ὁ ἀϊτὸς ἀνέβη στοὺς αἰθέρες.
Κι ἐγὼ θρηνοῦσα κι ἔσκουζα μὲς στ' ὄνειρό μου τότες,
καὶ γύρω οἱ ὡριοπλέξουδες Ἀχαΐδες συναχτῆκαν,
ἀπ' τὶς φωνές μου, ποὺ ὁ ἀϊτὸς μοῦ σκότωσε τὶς χῆνες.
Κι ἐκεῖνος ἦρθε κάθισε στὸ ξώστεγο ἀποπάνω·
κι ἀνθρώπινα λαλώντας μου μὲ μπόδιζε νὰ κλαίγω·
"Θάρρος, τοῦ κοσμοξάκουστου τοῦ Ἰκάριου ὦ θυγατέρα·

οὐκ ὄναρ, ἀλλ᾽ ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.᾽
"ὣς ἔφατ᾽, αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε·
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἦχι πάρος περ."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ γύναι, οὔ πως ἔστιν ὑποκρίνασθαι ὄνειρον
ἄλλῃ ἀποκλίναντ᾽, ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
πέφραδ᾽ ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ᾽ ὄλεθρος
πᾶσι μάλ᾽, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"ξεῖν᾽, ἦ τοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι
γίγνοντ᾽, οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ᾽ ἐλέφαντι·
τῶν οἳ μέν κ᾽ ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ᾽ ἐλεφαίρονται, ἔπε᾽ ἀκράαντα φέροντες·
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ᾽ ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ᾽ ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν

ἀλήθεια 'ναι, κι ὄχι ὄνειρο, καὶ ξάστερο θὰ σοῦ 'βγη.
Οἱ χῆνες τοὺς μνηστῆρες σου σημαίνουν, κι ἐγὼ ποὺ ἤμουν
ὡς τώρα αϊτός, ὁ αντρας σου τώρα εἶμαι καὶ γυρίζω,
νὰ δώσω τέλος φοβερὸ σὲ κάθε σου μνηστήρα."
Εἶπε, κι ἐμένα μ' ἄφησε τοῦ ὕπνου ἡ γλύκα τότες,
καὶ κοίταξα, κι ἀγνάντεψα τὶς χῆνες στὴν αὐλή μου,
ποὺ ἔτρωγαν στάρι σὰν προτοῦ στὴ γούρνα τους τριγύρω."
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας κι ἀπάντησέ της·
"Ἀλλιώτικα αὐτὸ τ' ὄνειρο, γυναίκα, δὲν ξηγιέται,
γιατὶ ὁ Δυσσέας ὁ ἴδιος πῶς θὰ τὸ τελέση σοῦ εἶπε,
καὶ φαίνεται ὁλοκάθαρο τὸ τέλος τῶν μνηστήρων·
μήτ' ἕνας ἀπ' τὴ μαύρη του δὲ θὰ γλυτώση μοῖρα."
Κι ἡ Πηνελόπη ἡ φρόνιμη γυρίζει καὶ τοῦ κρένει·
"Ἔχουμε, ὦ ξένε, ὀνείρατα ζαβά, μὲ κούφια λόγια,
κι ἀπ' ὅσα ὀνειρευόμαστε, σωστὰ δὲ βγαίνουν ὅλα.
Δυὸ θύρες τ' ἀλαφροΐσκιωτα τὰ ὄνειρα ἔχουν πάντα·
μὲ κέρατο φτιαστὴ τὴ μιά, μὲ φιλντισὶ τὴν ἄλλη·
Ὅσα ὄνειρ' ἀπὸ τὸ φιλντισὶ τὸ πριονιστὸ διαβαίνουν,
χαμένα εἶναι κι ἀνώφελα, καὶ τοὺς θνητοὺς γελᾶνε·
πάλε ὅσα ἀπ' τὰ καλόξεστα τὰ κέρατα περάσουν,
ἀληθινὰ τοῦ βγαίνουνε τοῦ ἀνθρώπου ποὺ τὰ βλέπει.
Μὰ ἐμένα τὸ ἔρμο μου ὄνειρο δὲν πρόβαλε

ὄνειρον
ἐλθέμεν· ἦ κ᾽ ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἤδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ᾽ Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ᾽ ἑξείης, δρυόχους ὡς, δώδεκα πάντας·
στὰς δ᾽ ὅ γε πολλὸν ἄνευθε διαρρίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ᾽ ἐντανύσῃ βιὸν ἐν παλάμῃσι
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ᾽ ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο·
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρῳ."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ᾽ Ὀδυσσεύς,
πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
νευρήν τ᾽ ἐντανύσαι διοϊστεῦσαί τε σιδήρου."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"εἴ κ᾽ ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι

ἀποκεῖθε·
πόση χαρὰ θὰ τό 'χαμε, κι ἐγὼ καὶ τὸ παιδί μου.
Κι ἄλλο ἐγὼ κάτι θὰ σοῦ πῶ, καὶ κράτα το στὸ νοῦ σου·
ζυγώνει ἡ τρισκατάρατη ἡ Αὐγὴ ποὺ θὰ μὲ πάρη
ἀπ' τοῦ Ὀδυσσέα τὸ σπιτικό· θὰ βγάλω τώρα ἀγώνα
τ' ἀξίνια ποὺ ἔστηνε σειρὰ μὲς στὰ παλάτια ἐκεῖνος,
σὰν καραβιοῦ στραβόξυλα, δώδεκ' ἀξίνια καὶ ὅλα

μὲ μιὰ σαϊτιὰ ποὺ ἔρριχνε μακρόθε τὰ περνοῦσε,
τέτοιον ἀγώνα τώρα ἐγὼ θὰ βάλω τῶ μνηστήρων·
κι ἐκεῖνον ποὺ εὐκολώτερα τεντώση τὸ δοξάρι,
κι ἀξίνια δώδεκα μὲ μιὰ σαΐτα του περάση,
θ' ἀκολουθήσω, ἀφήνοντας τὸν πύργο αὐτόνε, ποὺ ἤρθα
νιόπαντρη ἐγώ, καὶ βρῆκα τον ὥριο καὶ βιὸς γεμάτο,
ποὺ πάντα θὰ θυμᾶμαι τον καὶ μέσα στ' ὄνειρό μου."
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
"Γυναίκα σεβαστὴ τοῦ γιοῦ τοῦ Λαέρτη, τοῦ Ὀδυσσέα,
τέτοιον ἀγώνα μὴν ἀργῆς στοὺς πύργους σου νὰ βάλης·
γιατὶ θά 'ναι ὁ πολύβουλος Δυσσέας ἐδῶ φτασμένος,
πρὶν τὸ δοξάρι πιάνοντας αὐτοὶ τ' ὡριοφτιασμένο,
τεντώσουνε τὴν κόρδα του, καὶ ρίξουν μὲς στ' ἀξίνια".

Κι ἡ Πηνελόπη ἡ φρόνιμη τοῦ ἀπάντησε καὶ τοῦ εἶπε·
"Ἂν ἤθελες, ὦ ξένε, ἐδῶ γιὰ μένα νὰ καθίσης·

τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ᾽ οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
ἀλλ᾽ ἦ τοι μὲν ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ᾽ ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ᾽ ἐνὶ οἴκῳ,
ἢ χαμάδις στορέσας ἤ τοι κατὰ δέμνια θέντων."

ὣς εἰποῦσ᾽ ἀνέβαιν᾽ ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

ὕπνος δὲ θὰ χυνότανε, πὰς στὰ ματόφυλλα μου.
Ὅμως δὲ γίνεται οἱ θνητοὶ παντοτινὰ νὰ μνήσκουν
ἀκοίμητοι· γιατ' οἱ θεοὶ καιρὸ τοὺς ἔχουν βάλει
γιὰ κάθε πρᾶμα ξέχωρα στὴ γῆς τὴν τροφοδότρα.
Καὶ τώρα ἐγὼ στ' ἀνώγι μου θ' ἀνέβω νὰ πλαγιάσω,

σὲ κλίνη πολυστέναχτη καὶ πολυδακρυσμένη,
ἀπ' τὸν καιρὸ ποὺ μίσεψε ἀπ' τὸ Θιάκι ὁ Ὀδυσσέας,
τὸ μαῦρο Ἴλιο γιὰ νὰ δῇ, τ' ἀναθεματισμένο.
Ἐκεῖ πηγαίνω ἐγώ· κι ἐσὺ, στὸ σπίτι αὐτὸ κοιμήσου,
κι ἢ χάμου στρώνεις, ἢ τοὺς λὲς κρεβάτι νὰ σοῦ βάλουν".

Αὐτὰ εἶπε καὶ στὰ θεόλαμπρα τ' ἀνώγια της ἀνέβη,
ὄχι μονάχη· οἱ βάγιες της μαζὶ κι αὐτὲς πηγαῖναν.
Κι ἀπάνω σὰν ἀνέβηκε στ' ἀνώγια μὲ τὶς βάγιες,
τὸν ἀκριβό της ἔκλαιγε Δυσσέα ὡσότου ὕπνο
ἡ Ἀθηνᾶ τῆς στάλαξε γλυκὸ στὰ βλέφαρά της.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία υ

Τὰ πρὸ τῆς μνηστηροφονίας.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς·
κὰμ μὲν ἀδέψητον βοέην στόρεσ᾽, αὐτὰρ ὕπερθε

Κι ὁ Ὀδυσσέας ὁ θεϊκὸς στὸ πρόσπιτο πλαγιάζει,
σὲ ἀδούλευτο βοδόπετσο, μὲ ἀπάνω του στρωμένες

κώεα πόλλ᾽ ὀΐων, τοὺς ἱρεύεσκον Ἀχαιοί·
Εὐρυνόμη δ᾽ ἄρ᾽ ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
ἔνθ᾽ Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ
κεῖτ᾽ ἐγρηγορόων· ταὶ δ᾽ ἐκ μεγάροιο γυναῖκες
ἦϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
ἀλλήλῃσι γέλῳ τε καὶ εὐφροσύνην παρέχουσαι.
τοῦ δ᾽ ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι·
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
ἦ ἔτ᾽ ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
ὕστατα καὶ πύματα, κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα
ἄνδρ᾽ ἀγνοιήσασ᾽ ὑλάει μέμονέν τε μάχεσθαι,
ὥς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα·
στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
"τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ᾽ ἔτλης.
ἤματι τῷ ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ᾽ ἐτόλμας, ὄφρα σε μῆτις
ἐξάγαγ᾽ ἐξ ἄντροιο ὀϊόμενον θανέεσθαι."
ὣς ἔφατ᾽, ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δὲ μάλ᾽ ἐν πείσῃ κραδίη μένε τετληυῖα
νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο

προβιὲς περίσσιες τῶν ἀρνιῶν ποὺ σφάζαν οἱ μνηστῆρες.
Σκέπασμα τότες τοῦ 'ριξε φλοκάτα ἡ Εὐρυνόμη.
Ἐκεῖ ἀγρυπνοῦσε, κι ὅλεθρο κρυφομελέτα ὁ νοῦς του
γιὰ τοὺς μνηστῆρες. Σύγκαιρα τοῦ παλατιοῦ οἱ κοπέλες,
ὅσες ἀγκαλιαζόντουσαν μ' ἐκείνους, βγαῖναν τώρα,
κι ἡ μιὰ τῆς ἄλλης μὲ χαρὲς καὶ γέλια συντυχαῖναν.
Ὅμως ἐκείνου λύσσαζε στὰ σωθικὰ ἡ καρδιά του,
κι ὅλο τὸ γύρναε μὲς στὸ νοῦ καὶ μέσα στὴν ψυχή του,
νὰ ὁρμήση, καὶ μὲ θάνατο τὴν καθεμιὰ νὰ σβήση,
ἢ στὸ στερνό τους φίλημα ν' ἀφήση τοὺς μνηστῆρες·
κι ὁλοένα βόγγαε μέσαθε κι ἀλύχταε ἡ καρδιά του.
Κι ὅπως ἡ σκύλα, τὰ μικρὰ σὰ νοιάζεται κουτάβια,
ξένο ἂ ματιάση, τοῦ ἀλυχτάει κι ἀμάχη τοῦ γυρεύει,
ἔτσι ἀλυχτοῦσε μέσα του, κακὰ τηρώντας ἔργα.
Καὶ τὴν καρδιά του μάλωνε τὰ στήθια του χτυπώντας·
"Βάστα, καρδιά· χειρότερα δεινὰ βαστοῦσες τότες
ποὺ μοῦ 'τρωγε ὁ ἀδάμαστος ὁ Κύκλωπας γενναίους
συντρόφους, κι ἐσὺ θάρρευες, ὡσότου ἀπὸ τὸ σπήλιο
ποὺ ὁ Χάρος σὲ φοβέριζε, σ' ἔφερ' ἡ γνώση μου ὄξω."
Αὐτὰ τὰ λόγια μὲ θυμὸ λαλοῦσε στὴν καρδιά του,
κι ἄκουε ἐκείνη μέσαθε μὲ ὑπομονὴ περίσσια.
Ὡς τόσο αὐτὸς ἀπὸ τὴ μιὰ γυρνοῦσε κι ἀπ' τὴν ἄλλη.

ἔνθα καὶ ἔνθα.
ὡς δ᾽ ὅτε γαστέρ᾽ ἀνὴρ πολέος πυρὸς αἰθομένοιο,
ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
αἰόλλῃ, μάλα δ᾽ ὦκα λιλαίεται ὀπτηθῆναι,
ὣς ἄρ᾽ ὅ γ᾽ ἔνθα καὶ ἔνθα ἑλίσσετο, μερμηρίζων
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει
μοῦνος ἐὼν πολέσι. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη
οὐρανόθεν καταβᾶσα· δέμας δ᾽ ἤϊκτο γυναικί·
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπε·
"τίπτ᾽ αὖτ᾽ ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
οἶκος μέν τοι ὅδ᾽ ἐστί, γυνὴ δέ τοι ἥδ᾽ ἐνὶ οἴκῳ
καὶ, πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἱα."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ναὶ δὴ ταῦτά γε πάντα, θεά, κατὰ μοῖραν ἔειπες·
ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω,
μοῦνος ἐών· οἱ δ᾽ αᾷὲν ἀολλέες ἔνδον ἔασι.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω·
εἴ περ γὰρ κτείναιμι Διός τε σέθεν τε ἔκητι,
πῇ κεν ὑπεκπροφύγοιμι; τά σε φράζεσθαι ἄνωγα."
τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ᾽ ἑταίρῳ,

Καὶ καθὼς ἄνθρωπος κοιλιὰ γεμάτη πάχος κι αἷμα,
στριφογυρίζει στὴ φωτιὰ ποὺ ἀνάβει καὶ δὲ βλέπει
τὴν ὥρα νὰ γοργοψηθῆ, παρόμοια κι αὐτὸς γύρνα
μιὰ ἐδῶ μιὰ ἐκεῖ, καὶ σπούδαζε τὸν τρόπο νὰ βαρέση
πολλοὺς ὀχτροὺς ἀδιάντροπους, αὐτὸς μονάχος ὄντας.
Καὶ τότες ἀπ' τὸν οὐρανὸ κατέβηκε ἡ Παλλάδα
ὁμπρός του, κι ἔμοιαζε θνητῆς γυναίκας τὸ κορμί της·
καὶ στάθηκε ἀπεπάνω του, καὶ τοῦ εἶπε αὐτὰ τὰ λόγια·
"Πάλε ἀγρυπνᾶς, ποὺ πιὸ ἄμοιρος δὲ βρέθη στὴ γῆς ἄλλος ;
Νὰ δά, τὸ σπίτι σου, καὶ νά, τὸ ταίρι σου ἐκεῖ μέσα,
καὶ τὸ παιδί σου, ποὺ ὅμοιο του ποιός δὲν ποθεῖ πατέρας ;"
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τῆς εἶπε·
"Ὅλα σωστὰ κι ἀληθινά, θεά μου, ὅσα μοῦ εἶπες·
μὰ ἐμένα τοῦτο μέσα μου μεταγυρνάει ὁ νοῦς μου,
τὸ πῶς τοὺς παραδιάντροπους αὐτοὺς ν' ἀγγίξω μόνος,
ποὺ αὐτοί 'ναι πάντα μαζωχτοὶ μὲς στὰ παλάτια ἐδαῦτα.
Κι ἔν' ἄλλο μεγαλύτερο στὰ φρένα μου ἀναδεύω,
τὸ Δία ἂν ἔχοντας βοηθὸ κι ἐσένανε τοὺς σβήσω,
ποῦ θένα βρῶ καταφυγή ; Στοχάσου το κι ἐτοῦτο".
Καὶ τότες τοῦ ἀποκρίθηκε ἡ θεὰ ἡ γαλανομάτα·
"Καημένε, καὶ στὸν πιὸ μικρὸ φίλο πιστεύουν ὅλοι,

ὅς περ θνητός τ᾽ ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδεν·
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοις. ἐρέω δέ τοι ἐξαναφανδόν·
εἴ περ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες Ἄρηϊ,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
ἀλλ᾽ ἐλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ ἄμε, κοιμήσου· εἶναι κακὸ νὰ ὁλονυχτᾶς τοῦ φυλάσσειν
κάκου
πάννυχον ἐγρήσσοντα, κακῶν δ᾽ καὶ ν' ἀγρυπνᾶς· τὰ πάθια σου νὰ πάψουν
ὑποδύσεαι ἤδη."
ὣς φάτο, καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν,
αὐτὴ δ᾽ ἆψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων.
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
λυσιμελής, ἄλοχος δ᾽ ἄρ᾽ ἐπέγρετο κεδνὰ ἰδυῖα·
κλαῖε δ᾽ ἄρ᾽ ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν,
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·

"Ἄρτεμι, πότνα θεά, θύγατερ Διός, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ᾽ ἐκ θυμὸν ἕλοιο
αὐτίκα νῦν, ἢ ἔπειτα μ᾽ ἀναρπάξασα θύελλα
οἴχοιτο προφέρουσα κατ᾽ ἠερόεντα κέλευθα,

ἐν προχοῇς δὲ βάλοι ἀψορρόου Ὠκεανοῖο.
ὡς δ᾽ ὅτε Πανδαρέου κούρας

πού 'ναι θνητός, καὶ ποῦ πολλὰ νὰ σοφιστῆ δὲν ἔχει.
Μὰ ἐγώ 'μαι ἀθάνατη θεά, ποὺ ὅλο σὲ διαφεντεύω
σὲ κάθε ἀγώνα σου. Καὶ νά, τί ἐγὼ σοῦ φανερώνω·
πενήντα νὰ μᾶς ἔζωναν θνητῶν ἀνθρώπων λόχοι,
τὸ τέλος μας γυρεύοντας μὲ πόλεμο νὰ φέρουν,
ὡς κι ἐκεινῶνε θά 'παιρνες ἐσὺ τ' ἀρνιά καὶ βόδια.
“Χαριτωμένη μου Ἄρτεμη, κόρη τοῦ Δία, μακάρι
νὰ μ' ἔτρωγε ἡ σαΐτα σου χτυπώντας μου τὰ στήθη,
γιά ἂς μ' ἅρπαζε ὁλοάξαφνα κι ἂς μ' ἔφερνε ἀνεμούρα
στ' ἀχνὰ περάσματα, ἀπ' ἐκεῖ στὸ ρέμα νὰ μὲ ρίξη
ποὺ καταπίσω τρέχοντας ὁ Ὠκεανὸς προβάλλει.
Καὶ σὰν ποὺ ἄνεμοι πήρανε τὶς κόρες τοῦ Παντάρου,
ποὺ τὶς ἀφῆκαν οἱ θεοὶ πεντάρφανες,

ἀνέλοντο θύελλαι·
τῇσι τοκῆας μὲν φθῖσαν θεοί, αἱ δ' ἐλίποντο
ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ἡδέϊ οἴνῳ·
Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,
ἔργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι.
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃς αἰτήσουσα τέλος θαλεροῖο γάμοιο--
ἐς Δία τερπικέραυνον, ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων--
τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο
καί ῥ' ἔδοσαν στυγερῇσιν ἐρινύσιν ἀμφιπολεύειν·
ὡς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
ἠέ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
ἤματα μὲν κλαίῃ, πυκινῶς ἀκαχήμενος ἦτορ,
νύκτας δ' ὕπνος ἔχῃσιν--ὁ γάρ τ' ἐπέλησεν ἁπάντων,
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἄρ βλέφαρ' ἀμφικαλύψῃ--

πανέρμες,
κι ἡ Ἀφροδίτη πῆρε τις καὶ γλυκανάθρεψέ τις
μὲ τὸ κρασὶ, μὲ τὸ τυρὶ, μὲ τὸ γλυκὸ τὸ μέλι,
κι ἡ Ἥρα γνώση κι ὁμορφιὰ τὶς χάρισε περίσσια,
ἡ Ἄρτεμη τ' ἀνάστημα, κι ἡ Ἀθηνᾶ τὴν τέχνη
τὶς ἔμαθε νὰ φτιάνουνε κάθε δουλειὰ πιδέξια,
κι ἡ Ἀφροδίτη στὶς κορφὲς ὡς ν' ἀνεβῇ τοῦ Ὀλύμπου,
τὸ Δία τὸ βροντόχαρο γιὰ νὰ παρακαλέση,—
γιατὶ ὅλα τὰ κατέχει αὐτός, καὶ κάθε ἀνθρώπου ξέρει
τὴ μοῖρα καὶ τὴν ἀμοιριά,—νὰ δώση στὶς κοπέλες
τοῦ γάμου τὶς λαμπρὲς χαρές, τρέξαν οἱ Ἅρπυιες τότες,
κι ἁρπάξανε τὶς κοπελιές, στὶς μαῦρες Ἐρινύες
νὰ τὶς φέραν καὶ τὶς δώσανε, γιὰ νὰ τὶς ἔχουν σκλάβες·
ἔτσι ἂς μ' ἀφάνιζαν οἱ θεοὶ οἱ ἀθάνατοι κι ἐμένα,
κι ἂς μὲ βαροῦσε ἡ Ἄρτεμη, ποὺ τὸ Δυσσέα στὸ νοῦ μου
θωρώντας, στοῦ Ἅδη τὰ φριχτὰ νὰ κατεβῶ λημέρια,
καὶ μήτε ἀνθρώπου ταπεινοῦ ψυχὴ νὰ μὴ γλυκάνω.
Ὅμως κι ἐκεῖνο ὑποφερτό· μὲ κλάματα ὁλημέρα
νὰ λυώνης κι ὅμως τὸ βραδὺ νὰ σὲ σκεπάζη ὁ ὕπνος,
ποὺ πέφτει στὰ ματόφυλλα, καὶ μονομιᾶς τὰ πάντα,
καὶ τὰ καλὰ καὶ τὰ κακὰ στὴ λησμοσύνη ρίχτει·

αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ᾽ ἐπέσσευεν κακὰ δαίμων.
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
τοῖος ἐὼν οἷος ἦεν ἅμα στρατῷ· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ᾽, ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ᾽ ὕπαρ ἤδη."
ὣς ἔφατ᾽, αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
τῆς δ᾽ ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς·
μερμήριζε δ᾽ ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
ἤδη γιγνώσκουσα παρεστάμεναι κεφαλῇφι.
χλαῖναν μὲν συνελὼν καὶ κώεα, τοῖσιν ἐνεῦδεν,
ἐς μέγαρον κατέθηκεν ἐπὶ θρόνου, ἐκ δὲ βοείην
θῆκε θύραζε φέρων, Διὶ δ᾽ εὔξατο χεῖρας ἀνασχών·
"Ζεῦ πάτερ, εἴ μ᾽ ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
ἤγετ᾽ ἐμὴν ἐς γαῖαν, ἐπεί μ᾽ ἐκακώσατε λίην,
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω."
ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς,
αὐτίκα δ᾽ ἐβρόντησεν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου,
ὑψόθεν ἐκ νεφέων· γήθησε δὲ δῖος Ὀδυσσεύς.
φήμην δ᾽ ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ᾽ ἄρα οἱ μύλαι ἥατο ποιμένι λαῶν,
τῇσιν δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα,

μὰ ἐμένα ὡς καὶ ὀνείρατα κακὰ μοῦ στέλνει ἡ μοῖρα.
Καὶ πάλε ἐτούτη τὴ νυχτιὰ κάποιος στὸ πλάγι μου ἦταν,
ποὺ τοῦ 'μοιαζε σὰν ποὺ ἤτανε μὲ τὸ στρατὸ σὰν κίνα,
καὶ χαίρομουν, τί ἀληθινὸ, κι ὄχι ὄνειρο τὸ θάρρουν.″

Αὐτὰ εἶπε, κι ἡ χρυσόθρονη φάνη στὴ γῆς Αὐγούλα.
Ἀγρίκησε τὸ θρῆνο της ὁ θεϊκὸς Δυσσέας,
καὶ συλλογιόταν κι ἔλεγε στὸ νοῦ του πὼς ἐκείνη
τὸν ἔνιωσε, καὶ πὼς σιμὰ στὴν κεφαλή του στάθη.

Καὶ τὴ φλοκάτα ἁρπάζοντας καὶ τὶς προβιές, ποὺ μέσα
κοιμότανε, τ' ἀπίθωσε πὰς σὲ θρονὶ τοῦ πύργου·
καὶ στὴν αὐλὴ τὸ βοδινὸ σὰν ἔθεσε τομάρι,
στὸ Δία προσευκήθηκε μὲ χέρια σηκωμένα·
“Πατέρα Δία, ἂν στέργετε στὸν τόπο μου νὰ φτάσω
ἀπὸ στεριὲς καὶ θάλασσες, κατόπι τόσα πάθια,
ἀπ' ὅσους μέσα ἐκεῖ ξυπνοῦν, φωνὴ ἂς σηκώση κάποιος,
κι ἄλλο σημάδι ἂς μοῦ φανῆ ἀπ' ἔξωθε τοῦ Δία.″
Αὐτὰ εἶπε, καὶ συνάκουσε τὴν προσευκή του ὁ Δίας,
κι ἀπὸ τὰ νέφια τ' ἁψηλὰ τοῦ λαμπεροῦ τοῦ Ὀλύμπου,
βρόντηξ' εὐτύς, καὶ χάρηκε ὁ μέγας Ὀδυσσέας.
Κι ἀπὸ τὸ σπίτι σήκωσε φωνὴ γυναίκα ἀλέστρα,
ποὺ ἐκεῖ σιμὰ βρισκόντουσαν τοῦ ἀφέντη της οἱ μύλοι,
καὶ δώδεκα δουλεύανε γυναῖκες, νὰ τοιμάζουν
κριθάλευρα, σιτάλευρα, μεδούλι τῶν

μυελὸν ἀνδρῶν.
αἱ μὲν ἄρ᾽ ἄλλαι εὖδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν,
ἡ δὲ μί᾽ οὔπω παύετ᾽, ἀφαυροτάτη δ᾽ ἐτέτυκτο·
ἥ ῥα μύλην στήσασα ἔπος φάτο, σῆμα ἄνακτι·
"Ζεῦ πάτερ, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,
ἦ μεγάλ᾽ ἐβρόντησας ἀπ᾽ οὐρανοῦ ἀστερόεντος,
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅττι κεν εἴπω·
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ᾽ ἐρατεινήν,
οἵ δή μοι καμάτῳ θυμαλγέι· γούνατ᾽ ἔλυσαν
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν."
ὣς ἄρ᾽ ἔφη, χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεὺς
Ζηνός τε βροντῇ· φάτο γὰρ τίσασθαι ἀλείτας.
αἱ δ᾽ ἄλλαι δμῳαὶ κατὰ δώματα κάλ᾽ Ὀδυσῆος
ἀγρόμεναι ἀνέκαιον ἐπ᾽ ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ᾽ εὐνῆθεν ἀνίστατο, ἰσόθεος φώς,
εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμῳ·
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι· χαλκῷ·
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, πρὸς δ᾽ Εὐρύκλειαν ἔειπε·
"μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ᾽ ἐνὶ οἴκῳ

ἀνθρώπων.
Οἱ ἄλλες σὰν ἀπάλεσαν, κοιμήθηκαν ἐκείνη
ὄντας ἀδύναμη, ἄλεθε τὸ μύλο της ἀκόμα,
μὰ ξάφνου στέκει καὶ φωνὴ σηκώνει γιὰ σημάδι·
"Δία Πατέρα, τῶν θεῶν κι ἀνθρώπων βασιλέα,
τρανὴ βροντὴ ἀπ' τὸν οὐρανὸ τὸν κάτασπρο μᾶς στέλνεις,
μὲ δίχως σύννεφο· θεϊκὸ σημάδι σου μᾶς δείχνεις.
Ὁ λόγος ποὺ θὰ πῶ ἡ φτωχή, βοήθα νὰ μοῦ 'βγη τώρα·
ἂς εἶναι πιὰ ἡ στερνὴ φορὰ ποὺ κάθουνται οἱ μνηστῆρες
ἐδῶ, καὶ μὲ πασίχαρο γλεντίζουν φαγοπότι·
αὐτοί, ποὺ μὲ τὴν κούραση τὰ γόνατα μοῦ κόψαν,
σὰν ἄλεθα τ' ἀλεύρι τους, ἂς φᾶνε τὸ στερνό τους."
Καὶ χάρηκε τὸ μάντεμα καὶ τὴ βροντὴ τοῦ Δία
ὁ Ὀδυσσέας, καὶ τό εἰδε πὼς θὰ γδικηθῆ τοὺς φταῖστες.
Κι οἱ ἄλλες δοῦλες στὰ λαμπρὰ τοῦ Ὀδυσσέα παλάτια
μαζεύτηκαν, καὶ στὴ γωνιὰ πῆγαν φωτιὰ ν' ἀνάψουν.
Σηκώθη κι ὁ Τηλέμαχος, ὁ ἰσόθεος ὁ λεβέντης,
καὶ ντύθηκε· τὸ κοφτερὸ σπαθὶ στὸν ὦμο ζώνει,
τὰ ὡραῖα δένει σάνταλα στὰ πόδια τὰ λαμπρά του,
παίρνει κοντάρι δυνατὸ μὲ μύτη ἀκονισμένη·
καὶ στὸ κατώφλι στάθηκε καὶ στὴν Εὐρύκλεια κρένει·
"Κυρούλα, πῶς τιμήσατε τὸν ξένο αὐτὸ στὸ σπίτι ;

εὐνῇ καὶ σίτῳ, ἦ αὖτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
χείρονα, τὸν δέ τ᾽ ἀρείον᾽ ἀτιμήσασ᾽ ἀποπέμπει."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
"οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο.
οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὅφρ᾽ ἔθελ᾽ αὐτός,
σίτου δ᾽ οὐκέτ᾽ ἔφη πεινήμεναι·
εἴρετο γάρ μιν.
ἀλλ᾽ ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
ἡ μὲν δέμνι᾽ ἄνωγεν ὑποστορέσαι δμῳῇσιν,
αὐτὰρ ὅ γ᾽, ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ᾽ ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ᾽ ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
ἔδραθ᾽ ἐνὶ προδόμῳ· χλαῖναν δ᾽ ἐπιέσσαμεν ἡμεῖς."
ὣς φάτο, Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει
ἔγχος ἔχων, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
βῆ δ᾽ ἴμεν εἰς ἀγορὴν μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.
ἡ δ᾽ αὖτε δμῳῇσιν ἐκέκλετο δῖα γυναικῶν,
Εὐρύκλει᾽, Ὦπος θυγάτηρ Πεισηνορίδαο·
"ἀγρεῖθ᾽, αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
ῥάσσατέ τ᾽, ἔν τε θρόνοις εὐποιήτοισι τάπητας
βάλλετε πορφυρέους· αἱ δὲ

ἢ δίχως στρῶμα καὶ φαΐ καὶ δίχως ἔννοια μνήσκει ;
Τὶ τέτοια 'ναι ἡ μανούλα μου, μ' ὅλη τὴ γνώση πὄχει·
τοῦ πιὸ χειρότερου θνητοῦ κάθε τιμὴ τοῦ κάνει,
καὶ τὸν καλύτερο ἄνθρωπο μὲ καταφρόνια διώχνει."
Κι ἡ φρόνιμη ἡ Εὐρύκλεια τοῦ ἀπολογήθη κι εἶπε·
"Παιδάκι μου, τὸ φταίξιμο στὸν ἄφταιγο μὴ δίνης·
κρασὶ καθόταν κι ἔπινε ὅσο ἤθελε, μὰ πεῖνα
δὲν εἶχε πιὰ νὰ φάη θροφή· τῆς τό 'πε ποὺ ρωτοῦσε.
Καὶ γιὰ ὕπνο καὶ γιὰ πλάγιασμα σὰν ἦρθε ἡ ὥρα, ἐκείνη
τὶς δοῦλες τότες πρόσταξε κλινάρι νὰ τοῦ στρώσουν,
μὰ αὐτός, σὰν κάποιος ἔρημος καὶ κακοπαθιασμένος,
δὲ δέχονταν σὲ στρώματα καὶ χράμια νὰ πλαγιάση,
μόνε σὲ βοδοτόμαρο καὶ σὲ προβιὲς ἀρνιῶνε
μέσα στὸ πρόσπιτο· κι ἐμεῖς τοῦ ρίξαμε φλοκάτα."
Αὐτὰ εἶπε, κι ὁ Τηλέμαχος κρατώντας τὸ κοντάρι,
ξεκίνησε μὲ δυὸ γοργὰ μαζὶ σκυλιά, καὶ πῆγε
στῶν ὁμορφόποδων Ἀχαιῶν τὴ συντυχιὰ νὰ κάτση.
Κι ἡ Εὐρύκλεια, τοῦ Ὤπα γέννημα, τοῦ γιοῦ τοῦ Πεισινόρη,
τὶς παρακόρες φώναξε, ἡ γριὰ ἡ τιμημένη·
"Σαλέψτε ἐσεῖς, τὸ πάτωμα σκουπίστε καὶ ραντίστε,
καὶ στὰ καλόφτιαστα θρονιὰ ρίξτε χαλιὰ πορφύρα·
κι ἐσεῖς οἱ ἄλλες, τὰ πολλὰ τραπέζια

σπόγγοισι τραπέζας
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ᾽ ὕδωρ
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον νὰ φτάσουν, ἰοῦσαι.
οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
ἀλλὰ μάλ᾽ ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή."
ὣς ἔφαθ᾽, αἱ δ᾽ ἄρα τῆς μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο.
αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον,
αἱ δ᾽ αὐτοῦ κατὰ δώματ᾽ ἐπισταμένως πονέοντο.
ἐς δ᾽ ἦλθον δρηστῆρες Ἀχαιῶν. οἱ μὲν ἔπειτα
εὖ καὶ ἐπισταμένως κέασαν ξύλα, ταὶ δὲ γυναῖκες
ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
καὶ τοὺς μέν ῥ᾽ εἴασε καθ᾽ ἕρκεα καλὰ νέμεσθαι,
αὐτὸς δ᾽ αὖτ᾽ Ὀδυσῆα προσηύδα μειλιχίοισι·
"ξεῖν᾽, ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
ἦέ σ᾽ ἀτιμάζουσι κατὰ μέγαρ᾽, ὡς τὸ ἦ ἀκόμα σὲ καταφρονοῦν στὰ μέγαρα, σὰν πάρος περ;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολυμήτις Ὀδυσσεύς·
"αἴ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
ἣν οἵδ᾽ ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται
οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ᾽ αἰδοῦς μοῖραν ἔχουσιν."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,

σφουγγαρίστε,
κροντήρια καθαρίζετε καὶ δίκουπα ποτήρια·
στὴ βρύση τρέξτε οἱ ἄλλες σας νερὸ νὰ κουβαλῆστε·
γιατ' οἱ μνηστῆρες δὲν ἀργοῦν στὸ μέγαρο
γλήγορα σμίγουν, καὶ γιορτὴ θένα 'χουνε μεγάλη."

Εἶπε, κι ἐκεῖνες πρόθυμα τὰ λόγια της ἀκοῦσαν.
Εἴκοσι κόρες πήγανε στ' ἀχνοῦ νεροῦ τὴ βρύση,
κι οἱ ἄλλες μέσα δούλευαν μὲ τὰ πιδέξια χέρια.
Ἦρθαν κατόπι, μπήκανε καὶ τῶν Ἀχαιῶν οἱ δοῦλοι,
κι ἔσκιζαν ξύλα τεχνικά. Καὶ φτάνουν ἀπ' τὴ βρύση
κι οἱ παρακόρες. Ἔφτασε κι ὁ Εὔμαιος στὸν πύργο
μὲ τρία, τὰ καλύτερα θρεφτάρια ἀπ' τὸ κοπάδι.
Τ' ἀφῆκε αὐτὰ στοὺς ὄμορφους αὐλόγυρους νὰ βόσκουν,
κι ἐκεῖνος γλυκομίλησε στὸν Ὀδυσσέα κι εἶπε·
"Σὲ καλοβλέπουν ἄραγες, καλέ μου ξένε, τώρα,
τώρα ;"
Καὶ γύρισε ὁ πολύβουλος Δυσσέας καὶ τοῦ κρένει·
"Στοὺς θεοὺς νὰ τὴν πλερώσουνε τὴν ἀδικιά τους, φίλε,
αὐτοί, ποὺ σ' ἄλλου σπιτικὸ παράνομα ἀσεβοῦνε
μὲ τὰ ἔργα αὐτά τους, κι ἡ ντροπὴ ποὺθε ἀρχινάει δὲν ξέρουν."
Αὐτὰ λαλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσό τους.

ἀγχίμολον δέ σφ᾽ ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν.
αἶγας ἄγων αἳ πᾶσι μετέρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι. δύω δ᾽ ἅμ᾽ ἕποντο νομῆες.
καὶ τὰς μὲν κατέδησεν ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ,
αὐτὸς δ᾽ αὖτ᾽ Ὀδυσῆα προσηύδα κερτομίοισι·
"ξεῖν᾽, ἔτι καὶ νῦν ἐνθάδ᾽ ἀνιήσεις κατὰ δῶμα
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν."
ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη πολύμητις Ὀδυσσεύς,
ἀλλ᾽ ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
τοῖσι δ᾽ ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
βοῦν στεῖραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας.
πορθμῆες δ᾽ ἄρα τούς γε διήγαγον, οἵ τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ,
αὐτὸς δ᾽ αὖτ᾽ ἐρέεινε συβώτην ἄγχι παραστάς·
"τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ᾽ ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
δύσμορος, ἦ τε ἔοικε δέμας βασιλῆϊ

Ὡς τόσο κι ὁ χοιροβοσκὸς Μελάνθιος ἦρθε τότες
μὲ δυὸ βοσκούς, καὶ φέρνανε τὰ διαλεχτά τους γίδια,
ποὺ σ' ὅλες τὶς γιδοκοπὲς γιὰ τοὺς μνηστῆρες τὰ εἶχε.
Κάτω ἀπὸ τὴ βουητερὴ τὴν αἴθουσα τὰ δένει,
καὶ τοῦ Ὀδυσσέα πειραχτικὰ λαλώντας συντυχαίνει·
"Ἀκόμα ἐδῶ θὰ κάθεσαι καὶ θὰ μᾶς βασανίζης,
ὦ ξένε, διακονεύοντας, καὶ δὲ θὰ μᾶς ἀφήσης ;
Θαρρῶ, δὲ χωριζόμαστε πιὰ τώρα, δίχως πρῶτα
νὰ φᾶς καὶ μερικὲς γροθιές, τ' εἶσαι κακὸς ζητιάνος.
Ἔχουνε κι ἄλλα οἱ Ἀχαιοὶ γιὰ σένανε τραπέζια."
Δὲ μίλησε ὁ πολύβουλος Δυσσέας, μόν' σωπώντας
τὴν κεφαλή του κούνησε, κι εἶχε κακὸ στὸ νοῦ του.
Καὶ τρίτος ὁ πρωτοβοσκὸς Φιλοίτιος τότες ἦρθε,
στέρφα δαμάλα φέρνοντας καὶ γίδια στοὺς μνηστῆρες.
Ἀπ' τὴ στεριὰ τὰ φέρανε περάτες, ποὺ κι ἀνθρώπους
ποκεῖθε πάντα προβοδοῦν σὰν ἔρθουν καὶ ζητήσουν.
Στὴ βουητερὴ τὴν αἴθουσα σὰν τά 'δεσς ἀποκάτω,
πῆγε κι αὐτὸς καὶ στάθηκε στὸν Εὔμαιο μπρός, καὶ ρώτα·
"Χοιροβοσκέ, ποιός εἶν' αὐτὸς ὁ ξένος ποὺ μᾶς ἦρθε
μὲς στὸ παλάτι; Κι ἀπὸ ποιούς παινιέται πῶς γεννήθη ;
ποιά 'ναι ἡ γενιά του, κι ἀπὸ ποιά ξεκίνησε πατρίδα;
ὁ δύσμοιρος· καὶ φαίνεται σὰ βασιλέας στὴν

ἄνακτι·
ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀϊζύν."
ἦ καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"χαῖρε, πάτερ ὦ ξεῖνε· γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
μνησαμένῳ Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε᾽ ἔχοντα κατ᾽ ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
εἰ δ᾽ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤ μοι ἔπειτ᾽ Ὀδυσῆος ἀμύμονος, ὅς μ᾽ ἐπὶ βουσὶν
εἶσ᾽ ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμῳ.
νῦν δ᾽ αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ᾽ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ᾽ ἄλλοι με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι· οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ᾽ ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη

ὄψη.
Ὅμως κακὸ τοὺς φέρνουνε οἱ θεοὶ τοὺς πλανεμένους,
μιὰς καὶ τοὺς κλώσουν συφορά, κι ἂς εἶναι βασιλιάδες."
Εἶπε, καὶ τόνε ζύγωσε, καὶ τοῦ 'σφιξε τὸ χέρι,
καὶ φώναξέ του, κι εἶπε του μὲ λόγια φτερωμένα·
"Γειά σου, πατέρα ξένε μου, καλὲς νὰ σοῦ 'ρθουν μέρες
κἂν ὕστερα. Τώρα σὲ τρῶν περίσσια πάθια ἀκόμα.
Ἀπὸ τὸ Δία πιὸ σκληρὸς ἄλλος θεὸς δὲν εἶναι.
Γιὰ ἄντρες ποὺ ἐκεῖνος γέννησε, σπλαχνιὰ καμιὰ δὲ νιώθει,
μόνε σὲ φοβερὰ δεινὰ καὶ βάσανα τοὺς ρίχτει.
Ἴδρωσα ἐγὼ θωρώντας σε, τὰ μάτια μου δακρύσαν,
μὲ τοῦ Δυσσέα τὴ θύμηση, γιατὶ θαρρῶ κι ἐκεῖνος
μὲ τέτοια κουρελόπανα μέσα στὸν κόσμο τρέχει,
ἂν εἶναι ἀκόμα ζωντανός, καὶ τοῦ ἥλιου φῶς ἃ βλέπη.
Κι ἂν πέθανε, καὶ βρίσκεται στὸν Ἅδη, ἀλλοίμονό μου,
ποὺ τὸν παράξιο μου ἔχασα τὸν Ὀδυσσέα, ποὺ μ' εἶχε
πρῶτο στὰ βόδια ἀπὸ μωρὸ στὴ γῆς τῶν Κεφαλλήνων.
Γενῆκαν τώρα ἀρίθμητα, κι ἄλλος βοσκὸς δὲ στάθη
δαμάλες πλατυκούταλες περσότερες νὰ δείξη.
Τώρα σὲ ξένε,ς προσταγὲς θροφὴ τὶς παραθέτω
ἀνθρώπων ποὺ τοῦ σπιτικοῦ δὲ σέβουνται τ' ἀγόρι,
μηδὲ τρομάζουν τῶν θεῶν τὴν τιμωρία, μόν' θέλουν

κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
πόλλ᾽ ἐπιδινεῖται· μάλα μὲν κακὸν υἷος ἐόντος
ἄλλων δῆμον ἱκέσθαι ἰόντ᾽ αὐτῇσι βόεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἐπ᾽ ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ᾽ ἀνεκτὰ πέλονται·
ἀλλ᾽ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείῃ."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"βουκόλ᾽, ἐπεὶ οὔτε κακῷ οὔτ᾽ ἄφρονι φωτὶ ἔοικας,
γιγνώσκω δὲ καὶ αὐτὸς ὅ τοι πινυτὴ φρένας ἵκει,
τοὔνεκά τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν ξενίη τε τράπεζα
ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ σέθεν ἐνθάδ᾽ ἐόντος ἐλεύσεται οἴκαδ᾽ Ὀδυσσεύς·
σοῖσιν δ᾽ ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ᾽ ἐθέλῃσθα,
κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσιν."
τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
"αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες

νὰ μοιραστοῦνε τὰ καλὰ τοῦ πλανημένου ρήγα.
Ὡς τόσο, μέσα μου συχνὰ τὸ μεταγέρνει ὁ νοῦς μου,
κακὸ ἂν δὲν εἶναι, ἐνόσω ὁ γιὸς ὑπάρχει, ἀλλοῦ νὰ φύγω,
κοντὰ σὲ ξένους μένοντας μαζὶ μὲ τὶς δαμάλες·
μὰ ἀκόμα πιὸ χειρότερο νὰ κάθουμαι, καὶ ξένων
θνητῶν φυλάγοντας ἐδῶ σφαχτὰ νὰ τυραννιέμαι.
Ἀπὸ καιρὸ θὰ πρόσφευγα σ' ἄλλου μεγάλου ρήγα
παλάτι, τ' εἶναι ἀβάσταχτα τὰ τωρινὰ δεινά μου.
Μὰ ἀκόμα συλλογιέμαι τον τὸ δύστυχο, ἴσως κι ἔρθη
ξάφνω ἀπὸ κάπου, καὶ μεμιᾶς σκορπίση τοὺς μνηστῆρες."

Τότε ὁ Δυσσέας ὁ τρίξυπνος τοῦ ἀπολογήθη κι εἶπε·
"Βοσκέ, ποὺ μήτε ἀσύστατος μήτε κακὸς δὲ μοιάζεις,
βλέπω κι ἐγὼ τὰ φρένα σου πὼς τὰ φωτίζει ἡ γνώση,
κι ὅρκο σοῦ κάνω φοβερό, σ' ἐκεῖνο ποὺ σοῦ κρένω·

ὁ Δίας νά 'ναι μάρτυρας, τὸ ξενικὸ τραπέζι,
κι ἐτούτη ἡ στιὰ τοῦ θεόλαμπρου Δυσσέα ποὺ μὲ δέχτη,
ἀκόμα ἐδῶ θένα 'σαι ἐσύ, καὶ θὰ γυρίση ἐκεῖνος·
καὶ μὲ τὰ μάτια σου θὰ δῆς, ἂν θέλης, τοὺς μνηστῆρες,
ποὺ τώρα ἐδῶ σᾶς τυραννοῦν, νὰ πέφτουν σκοτωμένοι."

Καὶ τότε τοῦ ἀπαντάει καὶ λέει ὁ πρῶτος τῶν βουκκόλων·
"Μακάρι αὐτὰ τοῦ Κρόνου ὁ γιὸς νὰ τὰ τελοῦσε, ὦ ξένε,
καὶ θά 'βλεπες τὶ δύναμη τὰ χέρια ἐδαῦτα

ἔπονται."
ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
μνηστῆρες δ᾽ ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
ἤρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,
αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν·
"ὦ φίλοι, οὐχ ἡμῖν συνθεύσεται ἥδε γε βουλή,
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός."
ὣς ἔφατ᾽ Ἀμφίνομος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
ἐλθόντες δ᾽ ἐς δώματ᾽ Ὀδυσσῆος θείοιο
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
οἱ δ᾽ ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
σπλάγχνα δ᾽ ἄρ᾽ ὀπτήσαντες ἐνώμων, ἐν δέ τε οἶνον
κρητῆρσιν κερόωντο· κύπελλα δὲ νεῖμε συβώτης.
σῖτον δέ σφ᾽ ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
καλοῖς ἐν κανέοισιν, ἐωνοχόει δὲ Μελανθεύς.
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Τηλέμαχος δ᾽ Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδόν,

κρύβουν."
Παρόμοια σ' ὅλους τοὺς θεοὺς κι ὁ Εὔμαιος παρακάλειε,
νὰ φέρουνε στὸ σπίτι του τὸ γνωστικὸ Ὀδυσσέα.
Αὐτὰ λαλοῦσαν κι ἔλεγαν ἐκεῖνοι ἀνάμεσό τους·
ὡς τόσο τοῦ Τηλέμαχου τοιμάζαν οἱ μνηστῆρες
τὸ τέλος καὶ τὴ μοῖρα του. Ὅμως ζερβά τους φάνη
ἁψηλοπέταχτος ἀ"ιτὸς κρατώντας περιστέρα.
Καὶ τότ' ὁ Ἀμφίομος αὐτὰ ξαγόρεψέ τους κι εἶπε·
"Δὲ θὰ μᾶς ἔβγη τυχερὸς αὐτός, καλοί μου φίλοι,
ὁ φόνος τοῦ Τηλέμαχου. Τὸ δεῖπνο ὡς τόσο ἂς δοῦμε".
Αὐτά 'λεγε ὁ Ἀμφίνομος, κι ἀρέσανε στοὺς ἄλλους.
Καὶ μπαίνοντας στὰ μέγαρα τοῦ θεϊκοῦ Ὀδυσσέα,
ἀπάνω σ' ἔδρες καὶ θρονιὰ τὶς χλαῖνες ἀπιθῶσαν,
κι ἔσφαξαν πρόβατα τρανά, καλοθρεμμένα γίδια,
θρεφτάρια χοίρους καὶ παχὺ δαμάλι ἀπ' τὸ κοπάδι.
Κι ἀφοῦ τὰ σπλάχνα ψήσανε τὰ μοίρασαν, καὶ τότες
ἀνακατέψανε κρασὶ μὲς σ' ὅλα τὰ κροντήρια.
Ὁ χοιροτρόφος ἔδινε παντοῦθε τὰ ποτήρια,
ψωμὶ τοὺς ἔφερνε ὁ καλὸς πρωτοβοσκὸς Φιλοίτιος
μὲ τὰ ποτήρια τὰ ὄμορφα, κι ὁ Μελανθέας κερνοῦσε.
Κι αὐτοὶ ἄπλωναν τὰ χέρια τους στὰ καλοφάγια ὁμπρός τους.
Μὲ πονηριὰ ὁ Τηλέμαχος τὸν Ὀδυσσέα καθίζει
στὸ στέριο μέγαρο, σιμὰ στὸ λίθινο κατώφλι,

δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν·
πὰρ δ᾽ ἐτίθει σπλάγχνων μοίρας, ἐν δ᾽ οἶνον ἔχευεν
ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
"ἐνταυθοῖ νῦν ἦσο μετ᾽ ἀνδράσιν οἰνοποτάζων·
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστιν
οἶκος ὅδ᾽, ἀλλ᾽ Ὀδυσῆος, ἐμοὶ δ᾽ ἐκτήσατο κεῖνος.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
"καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοί,
Τηλεμάχου· μάλα δ᾽ ἦμιν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῷ κέ μιν ἤδη
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ᾽ ἀγορητήν."
ὣς ἔφατ᾽ Ἀντίνοος· ὁ δ᾽ ἄρ᾽ οὐκ ἐμπάζετο μύθων.
κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
ἦγον· τοὶ δ᾽ ἀγέροντο κάρη κομόωντες Ἀχαιοὶ
ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
οἱ δ᾽ ἐπεὶ ὤπτησαν κρέ᾽ ὑπέρτερα καὶ ἐρύσαντο,
μοίρας δασσάμενοι δαίνυντ᾽ ἐρικυδέα δαῖτα.

καὶ τοῦ 'βαλε κοινὸ σκαμνὶ καὶ φτωχικὸ τραπέζι·
σπλάχνα τοῦ δίνει μερτικό, καὶ μὲ χρυσὸ ποτήρι
κερνώντας τον, τοῦ μίλησε, κι αὐτὰ τὰ λόγια του εἶπε·
"Κάθου ἐσὺ τώρα ἐδῶ, κρασὶ νὰ πίνῃς μὲ τοὺς ἄλλους,
κι ἀπ' τῶ μνηστήρων τὶς βρισιὲς καὶ τοὺς δαρμοὺς ἀτός μου
θὰ σὲ φυλάξω, τὶ κοινὸ δὲν εἶν' αὐτὸ τὸ σπίτι,
μόν' εἶναι τοῦ Ὀδυσσέα, κι αὐτὸς γιὰ μένα τό 'χει χτῆμα.
Κι ἐσεῖς, κρατιέστε ἀπὸ βρισιὲς καὶ χτυπημοὺς, μνηστῆρες,
σὲ ξαφνικὰ μὴν ἔρθουμε μαλώματα κι ἀμάχες."
Αὐτὰ εἶπε, καὶ δαγκάνοντας τ' ἀχείλι οἱ ἄντρες ὅλοι,
θαμάζαν τοῦ Τηλέμαχου τὰ ξέθαρρα τὰ λόγια.
Κι ὁ Ἀντίνος, τοῦ Εὐπείθη ὁ γιὸς χόλωσε τότες κι εἶπε·
"Ἂν κι ὁ Τηλέμαχος πικρὰ μᾶς εἶπε λόγια, ὦ φίλοι,
ἂς τὰ δεχτοῦμε· μᾶς μιλάει μὲ σοβαρὴ φοβέρα.
Ὁ Δίας δὲν τό 'θελε· εἰδεμή, στὰ μέγαρά του μέσα
θὰ τὸν σωπαίναμε, κι αὐτὸς ἂς ζήταε νὰ στριγγλίζῃ."
Αὐτὰ ὁ Ἀντίνος ἔλεγε, μὰ ἀδιαφοροῦσε ἐκεῖνος.
Καὶ τῶν θεῶν τὴν ἱερὴ κατοβοδιὰ ἀπ' τὴ χώρα
κήρυκες φέρναν στὸ ἱσκιερὸ τοῦ Ἀπόλλωνα τὸ δάσος
ποὺ πλήθη μακρομάλληδων Ἀχαιῶνε συναχτῆκαν.
Καὶ σάνε ψῆσαν κι ἔβγαλαν τ' ἀπόξωθε κοψίδια,
τὰ μοίρασαν, κι ἀρχίσανε τ' ἀρχοντικὸ

δαῖτα·
πὰρ δ᾽ ἄρ᾽ Ὀδυσσῆϊ μοῖραν θέσαν οἳ πονέοντο
ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
μνηστῆρας δ᾽ οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ᾽ ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια εἰδώς,
Κτήσιππος δ᾽ ὄνομ᾽ ἔσκε, Σάμῃ δ᾽ ἐνὶ οἰκία ναῖεν·
ὅς δή τοι κτεάτεσσι πεποιθὼς θεσπεσίοισι
μνάσκετ᾽ Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα.
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
"κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ᾽ ἵκηται.
ἀλλ᾽ ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον, ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόῳ δώῃ γέρας ἠέ τῳ ἄλλῳ
δμώων, οἳ κατὰ δῶμα᾽ Ὀδυσσῆος θείοιο."
ὣς εἰπὼν ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ.
κείμενον ἐκ κανέοιο λαβών· ὁ δ᾽ ἀλεύατ᾽ Ὀδυσσεὺς
ἦκα παρακλίνας κεφαλήν, μείδησε δὲ θυμῷ

τραπέζι.
Καὶ τοῦ Δυσσέα βάλανε μερίδα οἱ δοῦλοι τότες
ὅση κι ἐκεῖνοι πέρνανε, καθὼς παράγγειλέ τους
ὁ πολυαγαπημένος γιὸς τοῦ θεϊκοῦ Ὀδυσσέα.
Μὰ ἡ Ἀθηνᾶ δὲν ἄφηνε τοὺς θεότολμους μνηστῆρες
νὰ παύουν τὴν κακολογιά, γιὰ νὰ πηγαίνῃ ὁ πόνος
βαθύτερα μὲς στὴν καρδιὰ τοῦ θεϊκοῦ Ὀδυσσέα.
Κι ἀνάμεσό τους βρίσκουνταν ἀδικογνώστης ἄντρας,
ποὺ τ' ὄνομά του Χτήσιππος, καὶ κατοικιά του ἡ Σάμη·
στὰ πλούτια του τ' ἀρίθμητα πιστεύοντας, ζητοῦσε
τοῦ Ὀδυσσέα τὴ σύγκλινη, τοῦ ξενοπλανημένου.
Ἐκεῖνος στοὺς ἀγέρωχους μνηστῆρες τότες εἶπε·
"Ἀκοῦστε με τὸ τί θὰ πῶ, ὦ θεότολμοι μνηστῆρες·
καλὴ μερίδα δόθηκε, σὰν πού 'πρεπε, τοῦ ξένου·
σωστὸ δὲν ἤτανε μαθὲς τὸ δίκιο νὰ στεροῦνται
οἱ ξένοι τοῦ Τηλέμαχου ποὺ ἐδῶ νὰ ἐρθοῦν τυχαίνει.
Μὰ ἂς τὸν φιλέψω πιὰ κι ἐγώ, καὶ πάλε αὐτὸς τὸ δῶρο
τὸ δίνει τῆς λουτράρισσας, ἢ καμιᾶς ἄλλης δούλας,
ἀπ' ὅσες μέσα βρίσκουνται στοῦ Ὀδυσσέα τοὺς πύργους."
Εἶπε, καὶ πόδι βοδινὸ τραβάει ἀπ' τὸ πανέρι,
καὶ τὸ πετάει ἀπάνω του. Μὰ ξέφυγε ὁ Δυσσέας
γυρνώντας τὸ κεφάλι του, καὶ μέσα του μὲ πίκρα

σαρδάνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
"Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
ἐνθάδε. τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρηα· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσορόωντες,
μήλων σφαζομένων οἰνοιό τε πινομένοιο
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·
"ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος

γελώντας, καὶ τὸ κόκκαλο στὸ στέριον τοῖχο πέφτει.
Τότες μ' ὀργή ὁ Τηλέμαχος τοῦ Χτήσιππου φωνάζει·
"Καλὰ σοῦ βγῆκε, ὦ Χτήσιππε, κι ἂς τὸ χαρῇ ἡ ψυχή σου.
Τὸν ξένο δὲν τὸν βάρεσες, τὶ ὁ ἴδιος του φυλάχτη·
ἀλλιῶς, τὰ στήθια σου ἄνοιγα μὲ κοφτερὸ κοντάρι.
Τότε ὁ πατέρας σου ταφὴ θὰ τοίμαζε ἀντὶς γάμο
δῶ μέσα· καὶ γι' αὐτὸ ἀσκημιὲς κανένας μὲς στὸ σπίτι
ἂς μὴ μοῦ κάνη· τώρα πιὰ νιώθω, καὶ ξέρω ποιό 'ναι
καλὸ στὸν κόσμο, ποιό κακό, τὶ πιὰ μωρὸ δὲν εἶμαι.
Καθόμαστε καὶ βλέπουμε νὰ σφάζουνται τ' ἀρνιά μας,
καὶ τό κρασὶ νὰ πίνεται, καὶ τὸ ψωμὶ νὰ φεύγη·
τὶ δύσκολό 'ναι τοὺς πολλοὺς νὰ τοὺς μποδίζη ὁ ἕνας.
Ὅμως καιρὸς πιὰ τὸ ἄδικο κι ἡ ὄχτρητα νὰ πάψη.

Κι ἂν νὰ μὲ θανατώσετε μὲ τὸ σπαθὶ ποθῆτε,
καλύτερα ἐγὼ τό 'θελα, κι ἂς μ' ἔπαιρνεν ὁ Χάρος,
παρὰ νὰ βλέπω ἀδιάκοπα τέτοια ἔργα ντροπιασμένα,
τοὺς ξένους μας νὰ βρίζουνε, μὰ καὶ τὶς παρακόρες
ἀδιάντροπα νὰ σέρνουνε μὲς στὰ λαμπρὰ παλάτια."

Αὐτὰ εἶπε, κι ὅλοι σώπασαν κι ἀμίλητοι ἀπομεῖναν
καὶ τότες τοῦ Δαμάστορα ὁ Ἀγέλαος τοὺς εἶπε·
"Λόγος σωστὸς σὰν εἰπωθῆ, δὲν πρέπει ἐμεῖς, ὦ φίλοι,
ἐνάντια νὰ πηγαίνουμε μὲ λόγια θυμωμένα.

χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν᾽ ἄλλον
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἴ σφωϊν κραδίῃ ἄδοι ἀμφοτέροιϊν.
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νοστήσειν Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
τόφρ᾽ οὔ τις νέμεσις μενέμεν τ᾽ ἦν ἰσχέμεναί τε
μνηστῆρας κατὰ δώματ᾽, ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ νόστησ᾽ Ὀδυσεὺς καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ᾽ ἤδη τόδε δῆλον, ὅ τ᾽ οὐκέτι νόστιμός ἐστιν.
ἀλλ᾽ ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ᾽ ὅς τις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν,
ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
ἔσθων καὶ πίνων, ἡ δ᾽ ἄλλου δῶμα κομίζῃ."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"οὐ μὰ Ζῆν᾽, Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
ὅς που τῆλ᾽ Ἰθάκης ἢ ἔφθιται ἢ ἀλάληται,
οὔ τι διατρίβω μητρὸς γάμον, ἀλλὰ κελεύω
γήμασθ᾽ ᾧ κ᾽ ἐθέλῃ, ποτὶ δ᾽ ἄσπετα δῶρα δίδωμι.
αἰδέομαι δ᾽ ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν."

Τὸν ξένο μὴν πειράζετε, μήτε κανέναν ἄλλον
ἀπὸ τοὺς δούλους πού 'ναι ἐδῶ στοῦ θεϊκοῦ Ὀδυσσέα.
Ποθοῦσα τοῦ Τηλέμαχου καὶ τῆς καλῆς του μάνας
νὰ πῶ ἕνα λόγο φιλικό, νὰ τὸν δεχτοῦνε ἃ στέργουν.
Ἐλπίδα ὅση σᾶς ἔμνησκε στὰ βάθια τῆς ψυχῆς σας,
νά 'ρθη ὁ Δυσσέας ὁ τρίξυπνος στὸ σπιτικό του πάλε,
μὲ δίκιο τὸν προσμένατε, καὶ τοὺς μνηστῆρες ὅλους
στὸν πύργο τοὺς κρατούσατε, ποὺ ἦταν καὶ πιὸ συφέρο,
ἀνίσως γύριζε ἄξαφνα στὸ σπίτι του ὁ Δυσσέας.
Μὰ τώρα πιὰ ὁλοφάνερο πὼς δὲ θὰ μᾶς γυρίση.
Ἄμε λοιπὸ στὴ μάνα σου, συβούλεψέ την τώρα,
νὰ πάρη τὸν καλύτερο, καὶ πιότερα ὅποιον δίνει,
κι ἐσὺ γιὰ νὰ τὰ χαίρεσαι τὰ πατρικά σου πλούτια,
κι ἐκείνη τοῦ ἄλλου της τοῦ ἀντρὸς τὸ σπίτι νὰ κοιτάζη."
Κι ὁ γνωστικὸς Τηλέμαχος γύρισε τότες κι εἶπε·
"Ναὶ μὰ τὸ Δία, Ἀγέλαε, καὶ μὰ τὰ πάθια ἐκείνου
ποὺ ἀπὸ τὸ Θιάκι μακριὰ πλανιέται γιά καὶ χάθη,
ν' ἀργοπορήσω δὲ ζητῶ τὸ γάμο τῆς μητέρας,
παρὰ ὅλο τὴν παρακινῶ νὰ πάρη αὐτὸν ποὺ θέλει,
καὶ δίνω δῶρα ἀρίθμητα. Ὅμως νὰ τήνε βγάλω
χωρὶς νὰ θέλη ντρέπουμαι, κι ὁ θεὸς νὰ μὴν τὸ δώση."

ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
ἄσβεστον γέλω ὦρσε, παρέπλαγξεν δὲ νόημα.
οἱ δ᾽ ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισιν,
αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ᾽ ἄρα σφέων
δακρυόφιν πίμπλαντο, γόον δ᾽ ὠΐετο θυμός.

τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·

"ὦ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα.
οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί,
αἵματι δ᾽ ἐρράδαται τοῖχοι καλαί τε μεσόδμαι·
εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλή,
ἱεμένων Ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ᾽ ἐπιδέδρομεν ἀχλύς."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν.
τοῖσιν δ᾽ Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ᾽ ἀγορεύειν·
"ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ἐΐσκει."
τὸν δ᾽ αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
"Εὐρύμαχ᾽, οὔ τί σ᾽ ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ

Εἶπ' ὁ Τηλέμαχος· κι ἡ θεὰ μὲς στοὺς μνηστῆρες γέλια
ἄσβηστα σήκωσε, κι ὁ νοῦς τοῦ καθενὸς σκοτίστη.
Καὶ τώρα αὐτοὶ μὲ ἀπόξενα γελούσανε σαγόνια,
καὶ κρέατα αἱματόβρεχτα μασούσανε καὶ τρῶγαν·
δάκρυα τὰ μάτια τους πολλὰ γεμίζαν, κι ἡ ψυχή τους
προμάντεμα μοιρολογιοῦ τοὺς ἔφερνε μεγάλου.
Καὶ τότες ὁ θεόμορφος Θεοκλύμενος τοὺς εἶπε·
"Ἄχ, τί μεγάλο, ὦ δύστυχοι, κακὸ μαθὲς σᾶς βρίσκει.
Νύχτα σᾶς ζώνει κεφαλὴ καὶ πρόσωπο καὶ γόνα·
ἄναψ' ὁ θρῆνος, βρέχουνται τὰ μάγουλα μὲ δάκρυα,
κι οἱ τοῖχοι μ' αἷμα βρέχουνται καὶ τὰ ὥρια μεσοδόκια·
γέμισαν πρόθυρα κι αὐλὲς μὲ ἴσκιους νεκρῶν ποὺ τρέχουν
μέσα στὰ σκότη, στὸ Ἔρεβος· καὶ χάθηκε στὰ οὐράνια·
ὁ ἥλιος καὶ γύρω ἁπλώθηκε στὸν κόσμο μαύρη ἀντάρα."
Αὐτὰ εἶπε, κι ὅλοι γέλασαν ἐκεῖνοι ἀπ' τὴν καρδιά τους
Κι ἀρχίζει τοῦ Πολύβου ὁ γιὸς ὁ Εὐρύμαχος, καὶ κρένει·
"Χαμένα τά 'χει ὁ νιόφερτος ὁ ξένος ποὺ μᾶς ἦρθε.
Μὰ γλήγορα ἀπ' τὰ μέγαρα στεῖλτε τον ἔξω, ὦ νέοι,
στὴν ἀγορὰ νὰ κατεβῆ, τί ἐδῶ τὴ νύχτα βλέπει."
Κι ὁ θεόμορφος Θεοκλύμενος τοῦ ἀπολογήθη κι εἶπε·
"Εὐρύμαχε, ὁδηγούς ἐσὺ δὲ θέλω νὰ μοῦ φέρης·
ἔχω καὶ μάτια ἐγώ, κι αὐτιά, κι ἔχω τὰ δυό

πόδες ἄμφω
καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.
τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
ἐρχόμενον, τό κεν οὔ τις ὑπεκφύγοι οὐδ' ἀλέαιτο
μνηστήρων, οἳ δῶμα κάτ' ἀντιθέου Ὀδυσῆος
ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε."
ὣς εἰπὼν ἐξῆλθε δόμων εὖ ναιεταόντων,
ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"Τηλέμαχ', οὔ τις σεῖο κακοξεινώτερος ἄλλος·
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
ἔμπαιον οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
τοὺς ξείνους ἐν νηὶ πολυκληῖδι βαλόντες
ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι."
ὣς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεί,
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.

μου πόδια,
καὶ γνώση εἶναι στὰ στήθια μου γερή κι ὡριμασμένη.
Μ' αὐτὰ θὰ πάω, γιατὶ κακὸ νὰ σᾶς ζυγώνη νιώθω,
ποὺ οὔτ' ἕνας δὲ θὰ δυνηθῆ μνηστήρας νὰ ξεφύγη,
ἀπ' ὅσους μὲς στὰ μέγαρα τοῦ θεϊκοῦ Ὀδυσσέα
τοὺς ἄντρες βρίζουν, καὶ φριχτὲς σοφίζουνται ἀνομίες."
Εἶπε, κι ἀπ' τὰ καλόφτιαστα παλάτια βγῆκε ἐκεῖνος,
καὶ τράβηξε στοῦ Πείραιου, ποὺ καλοδέχτηκέ τον.
Κι ἕνας τὸν ἄλλον ὅλοι τους κοιτώντας οἱ μνηστῆρες,
κεντοῦσαν τὸν Τηλέμαχο, τοὺς ξένους περγελώντας.
Κι αὐτὰ κάποιος ἀγέρωχος γύρισε κι εἶπε νέος·
"Τηλέμαχε, ἄλλος σὰν κι ἐσὲ κακόξενος δὲν εἶναι.
Κοίταξ' αὐτὸν τὸν βρώμικο τὸν κοσμογυριστή σου,
ποὺ ὅλο πεινάει κι ὅλο διψάει, καὶ μήτ' ἀπὸ ἔργα ξέρει,
μήτ' ἀπὸ μάχες ἔμαθε· βάρος τῆς γῆς ἀλήθεια.
Ἄλλος σηκώθη πάλε ἐδῶ τὸ μάντη νὰ σοῦ κάμη.
Μὰ ἐμέν' ἀκούγοντας, πολὺ περσότερο κερδίζεις·
μὲς σὲ καλὸ ἂς τοὺς ρίξουμε πολύσκαρμο καράβι,
στὴ Σικελία γιὰ νὰ σταλθοῦν, καλὴ τιμὴ νὰ πιάσης."
Αὐτὰ οἱ μνηστῆρες λέγανε, μὰ ἀδιαφοροῦσ' ἐκεῖνος,
καὶ τὸν πατέρα του ἄφωνος τηροῦσε, καρτερώντας
πότε θὰ πέση ἡ χέρα του στοὺς ἄτιμους μνηστῆρες.

ἡ δὲ κατ᾽ ἄντηστιν θεμένη περικαλλέα δίφρον
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουεν.

δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο
ἡδὺ τε καὶ μενοεικές, ἐπεὶ μάλα πόλλ᾽ ἱέρευσαν·
δόρπου δ᾽ οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
οἷον δὴ τάχ᾽ ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

Κι ἡ Πηνελόπη ἡ φρόνιμη, τοῦ Ἰκάριου ἡ θυγατέρα
ἀντίκρυ τους σὰν ἔστησε τὸ λαμπερὸ θρονί της,
ὅ,τι ὁ καθένας ἔλεγε στὰ μέγαρα ἀγρικοῦσε,

μὲ γέλια καθὼς τοίμαζαν τὸ γέμα τους ἐκεῖνοι,
τὸ πλούσιο, τὸ χαρούμενο, μὲ τὰ πολλὰ σφαχτά του.
Μὰ ἄλλο τραπέζι πιὸ ἄχαρο δὲ γίνη, σὰν τὸ δεῖπνο
ποὺ ἔμελλε γλήγορα ἡ θεὰ κι ὁ μέγας Ὀδυσσέας
νὰ τοὺς ἁπλώση· γιατὶ αὐτοὶ πρωτόκαμαν τὸ κρῖμα.

Ὁμήρου Ὀδύσσεια

Ραψωδία φ

Τόξου θέσις.

Μετάφραση Ἀργύρη Ἐφταλιώτη

τῇ δ᾽ ἄρ᾽ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον
ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια καὶ φόνου ἀρχήν.
κλίμακα δ᾽ ὑψηλὴν προσεβήσετο οἷο δόμοιο,
εἵλετο δὲ κληῖδ᾽ εὐκαμπέα χειρὶ παχείῃ
καλὴν χαλκείην· κώπη δ᾽ ἐλέφαντος ἐπῆεν.
βῆ δ᾽ ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶν
ἔσχατον· ἔνθα δέ οἱ κειμήλια κεῖτο

Τότες στὸ νοῦ της ἔβαλε ἡ θεὰ ἡ γαλανομάτα
τῆς Πηνελόπης, τῆς καλῆς τοῦ Ἰκάριου θυγατέρας,
τόξο καὶ σίδερα σταχτιὰ νὰ βάλη στοὺς μνηστῆρες
ἀγώνα καὶ σφαγῆς ἀρχὴ μὲς στοῦ Ὀδυσσέα τοὺς πύργους.
Τὴ σκάλα τοῦ θαλάμου της τὴν ἀψηλὴ κατέβη,
πῆρε ὥριο γυριστὸ κλειδὶ στὸ μαλακό της χέρι,
χαλκένιο καὶ μὲ φιλντισὶ χερούλι ταιριασμένο.
Ὡς στὸ στερνὸ τὸ θάλαμο πηγαίνει μὲ τὶς βάγιες,
ποὺ κοίτουνταν οἱ θησαυροὶ τοῦ βασιλέα

ἄνακτος,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος.
ἔνθα δὲ τόξον κεῖτο παλίντονον ἠδὲ φαρέτρη
ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί,
δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας
Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν
οἴκῳ ἐν Ὀρτιλόχοιο δαΐφρονος. ἦ τοι Ὀδυσσεὺς
ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
νηυσὶ πολυκλήϊσι τριηκόσι' ἠδὲ νομῆας.
τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς
παιδνὸς ἐών· πρὸ γὰρ ἦκε πατὴρ ἄλλοι τε γέροντες.
Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·
αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο,
ἐπεὶ δὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον,
φῶθ' Ἡρακλῆα, μεγάλων ἐπιίστορα ἔργων,
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ,
σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν,
τὴν ἧν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν,
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.

κρυμμένοι,
χαλκός, χρυσάφι, σίδερο περίτεχνα ἐργασμένο.
Εἶχε καὶ πισοτέντωτο δοξάρι καὶ φαρέτρα,
ποὺ μέσα της ἦταν πολλὲς στεναχτερὲς σαγίτες.
Ἀπὸ τή Λακεδαίμονα τά 'χε ὁ Δυσσέας φερμένα,
τοῦ ὁμοιόθεου τοῦ Ἴφιτου, γόνου τοῦ Εὐρύτου δῶρα.
Στοῦ Ὀρσίλοχου ἀνταμώθηκαν τοῦ ἀντρείου στὴ Μεσσήνη,
σὰν πῆγε ὁ Ὀδυσσέας ἐκεῖ γιὰ χρέος ποὺ ὅλ' ἡ χώρα
τοῦ χρώσταγε· τὶ πρόβατα τρακόσα ἀπὸ τὸ Θιάκι
μὲ τοὺς βοσκοὺς ἁρπάξανε καὶ φύγαν Μεσσηνῖτες
μὲ πλεούμενα πολύσκαρμα· καὶ μακρινὸ ταξίδι
πῆγε ὁ Δυσσέας ζητώντας τα, μικρὸς πολὺ κι ἂν ἦταν
τὶ ὁ κύρης του τὸν ἔστειλε καὶ τοῦ Θιακιοῦ οἱ γερόντοι.
Καὶ πάλε ὁ Ἴφιτος ἐκεῖ φοράδες δώδεκα ἦρθε
νὰ βρῆ χαμένες, ποὺ γερὰ βυζάνανε μουλάρια·
αὐτὲς δὰ ποὺ τοῦ γίνανε χάρος καὶ μαύρη μοῖρα,
κατόπι, στὸν ἀντρειόψυχο τοῦ Δία τὸ γιὸ σὰν ἦρθε,
τὸν Ἡρακλῆ, τὸ γνωριστὴ κάθε ἔργου φημισμένου,
ποὺ ὁ ἄνομος στὸ σπίτι του τὸν ἔσφαξε, ἂν καὶ ξένο,
καὶ μήτε θεὸ δὲ ντράπηκε, καὶ μήτε τὸ τραπέζι
ποὺ τότες τοῦ παράθεσε· μόνε κι ἐκεῖνον σφάζει,
καὶ τὶς βαριόνυχες κρατάει φοράδες στὸ παλάτι.

τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο, δῶκε δὲ τόξον,
τὸ πρὶν μέν ῥ᾽ ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
κάλλιπ᾽ ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσι.
τῷ δ᾽ Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
ἀρχὴν ξεινοσύνης προσκηδέος· οὐδὲ τραπέζῃ
γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
Ἶφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν,
ὅς οἱ τόξον ἔδωκε. τὸ δ᾽ οὔ ποτε δῖος Ὀδυσσεὺς
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
ἤρειτ᾽, ἀλλ᾽ αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
κέσκετ᾽ ἐνὶ μεγάροισι, φόρει δέ μιν ἦς ἐπὶ γαίης.
ἡ δ᾽ ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν
οὐδόν τε δρύϊνον προσεβήσετο, τόν ποτε τέκτων
ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ᾽ ἐπέθηκε φαεινάς,
αὐτίκ᾽ ἄρ᾽ ἥ γ᾽ ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
ἐν δὲ κληῖδ᾽ ἧκε, θυρέων δ᾽ ἀνέκοπτεν ὀχῆας
ἄντα τιτυσκομένη· τὰ δ᾽ ἀνέβραχεν ἠΰτε ταῦρος
βοσκόμενος λειμῶνι· τόσ᾽ ἔβραχε καλὰ θύρετρα
πληγέντα κληΐδι, πετάσθησαν δέ οἱ ὦκα.
ἡ δ᾽ ἄρ᾽ ἐφ᾽ ὑψηλῆς σανίδος βῆ· ἔνθα δὲ χηλοὶ
ἕστασαν, ἐν δ᾽ ἄρα τῇσι θυώδεα

Αὐτὲς ζητώντας ὁ Ἶφιτος, τὸν Ὀδυσσέα ἀνταμώνει,
καὶ τὸ δοξάρι τοῦ 'δωσε, ποὺ ὁ Εὔρυτος ὁ μέγας
κρατοῦσε μιὰ φορά, μὰ πρὶν πεθάνη τό 'χε ἀφήσει
τοῦ γιοῦ του στὰ παλάτια του. Καὶ τότε ὁ Ὀδυσσέας
τοῦ 'δωκε κοφτερὸ σπαθὶ καὶ δυνατό κοντάρι,
ἀρχὴ φιλίας γκαρδιακῆς· μὰ οἱ δυό δὲ γνωριστῆκαν
καὶ σὲ τραπέζι, γιατὶ ὁ γιὸς τοῦ Διὸς εἶχε σκοτώσει
τὸν Ἶφιτο τὸ θεόμοιαστο, ποὺ τοῦ 'δωκε τὸ τόξο.
Στὸν πόλεμο σὰν ἔβγαινε μὲ πλοῖο ὁ Ὀδυσσέας,
τ' ἄφηνε σπίτι, θύμημα τοῦ ἀγαπητοῦ του φίλου,
καὶ μόνο στὴν πατρίδα του κρατοῦσε ἐκεῖνο τ' ὅπλο.
Σὰν ἔφτασε στὸ θάλαμο ἡ τρισεύγενη γυναίκα,
καὶ στὸ κατώφλι ἀνέβηκε τὸ δρένιο, ποὺ τεχνίτης
τό 'χε σκαλίσει ξυλουργός, καὶ τὸ ἴσιωσε μὲ στάφνη,
καὶ παραστάτες ἔστησε, κι ἔβαλε ὡραῖες θύρες,
ἀμέσως τότες τὸ λουρὶ ξελύνει ἀπ' τὴν κρικέλα,
χώνει ἴσια μέσα τὸ κλειδί, τοὺς σύρτες βρίσκει ἀντίκρυ,
τοὺς σπρώχνει, καὶ καθὼς βογγάει μὲς στὸ λιβάδι ταῦρος
ποὺ βόσκει, ὅμοια βόγγησαν κι οἱ θύρες οἱ πανώριες,
μὲ τοῦ κλειδιοῦ τὸ βάρεμα, κι ἀνοίξανε ὀμπροστά της.
Ἀνέβηκε στὸ πάτωμα μὲ τὰ πολλὰ τ' ἁρμάρια,
καὶ μέσα μὲ τὶς φορεσὲς τὶς μοσκομυρισμένες·

εἵματ᾽ ἔκειτο.
ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου αἴνυτο τόξον
αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.
ἑζομένη δὲ κατ᾽ αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
κλαῖε μάλα λιγέως, ἐκ δ᾽ ἧρεε τόξον ἄνακτος.
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
βῆ ῥ᾽ ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς
τόξον ἔχουσ᾽ ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· πολλοὶ δ᾽ ἔνεσαν στονόεντες ὀϊστοί.
τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ ἀμφίπολοι φέρον ὄγκιον, ἔνθα σίδηρος
κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ἄνακτος.
ἡ δ᾽ ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
ἀμφίπολος δ᾽ ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
αὐτίκα δὲ μνηστῆρσι μετηύδα καὶ φάτο μῦθον·
"κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ᾽ ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν᾽ ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
ἀλλ᾽ ἐμὲ ἱέμενοι γῆμαι θέσθαι τε γυναῖκα.
ἀλλ᾽ ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ᾽ ἄεθλον.

κι ἁπλώνοντας τὸ χέρι της, ξεκρέμασε τὸ τόξο
μὲ τὸ θηκάρι, ποὺ λαμπρὸ παντοῦθε φεγγοβόλα.

Καθίζει, καὶ περίλυπη στὰ γόνατα τό παίρνει,
βγάζει τὸ τόξο, κι ἀρχινάει τὸ κλάμα βλέποντάς το.
Καὶ σάνε καλοχόρτασε τὰ δάκρυα καὶ τὸ θρῆνο,
ξεκίνησε στὸ μέγαρο πρὸς τοὺς λαμπροὺς μνηστῆρες,
κι ἦρθε τὸ πισοτέντωτο κρατώντας τό δοξάρι,
καὶ τὴ φαρέτρα μὲ πολλὲς στεναχτερὲς σαγίττες.
Φέρναν κι οἱ παρακόρες της κασέλα γεμισμένη
μὲ σίδερο καὶ μὲ χαλκό, τὰ σύνεργα τοῦ ἀφέντη.
Κι ἡ ζουλεμένη ἀρχόντισσα σὰν πῆγε στοὺς μνηστῆρες,
σιμὰ στὸ στύλο στάθηκε τῆς δουλεμένης στέγης,
σηκώνοντας στὴν ὄψη της τό λιόλαμπρο φακιόλι,
[μὲ τὶς παραστεκάμενες δεξιὰ κι ἀριστερά της].
καὶ στοὺς μνηστῆρες μίλησε κι αὐτὰ τοὺς εἶπε τότες·
“Ἀκοῦστε με, ὦ θεότολμοι μνηστῆρες, ποὺ σ' ἐτοῦτον
τὸν πύργο πέσατε ὅλοι σας, νὰ πίνετε, νὰ τρῶτε,
ὅσον καιρὸ ὁ ἀφέντης μου στὴν ξενιτειὰ γυρίζει,
καὶ πρόφαση καλύτερη δὲ δύνεστε νὰ βρῆτε,
μόν' πὼς ἐμένα νά 'χετε γυναίκα λαχταρᾶτε.
Μὰ ἐλᾶτε, παλληκάρια μου, καὶ νά, βραβεῖο ὀμπρός σας.
Τὸ μέγα τόξο θέτω σας τοῦ θεϊκοῦ Ὀδυσσέα,

θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὅς δέ κε ῥηΐτατ᾽ ἐντανύσῃ βιὸν ἐν παλάμῃσι
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ᾽ ἐσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο,
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρῳ."
ὣς φάτο, καί ῥ᾽ Εὔμαιον ἀνώγει, δῖον ὑφορβόν,
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον.
δακρύσας δ᾽ Εὔμαιος ἐδέξατο καὶ κατέθηκε·
κλαῖε δὲ βουκόλος ἄλλοθ᾽, ἐπεὶ ἴδε τόξον ἄνακτος.
Ἀντίνοος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
ἆ δειλώ, τί νυ δάκρυ κατείβετον ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ἦ τε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ᾽ ἀκοίτην.
ἀλλ᾽ ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε, κατ᾽ αὐτόθι τόξα λιπόντε,
μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω
ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοίσδεσι πᾶσιν
οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα,
καὶ γὰρ μνήμων εἰμί, πάϊς δ᾽ ἔτι

κι ἐκεῖνον ποὺ εὐκολώτερα στὰ χέρια τὸ τεντώση,
κι ἀξίνια δώδεκα μὲ μιὰ σαΐτα του περάση,
θ' ἀκολουθήσω ἀφήνοντας τὸν πύργο αὐτόνε, ποὺ ἤρθα
νιόπαντρη ἐγώ, καὶ βρῆκα τον ὥριο καὶ βιὸς γεμάτο,
ποὺ πάντα θὰ θυμᾶμαι τον καὶ μέσα στ' ὄνειρό μου."
Αὐτὰ σὰν εἶπε, πρόσταξε τὸν ἄξιο χοιροτρόφο
τὸ τόξο καὶ τὰ σίδερα νὰ θέση στοὺς μνηστῆρες.
Δάκρυσε ὁ Εὔμαιος, τά 'πιασε, καὶ χάμου ἀράδιασέ τα.
Θρηνοῦσε κι ὁ βοδοβοσκός, ἀλλοῦ καθὼς τὸ τόξο
κι εἶπε·
"Κλούβιοι χωριάτες, ποὺ ἔχετε στὸ σήμερα μονάχα
τὸ νοῦ σας· μωρὲ δύστυχοι, τί κάθεστε καὶ κλαῖτε,
καὶ τὴ γυναίκα ἀγγίζετε κατάβαθα στὰ σπλάχνα,
ποὺ αὐτὴ καὶ μόνη της πονεῖ γιὰ τὸ χαμὸ τοῦ ἀντρός της.
Ἥσυχα τρῶτε αὐτοῦ, εἰδεμὴ βγῆτε ὄξω γιὰ νὰ κλάψτε,
τὸ τόξο αὐτὸ γιὰ φοβερὸν ἀφήνοντας ἀγώνα.
Τὶ δύσκολα θὰ τεντωθῆ, θαρρῶ, τ' ὡριόξεστο ὅπλο·
κι ἀπ' ὅσους εἶναι ἐδῶ, κανεὶς δὲ μοιάζει τοῦ Ὀδυσσέα
στὴν ἀντρειοσύνη, σὰν ποὺ ἐγὼ τὸν εἶδα τότε ἐκεῖνον
καὶ τὸ θυμᾶμαι ξάστερα, μωρὸ παιδὶ κι ἂν ἤμουν."
Αὐτὰ εἶπεν· ὅμως τό 'λπιζεν ἐκεῖνος νὰ

νήπιος ἦα."
ὣς φάτο, τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νευρὴν ἐντανύσειν διοϊστεύσειν τε σιδήρου.
ἦ τοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν τότ' ἀτίμα
ἥμενος ἐν μεγάροις, ἐπὶ δ' ὦρνυε πάντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο·
"ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων·
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλῳ ἅμ' ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι ἄφρονι θυμῷ.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ' Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς οὔτ' Ἄργεος οὔτε Μυκήνης·
οὔτ' αὐτῆς Ἰθάκης οὔτ' ἠπείροιο μελαίνης·
καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου;
ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε μηδ' ἔτι τόξου
δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου,
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην

τεντώση
τὴν κόρδα, καὶ ἀπ' τὰ σίδερα τὴ σαΐτα νὰ περάση·
αὐτός, ποὺ πρῶτος ἔμελλε νὰ φάη σαϊτιὰ ἀπ' τὸ χέρι
τοῦ Ὀδυσσέα τοῦ ὑπέρλαμπρου, ποὺ μὲς στὰ μέγαρά του
καθόταν καὶ τὸν ἔβριζε, καὶ κέντας καὶ τοὺς ἄλλους.
Καὶ τότες ὁ ἀντρειόψυχος Τηλέμαχος τοὺς εἶπε·
"Ἄλλοί, καὶ πῶς ὁ Δίας, ὁ γιὸς τοῦ Κρόνου, μὲ τρελλαίνει!
Μοῦ λέει ἡ μάνα ἡ ἀκριβὴ μὲ τὴν πολλή της γνώση,
τὸ σπίτι πὼς θ' ἀφήση αὐτὸ νὰ πάγη μ' ἄλλον ἄντρα,
κι ἐγὼ γελῶ, κι ἡ ἀσύστατη τὸ χαίρεται ψυχή μου.
Μὰ ἐλατε, παλληκάρια μου, καὶ νά, βραβεῖο ὀμπρός σας,
γυναίκα, ποὺ στῶν Ἀχαιῶν τὴ γῆς δὲ βρίσκετ' ἄλλη,
οὔτε στὴν Πύλο τὴν ἱερή, καὶ στ' Ἄργος, στὴ Μυκήνη,
οὔτε στὴ μελανὴ στεριά, μὰ οὔτε καὶ μὲς στὸ Θιάκι.
Μὰ ἐσεῖς τὰ ξέρετε· ἔπαινο τῆς μάνας δὲ θὰ κάνω.
Ὀμπρός, καιρὸ μὴ χάνετε μὲ πρόφασες πιὰ τώρα,
τοῦ δοξαριοῦ τὸ τέντωμα μὴ φεύγετε, κι ἂς δοῦμε.
Καὶ λέγω νὰ δοκίμαζα κι ἀτός μου τὸ δοξάρι·
κι ἂν τὸ τεντώσω καὶ σαϊτιὰ περάσω ἀπὸ τ' ἀξίνια,
δὲ θὰ πονῶ πιά, τὶ ἡ καλὴ μητέρα μου ἄλλον ἄντρα
δὲ θὰ 'παιρνε νὰ φύγη, ἀφοῦ θά 'μνησκα ἐγὼ κατόπι

οἷός τ᾽ ἦδη πατρὸς ἀέθλια κάλ᾽ ἀνελέσθαι."
ἦ καὶ ἀπ᾽ ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν
ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμων.
πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ᾽ ἕλε πάντας ἰδόντας,
ὡς εὐκόσμως στῆσε· πάρος δ᾽ οὐ πώ ἂν καὶ ποτὲς πρωτύτερα δὲν τό 'χε δῆ καὶ ποτ᾽ ὀπώπει.
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰὼν καὶ τόξου πειρήτιζε.
τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τό γε θυμῷ,
νευρὴν ἐντανύειν διοϊστεύσειν τε σιδήρου.
καί νύ κε δή ῥ᾽ ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
ἀλλ᾽ Ὀδυσεὺς ἀνένευε καὶ ἔσχεθεν ἱέμενόν περ.
τοῖς δ᾽ αὖτις μετέειφ᾽ ἱερὴ ἴς Τηλεμάχοιο·
"ὢ πόποι, ἦ καὶ ἔπειτα κακός τ᾽ ἔσομαι καὶ ἄκικυς,
ἠὲ νεώτερός εἰμι καὶ οὔ πω χερσὶ πέποιθα
ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ᾽ ἄγεθ᾽, οἵ περ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον."
ὣς εἰπὼν τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν,
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ

ἄξιος τὰ ὅπλα τὰ λαμπρὰ τοῦ κύρη νὰ σηκώνω."
Κι ὀρθὸς πετάχτηκε, ἔβγαλε τὴν πορφυρένια χλαίνα
ἀπὸ τοὺς ὤμους, καὶ μαζὶ τὸ κοφτερὸ σπαθί του.
Χαντάκι σκάβει ὁλόμακρο, καὶ τὰ πελέκια ἀράδα
στήνει μὲ στάφνη ἰσιώνοντας, τὸ χῶμα στρώνει γύρω·
κι ὅλοι θαμάζαν βλέποντας τὴν τόση τάξη τοῦ ἔργου,
Καὶ στὸ κατώφλι στέκοντας δοκίμαζε τὸ τόξο,
Καὶ τρεῖς φορὲς τὸ τράνταξε μὲ βία νὰ τὸ τεντώση,
καὶ τρεῖς τοῦ 'λειψε ἡ δύναμη, κι ἂς τό 'λπιζε τὴν κόρδα
πὼς θὰ τεντώση, μὲ σαϊτιὰ τ' ἀξίνια νὰ περάση.
Στὴν τέταρτη τραβώντας το μ' ὁρμὴ τὸ τέντωνε, ὅμως
ὄχι ὁ Ὀδυσσέας τοῦ 'γνεψε καὶ τοῦ ἔκοψε τὴ φόρα.
Καὶ τότες ὁ ἀντρειόψυχος Τηλέμαχος τοὺς εἶπε·
"Ἀλλοίς μου, ἢ πάντα ἀδύναμος θένα 'μαι ἐγὼ καὶ χαῦνος,
ἢ νιὸς εἶμαι καὶ δύναμη στὰ χέρια μου δὲ νιώθω,
μπρὸς σ' ἄντρα νὰ διαφεντευτῶ ποὺ θὰ μὲ βρίση πρῶτος.
Μὰ ἐλατε, ἐσεῖς στὴ δύναμη ποὺ μὲ περνᾶτε, ἀρχίστε
τὴ δοκιμὴ τοῦ δοξαριοῦ, νὰ τελεστῆ ὁ ἀγώνας."
Εἶπε, καὶ χάμου ἀπίθωσε τὸ τόξο, γέρνοντάς το
στὸ κολλητὸ κι ὡριόξεστο σανίδωμα τῆς θύρας,
καὶ τὴ σαγίτα ἀκούμπησε στὴν ὄμορφη

προσέκλινε κορώνῃ,
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
"ὄρνυσθ᾽ ἐξείης ἐπιδέξια πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει."
ὣς ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱός,
ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
ἵζε μυχοίτατος αἰέν· ἀτασθαλίαι δέ οἱ οἷῳ
ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν·
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ.
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰὼν καὶ τόξου πειρήτιζεν,
οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων
ἀτρίπτους ἁπαλάς· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
"ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι
τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὔθ᾽ ἕνεκ᾽ αἰεὶ
ἐνθάδ᾽ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ᾽ ἐνὶ φρεσὶν ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν.
αὐτὰρ ἐπὴν τόξου πειρήσεται ἠδὲ ἴδηται,

κρικέλα,
καὶ πῆγε πάλε στὸ θρονὶ ποὺ ἀρχίτερα καθόταν.
Κι ὁ Ἀντίνος τοῦ Εὐπείθη ὁ γιὸς γύρισε τότες κι εἶπε·
"Πρὸς τὰ δεξὰ σηκώνεστε μὲ τὴν ἀράδα, ὦ φίλοι,
κι ἀπ' ὅθε ὁ κεραστὴς κερνάει, κεῖθε κι ἐσεῖς ἀρχίστε."
Εἶπ' ὁ Ἀντίνος, κι ἄρεσεν ὁ λόγος καὶ στοὺς ἄλλους.
Πρῶτος ὁ γόνος τοῦ Οἴνοπα σηκώθηκε, ὁ Λειώδης,
ποὺ ἀπὸ μαντεῖες γνώριζε, καὶ στὸ λαμπρὸ κροντήρι
σιμὰ καθότανε, βαθιά· καὶ μόνε αὐτὸς μισοῦσε
τὶς ἀνομίες, καὶ μ' ὀργὴ θωροῦσε τοὺς μνηστῆρες·
καὶ πρῶτος τότες ἔπιασε τὸ τόξο καὶ τὸ βέλος.
Πὰς στὸ κατώφλι στέκοντας δοκίμαζε τὸ τόξο,
μὰ δὲν τὸ τέντωσε, παρὰ τραβώντας ἀποκάμαν
τ' ἀγύμναστα καὶ μαλακὰ χέρια του, καὶ τοὺς εἶπε·
"Δὲν τὸ τεντώνω, φίλοι, ἐγώ, τώρ' ἄλλος ἂς τὸ πάρη.
Πολλῶν λεβέντηδων αὐτὸ τὸ τόξο θένα πάρη
καὶ τὴν ἀντρεία καὶ τὴ ζωή· τὶ πιὸ καλὸ νομίζω
τὸ θάνατο, παρὰ ζωὴ καὶ νὰ τὰ χάσουμε ὅσα
ὁλοχρονὶς καθόμαστε δωπέρα καρτερώντας.
Κάποιος στὸ νοῦ του λαχταρεῖ κι ἐλπίζει γιὰ νὰ πάρη
τοῦ Ὀδυσσέα τὴ σύγκοιτη, τὴν Πηνελόπη, τώρα·
σὰν κάνη ὅμως τὴ δοκιμὴ τοῦ τόξου καὶ γνωρίση,

ἄλλην δή τιν᾽ ἔπειτα Ἀχαιϊάδων εὐπέπλων
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ᾽ ἔπειτα
γήμαιθ᾽ ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι."
ὣς ἄρ᾽ ἐφώνησεν καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν,
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
ἆψ δ᾽ αὖτις κατ᾽ ἄρ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Ἀντίνοος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
"λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
δεινόν τ᾽ ἀργαλέον τε, --νεμεσσῶμαι δέ τ᾽ ἀκούων--
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
οὐ γάρ τοί σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ
οἷόν τε ῥυτῆρα βιοῦ τ᾽ ἔμεναι καὶ ὀϊστῶν·
ἀλλ᾽ ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί."
ὣς φάτο, καί ῥ᾽ ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν·
"ἄγρει δή, πῦρ κῆον ἐνὶ μεγάροισι, Μελανθεῦ,
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ᾽ αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
ὣς φάθ᾽, ὁ δ᾽ αἶψ᾽ ἀνέκαιε Μελάνθιος

τότε ἄλλη λαμπροστόλιστην Ἀχαιοπούλα ἂς πάρη
μὲ δῶρα του· κι αὐτὴ ἂς δεχτῆ τὸν ἄντρα ποὺ θὰ δώση
τὰ πιότερα, καὶ τῆς φανῆ τῆς μοίρας ὁ σταλμένος."
Εἶπε, καὶ τότε ἀπόθεσε τὸ τόξο, γέρνοντάς το
στὸ κολλητὸ κι ὡριόξεστο σανίδωμα τῆς θύρας,
καὶ τὴ σαγίτα ἀκούμπησε στὴν ὅμορφη κρικέλα,
καὶ πῆγε πάλε στὸ θρονὶ ποὺ ἀρχίτερα καθόταν.
Κι ὁ Ἀντίνος τὸν ἀντίσκοψε καὶ λάλησε του κι εἶπε·
"Τί λογο ἀπὸ τὰ χείλη σου ξεστόμισες, ὦ Λειώδη,
βαρὺ, φριχτό, ποὺ ἀκούγοντας θυμὸς πολὺς μὲ πιάνει;
Πολλῶν λεβέντηδων ψυχὴ θᾶ πάρη αὐτὸ ,τὸ τόξο,
μᾶς λές, ἂν ἄξιος δὲ φανῆς ἐσὺ νὰ τὸ τεντώσης.
Ἐσένα ἡ κερὰ μάνα σου θαρρῶ δὲ γέννησέ σε
δοξάρια γιὰ νὰ μᾶς τραβᾶς καὶ βέλη νὰ τινάζης.
Ὅμως μνηστῆρες δοξαστοὶ θὰ τὸ τεντώσουν ἄλλοι."
Εἶπε, καὶ τὸ γιδοβοσκὸ τὸ Μελανθέα προστάζει·
"Ἄναψε τώρα ἐσὺ φωτιὰ στὸν πύργο, ὦ Μελανθέα,
θέσε μεγάλο ἐκεῖ θρονί, στρῶσε προβιὰ κατόπι
φέρ' ἀπὸ μέσα ἕνα χοντρὸ κεφάλι πάχος, κι ἔτσι
καλὰ σὰν τὸ ζεστάνουμε, κι ἀλείφοντάς το οἱ νέοι,
τ' ὅπλο νὰ δοκιμάζουμε, νὰ τελεστῆ ὁ ἀγώνας."
Εἶπε, κι εὐτὺς ἀκούραστη φωτιὰ ἄναψε ὁ

ἀκάματον πῦρ,
πὰρ δὲ φέρων δίφρον θῆκεν καὶ κῶας ἐπ᾽ αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ᾽· οὐδ᾽ ἐδύναντο
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν.
Ἀντίνοος δ᾽ ἔτ᾽ ἐπεῖχε καὶ Εὐρύμαχος θεοειδής,
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ᾽ ἔσαν ἔξοχ᾽ ἄριστοι.
τὼ δ᾽ ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ᾽ ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ᾽ αὐτὸς μετὰ τοὺς δόμου ἦλυθε δῖος Ὀδυσσεύς.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφε ἔπεσσι προσηύδα μειλιχίοισι·
"βουκόλε καὶ σύ, συφορβέ, ἔπος τί κε μυθησαίμην,
ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει.
ποῖοί κ᾽ εἶτ᾽ Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι
ὧδε μάλ᾽ ἐξαπίνης καί τις θεὸς αὐτὸν ἐνείκαι;
ἦ κε μνηστήρεσσιν ἀμύνοιτ᾽ ἦ Ὀδυσῆϊ;
εἴπαθ᾽ ὅπως ὑμέας κραδίη θυμός τε κελεύει."
τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
"Ζεῦ πάτερ, αἶ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἔπονται."

Μελάνθης,
ἔθεσε μέγα ἐκεῖ θρονί, προβιά 'στρωσε, κατόπι
ἔφερε μέσαθε χοντρὸ κεφάλι πάχος, κι ἔτσι
οἱ νέοι σὰν τὸ ζεστάνανε, τὸ τόξο δοκιμάζαν·
τοῦ κάκου, τὶ στὴ δύναμη πολὺ κατώτεροι
ἦταν.
Ὁ Ἀντίνος κι ὁ θεόμοιαστος Εὐρύμαχος ὡς τόσο
μνήσκανε ἀκόμα, οἱ ἀρχηγοι καὶ τῶ μνηστήρων πρῶτοι.

Τότες τὸ μέγαρο ἄφησαν καὶ βγῆκαν, ὁ βουκόλος
μαζὶ μὲ τὸ χοιροβοσκὸ τοῦ θεϊκοῦ Ὀδυσσέα.

Κατόπι τους κι ὁ θεϊκὸς ἦρθ' Ὀδυσσέας ἔξω,
κι ἄμα παρόξω ἀπ' τὶς αὐλὲς κι ἀπὸ τὶς θύρες βγῆκαν,
μὲ λόγια γλυκομίλητα λαλώντας εἶπ' ἐκεῖνος·
"Βουκόλε καὶ χοιροβοσκέ, νὰ πῶ σας κάποιο λόγο,
ἢ νὰ τὸ κρύψω; Ὁ πόθος μου μὲ σπρώχνει νὰ λαλήσω.
Μὲ ποιὰ θὰ βοηθούσατε τὸν Ὀδυσσέα γνώμη,
ἂν κάπουθε ἄξαφνα ἔρχονταν ἀπὸ θεὸ σταλμένος;
μὲ τοὺς μνηστῆρες θά 'σαστε, γιὰ τοῦ Ὀδυσσέα φίλοι;
Πῆτε μου ἐκεῖνο ποὺ ἡ καρδιὰ σᾶς λέγει κι ἡ ψυχή σας."
Καὶ τότες τοῦ ἀπαντάει καὶ λέει ὁ πρῶτος τῶν βουκόλων

"Δία πατέρα, τοῦτο μου τὸν πόθο τέλεσέ μου·
ἂς ἔλθη ἐκεῖνος, κι ὁ θεὸς ἂς ἔφερνέ τον πίσω,
καὶ θά 'βλεπες τί δύναμη τὰ χέρια ἐδαῦτα κρύβουν."

ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
αὐτὰρ ἐπεὶ δὴ τῶν γε νόον νημερτέ᾽ ἀνέγνω,
ἐξαῦτίς σφε ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
"ἔνδον μὲν δὴ ὅδ᾽ αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
γιγνώσκω δ᾽ ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω
οἷοισι δμώων· τῶν δ᾽ ἄλλων οὔ τευ ἄκουσα
εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἴκαδ᾽ ἱκέσθαι.
σφῶϊν δ᾽, ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
εἴ χ᾽ ὑπ᾽ ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
ἄξομαι ἀμφοτέροις ἀλόχους καὶ κτήματ᾽ ὀπάσσω
οἰκία τ᾽ ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον.
εἰ δ᾽ ἄγε δή, καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
ὄφρα μ᾽ ἐὺ γνῶτον πιστωθῆτόν τ᾽ ἐνὶ θυμῷ,
οὐλήν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησόνδ᾽ ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο."
ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
τὼ δ᾽ ἐπεὶ εἰσιδέτην εὖ τ᾽ ἐφράσσαντο ἕκαστα,
κλαῖον ἄρ᾽ ἀμφ᾽ Ὀδυσῆϊ δαΐφρονι χεῖρε βαλόντε,
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν

Παρόμοια σ' ὅλους τοὺς θεοὺς κι ὁ Εὔμαιος παρακάλειε,
στὸν πύργο του ὁ πολύμυαλος νὰ ξαναρθῆ Ὀδυσσέας.

Κι αὐτὸς σὰν εἶδε πὼς κι οἱ δυὸ καλή 'χανε τὴ γνώμη,
πάλε τοὺς ξαναμίλησε μὲ φτερωμένα λόγια·

"Νά με λοιπὸν στὸν πύργο μου· πολλὰ σὰν εἶδα πάθια,
τώρα στὰ χρόνια τὰ εἴκοσι γυρίζω στὴν πατρίδα.
Ἔρω πὼς ἀπ' τοὺς δούλους μου στοὺς δυό σας μόνο βρίσκω
συμπόνεση· δὲν ἄκουσα κανέναν ἀπ' τοὺς ἄλλους
νὰ κάνη εὐκὴ νὰ ξαναρθῶ στὸ σπίτι μου ἀπ' τὰ ξένα.
Κι ἐσᾶς γι' αὐτὸ ποὺ θὰ γενῆ θὰ πῶ τὴν πᾶσα ἀλήθεια.
Ὁ θεὸς ἂν τοὺς περήφανους μνηστῆρες μοῦ δαμάση,
στοὺς δυό σας τότες σύγκλινη καὶ χτήματα θὰ δώσω,
καὶ θένα στήσω κατοικιὰ σιμὰ στὰ μέγαρά μου,
καὶ τοῦ Τηλέμαχου ἀδερφοὶ και φίλοι πάντα θά 'στε.
Μὰ κι ἄλλο τώρα ξάστερο σημάδι θὰ σᾶς δείξω,
νὰ μὲ καλογνωρίσετε, καὶ νὰ πιστέψη ὁ νοῦς σας·
τὸ λάβωμα ποὺ ὁ ἀσπρόδοντος ὁ κάπρος μοῦ εἶχε ἀνοίξει.
μὲ τὰ παιδιὰ τοῦ Αὐτόλυκου στὸν Παρνασσὸ σὰν πῆγα."
Κι ἀπ' τὸ μεγάλο λάβωμα σηκώνει τὰ κουρέλια.
Κι αὐτοὶ, σὰν καλοκοίταξαν καὶ καθετὶς σὰ νιῶσαν,
μὲ κλάματα ἀγκαλιάσανε τὸ θεϊκὸ Ὀδυσσέα,
καὶ τοῦ θερμοφιλούσανε τὴν κεφαλή, τοὺς ὤμους·

τε καὶ ὤμους
ὣς δ᾽ αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
καί νύ κ᾽ ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε φώνησέν τε·
"παύεσθον κλαυθμοῖο γόοιό τε, μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω.
ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ᾽ ἅμα πάντες,
πρῶτος ἐγώ, μετὰ δ᾽ ὔμμες· ἀτὰρ τόδε σῆμα τετύχθω·
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί,
οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
ἀλλὰ σύ, δῖ᾽ Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον
ἐν χείρεσσιν ἐμοὶ θέμεναι, εἰπεῖν τε γυναιξὶ
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ᾽ αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἕργῳ.
σοὶ δέ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
κληῖσαι κληῖδι, θοῶς δ᾽ ἐπὶ δεσμὸν ἰῆλαι."
ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας·
ἕζετ᾽ ἔπειτ᾽ ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη·
ἐς δ᾽ ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
Εὐρύμαχος δ᾽ ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,

τὰ χέρια καὶ τὴν κεφαλὴ τοὺς φίλαε κι ὁ Ὀδυσσέας.
Κι ὁ Ἥλιος θὰ βασίλευε, κι ἀκόμα αὐτοὶ θὰ κλαῖγαν,
μὰ ἐκεῖνος τοὺς σταμάτησε, καὶ λάλησέ τους κι εἶπε·
"Οἱ κλάψες τώρα ἂς πάψουνε, μὴν τύχη καὶ κανένας
ἔρθη καὶ νιώση, κι ὕστερα τὸ μαρτυρήση μέσα.
Μπαίνετε τώρα, ὄχι μαζί, πρῶτος ἐγώ, καὶ χώρια
κατόπι ἐσεῖς· κι ἀκοῦστε ποιὸ θὰ πάρουμε σημάδι.
Ὅλοι ἅμ' ἀρχίσουν οἱ λαμπροὶ μνηστῆρες καὶ φωνάζουν,
νὰ μὴ δοθῆ σ' ἐμένανε τὸ τόξο κι ἡ φαρέτρα,
τότε, Εὔμαιε λαμπρέ μου ἐσύ, πάρε καὶ φέρ' τὸ τόξο
στὰ χέρια μου, καὶ πρόσταξε τὶς κοπελιὲς συνάμα
τὶς στέριες νὰ σφαλήξουνε τῶν παλατιῶνε θύρες.
Κι ἂν κάποια ἀκούση βογγητὰ καὶ χτύπους ἀπ' τοὺς ἄντρες,
ἐκεῖ ποὺ θά 'μαστε κλειστοί, νὰ μὴν προβάλουν ὄξω,
παρὰ κοιτώντας καθεμιὰ τὸ ἔργο της νὰ συχάζη.
Κι ἐσένα παραγγέλνω σου, θεϊκὲ Φιλοίτιε, ἀμέσως,
νὰ βάλης στὴν αὐλόθυρα κλειδὶ μαζὶ καὶ κόμπο."
Εἶπε, καὶ στὰ καλόχτιστα παλάτια μπῆκε μέσα,
καὶ ξαναπῆγε στὸ θρονὶ πού 'χε καθίσει πρῶτα·
κι ἀκολουθῆσαν τοῦ τρανοῦ τοῦ Ὀδυσσέα οἱ δοῦλοι.
Καὶ κράταε ὁ Εὐρύμαχος στὰ χέρια τὸ δοξάρι,

θάλπων ἔνθα καὶ ἔνθα σέλᾳ πυρός·
ἀλλά μιν οὐδ᾽ ὡς
ἐντανύσαι δύνατο, μέγα δ᾽ ἔστενε
κυδάλιμον κῆρ·
ὀχθήσας δ᾽ ἄρα εἶρος τ᾽ ἔφατ᾽ ἔκ τ᾽
ὀνόμαζεν·
"ὦ πόποι, ἦ μοι ἄχος περί τ᾽ αὐτοῦ
καὶ περὶ πάντων·
οὔ τι γάμου τοσσοῦτον ὀδύρομαι,
ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, αἱ
μὲν ἐν αὐτῇ
ἀμφιάλῳ᾽ Ἰθάκῃ, αἱ δ᾽ ἄλλῃσιν
πολίεσσιν·
ἀλλ᾽ εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες
εἰμὲν
ἀντιθέου Ὀδυσῆος, ὅ τ᾽ οὐ
δυνάμεσθα τανύσσαι
τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι
πυθέσθαι."
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη,
Εὐπείθεος υἱός·
"Εὐρύμαχ᾽, οὐχ οὕτως ἔσται· νοέεις
δὲ καὶ αὐτός.
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο
θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ᾽;
ἀλλὰ ἕκηλοι
κάτθετ᾽· ἀτὰρ πελέκεάς γε καὶ εἴ κ᾽
εἰῶμεν ἅπαντας
ἑστάμεν· οὐ μὲν γάρ τιν᾽
ἀναιρήσεσθαι ὀΐω,
ἐλθόντ᾽ ἐς μέγαρον Λαερτιάδεω
Ὀδυσῆος.
ἀλλ᾽ ἄγετ᾽, οἰνοχόος μὲν
ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν
ἀγκύλα τόξα·
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον,
αἰπόλον αἰγῶν,
αἶγας ἄγειν, αἳ πᾶσι μέγ᾽ ἔξοχοι
αἰπολίοισιν,
ὄφρ᾽ ἐπὶ μηρία θέντες Ἀπόλλωνι

ζεσταίνοντάς το στῆς φωτιᾶς τὴ λάμψη
ἀποπαντοῦθε·
μὰ νὰ τεντώση τὴ χορδὴ δὲν μπόρειε, κι ἡ
μεγάλη
καρδιά του βαριοστέναζε, καὶ φώναξέ τους
κι εἶπε·
"Πόσο βαθὺς ὁ πόνος μου γιὰ μένα καὶ
τοὺς ἄλλους.

Μὰ γιὰ τὸ γάμο, ἂν καὶ πονῶ, δὲ θλίβουμαι
καὶ τόσο.
Ἀχαιοποῦλες βρίσκουνται πολλὲς καὶ στ'
ὥριο Θιάκι,
καὶ σ' ἄλλες χῶρες· θλίβουμαι ποὺ τόσο πιὸ
μικροί του
θένα φαινόμαστε ὅλοι ἐμεῖς στὸ τέντωμα
τοῦ τόξου,

καὶ ποὺ οἱ κατοπινὲς γενιὲς θ' ἀκοῦνε τὴν
ντροπή μας."
Κι ὁ Ἀντίνος, τοῦ Εὐπείθη ὁ γιὸς γύρισε
τότες κι εἶπε·
"Αὐτὸ ποτὲς δὲ θὰ γενῆ, ὦ Εὐρύμαχε, τὸ
ξέρεις.
Σήμερα ὁ τόπος τὸ θεὸ τὸν τοξευτὴ
γιορτάζει·
ποιός νὰ τεντώνη τόξα ἐδῶ; τὰ τόξα ἂς
μείνουν τώρα·
νὰ στέκουν ἂς ἀφήσουμε καὶ τὰ πελέκια
αὐτοῦθε·
τὶ δὲ θὰ ρθῆ, θαρρῶ, κανεὶς στοὺς πύργους
τοῦ Ὀδυσσέα
νὰ τὰ σηκώση. Ὁ κεραστὴς τώρ' ἀπαρχὲς
ἂς δώση
μὲ τὰ ποτήρια, ἂς στάξουμε κι ἂς θέσουμε τὰ
τόξα.
Καὶ πῆτε τοῦ γιδοβοσκοῦ Μελάνθιου, καθὼς
φέξη,
τὰ γίδια τὰ πιὸ διαλεχτὰ νὰ φέρη ἀπ' τὶς
κοπές του,
ποὺ τὰ μεριὰ σὰν κάψουμε, στὸ δοξαράτο
Φοῖβο,
τ' ὅπλο νὰ δοκιμάσουμε, νὰ τελεστῆ ὁ

κλυτοτόξῳ
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
ὣς ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
οἱ δ᾽ ἐπεὶ οὖν σπεῖσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμός,
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
"κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης·
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα
λίσσομ᾽, ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε,
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ᾽ ἐθέλῃσιν.
ἀλλ᾽ ἄγ᾽ ἐμοὶ δότε τόξον ἐΰξοον, ὄφρα μεθ᾽ ὑμῖν
χειρῶν καὶ σθένεος πειρήσομαι, ἤ μοι ἔτ᾽ ἐστὶν
ἵς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ᾽ ἀκομιστίη τε."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
δείσαντες μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
Ἀντίνοος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
"ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ᾽ ἠβαιαί·

ἀγώνας."
Εἶπ' ὁ Ἀντίνος, κι ἄρεσαν τὰ λόγια του στοὺς ἄλλους.
Τότες νερὸ τοὺς ἔχυσαν οἱ κήρυκες στὰ χέρια,
κι οἱ νέοι ἀφοῦ στεφάνωσαν μὲ τὸ πιοτὸ κροντήρια,
κάμανε μ' ὅλους ἀπαρχὴ στὰ πλέρια τὰ ποτήρια.
Καὶ σάνε στάξαν κι ἤπιανε ὅσο ἤθελε ἡ καρδιά τους,
μὲ πονηριὰ ὁ πολύβουλος τοὺς εἶπε ὁ Ὀδυσσέας·
"Ἀκοῦτε με, τῆς δοξαστῆς βασίλισσας μνηστῆρες,
τὰ ὅσα μέσα λέει ὁ νοῦς νὰ σᾶς τὰ φανερώσω.
Ξέχωρα τὸν Εὐρύμαχο καὶ τὸ λαμπρὸν Ἀντίνο
παρακαλῶ, ποὺ εἶπε κι αὐτὰ τὰ στοχασμένα λόγια,
τὰ τόξα στῶν ἀθανάτων τὴν ἔννοια νὰ τ' ἀφῆστε,
καὶ νίκη ὁ Φοῖβος τὸ ταχὺ θὰ δώση σ' ὅποιον θέλει.
Ὅμως ἐμένα δῶστε μου τ' ὡριόξεστο δοξάρι,
τὰ χέρια καὶ τὴ δύναμη νὰ δοκιμάσω ὀμπρός σας,
νὰ δῶ ἂ βαστοῦν τὰ λυγερὰ τὰ μέλη μου σαν πρῶτα,
ἢ τ' ἀφανίσαν οἱ πολλοὶ παραδαρμοὶ κι οἱ κόποι."
Αὐτὰ εἶπε, καὶ βαρὺς θυμὸς τοὺς πῆρε τότες ὅλους,
τὶ μὴν τεντώση τρόμαξαν τ' ὡριόξεστο δοξάρι.
Κι ὁ Ἀντίνος τὸν ἀντίσκοψε, καὶ φώναξέ τον κι εἶπε.
"Ὦξένε κακορίζικε, ποὺ τὰ μυαλὰ σοῦ λείπουν,

οὐκ ἀγαπᾷς ὃ ἔκηλος ὑπερφιάλοισι μεθ᾽ ἡμῖν
δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ᾽ αἴσιμα πίνῃ.
οἶνος καὶ Κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα,
ἄασ᾽ ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ᾽· ὁ δ᾽ ἐπεὶ φρένας ἄασεν οἴνῳ,
μαινόμενος κάκ᾽ ἔρεξε δόμον κάτα Πειριθόοιο·
ἥρωας δ᾽ ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ᾽ οὔατα νηλέϊ χαλκῷ
ῥῖνάς τ᾽ ἀμήσαντες· ὁ δὲ φρεσὶν ᾗσιν ἀασθεὶς
ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
οἳ δ᾽ αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
πέμψομεν· ἔνθεν δ᾽ οὔ τι σαώσεαι·

μὲ τοὺς ἀγέρωχους ἐμᾶς δὲ σώνει ποὺ καθίζεις,
καὶ τρωγοπίνεις ἥσυχα, καὶ βούκα δὲ σοῦ λείπει,
μόνε τοὺς λόγους μας ἀκοῦς κι ὅλη τὴ συντυχιά μας,
ποὺ ξένος ἄλλος καὶ φτωχὸς δὲ μᾶς ἀκούει κανένας;
Σὲ θόλωσε τὸ γλυκουλὸ κρασὶ ποὺ τοὺς ζαλίζει
τοὺς ὅσους παραπίνουνε. Αὐτό 'ναι ποὺ τὰ φρένα
τοὺ δοξαστοῦ Εὐρυτίωνα, τοῦ Κένταυρου, εἶχε σβήσει,
μέσα στοῦ μεγαλόψυχου Πειρίθοου τοὺς πύργους,
σὰν ἦρθε ἐκεῖ στὸ κάλεσμα τῶ Λαπιθῶν. Ὁ νοῦς του
μὲ τὸ πιοτὸ τυφλώθηκε, καὶ στοῦ Πειρίθοου τότες
ἔργα φριχτὰ ἡ μανία του τὸν ἔκαμε νὰ πράξη.
Κι ἔπιασ' ὀργὴ τοὺς ἥρωες, τρέξαν τὸν σῦραν ἔξω,
μύτη κι αὐτιὰ σὰν τοῦ 'κοψαν μὲ τὸ σκληρὸ μαχαίρι.
Κι αὐτός, μὲ τυφλωμένο νοῦ γυρνοῦσε φορτωμένος
πάνω στὴν ἔρμη του ψυχὴ τὴ μαύρη συμφορά του.
Κένταυροι τότες καὶ θνητοὶ τὸν πόλεμο ἀρχινῆσαν,
καὶ πρῶτος βρῆκε αὐτὸς κακὸ μὲ τὸ βαρὺ πιοτό του.
Τέτοιο προβλέπω σου κακὸ κι ἐσένα, ἂν τὸ δοξάρι
τεντώσῃς· τὶ στὸν τόπο μας δὲ θένα βρῆς προστάτη,
παρὰ μεμιὰς σὲ στέλνουμε μὲ μελανὸ καράβι
στὸ βασιλέα τὸν Ἔχετο, τοῦ κόσμου κακοπράχτη
ποὺ ἐκεῖ δὲν ἔχεις γλυτωμό· παρὰ ἥσυχα αὐτοῦ κάθου,

ἀλλὰ ἕκηλος
πῖνέ τε, μηδ᾽ ἐρίδαινε μετ᾽ ἀνδράσι κουροτέροισιν."

τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"Ἀντίνο᾽, οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ᾽ ἵκηται·
ἔλπεαι, αἴ χ᾽ ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ χερσίν τε βίηφί τε ἦφι πιθήσας,
οἴκαδέ μ᾽ ἄξεσθαι καὶ ἐὴν θήσεσθαι ἄκοιτιν;
οὐδ᾽ αὐτός που τοῦτό γ᾽ ἐνὶ στήθεσσιν ἔολπε·
μηδέ τις ὑμείων τοῦ γ᾽ εἵνεκα θυμὸν ἀχεύων
ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν."

τὴν δ᾽ αὖτ᾽ Εὐρύμαχος, Πολύβου πάϊς, ἀντίον ηὔδα·
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
οὔ τί σε τόνδ᾽ ἄξεσθαι ὀΐομεθ᾽· οὐδὲ ἔοικεν·
ἀλλ᾽ αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν
ἢ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται, οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν·
ἀλλ᾽ ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ῥηϊδίως ἐτάνυσσε βιόν, διὰ δ᾽ ἧκε σιδήρου.
ὣς ἐρέουσ᾽, ἡμῖν δ᾽ ἂν ἐλέγχεα ταῦτα γένοιτο."

τὸν δ᾽ αὖτε προσέειπε περίφρων

καὶ πίνε, καὶ μὴν πιάνεσαι μὲ τοὺς νεώτερούς σου."

Κι ἡ Πηνελόπη, ἡ γνωστικιὰ γύρισε τότες κι εἶπε·
"Ἀντίνε, μήτε φρόνιμο δὲν εἶναι, μήτε δίκιο,
οἱ ξένοι τοῦ Τηλέμαχου ποτές τους νὰ στεροῦνται,
ὅσοι τους τύχη κι ἔρχουνται μὲς στὸ παλάτι ἱκέτες.
Τάχα θαρρεῖς, ἂν τέντωνε τὸ τόξο ἐκεῖνο ὁ ξένος,
ἔχοντας θάρρος περισσὸ στὰ δυνατά του χέρια,
θὰ μ' ἔπαιρνε στὸ σπίτι του νὰ μ' ἔχη σύγκλινη του;
Μὰ τέτοια ἐλπίδα μήτ' αὐτὸς δὲ θρέφει στὴν ψυχή του,
Αὐτὸ κανένας σας ἐδῶ στὸ φαγοπότι ἀπάνω
νὰ μὴν τὸ τρέμη· ἀταίριαστο θά 'τανε τοῦτο ἀλήθεια."

Καὶ τοῦ Πολύβου ὁ Εὐρύμαχος ἀπάντησε της κι εἶπε·
"Ὦ Πηνελόπη φρόνιμη, τοῦ Ἰκάριου θυγατέρα,
δὲ λέμε πὼς θὰ πάρη σε, καὶ μήτε πὼς ταιριάζει,
τὴ γλῶσσα ὅμως φοβόμαστε κι ἀντρῶν καὶ γυναικῶνε,
μὴν κάποιος Ἀχαιὸς ποτὲς φωνάξη τιποτένιος,
"Ἀνάξιοι τὴ γυρεύουνε τοῦ ἄξιου τὴ γυναίκα
ποὺ δὲν μποροῦν τ' ὡριόξεστο δοξάρι νὰ τεντώσουν·
μὰ ἀπὸ τὴν ξενιτειὰ φτωχὸς μᾶς ἦρθε πλανεμένος,
τὸ τέντωσε, καὶ πέρασε σα.ίτα στὰ πελέκια."

Αὐτὰ θὰ ποῦν, καὶ ντρόπιασμα θένα 'ταν τέτοια λόγια."

Κι ἡ Πηνελόπη ἡ φρόνιμη γύρισε τότες κι

Πηνελόπεια·
"Εὐρύμαχ', οὔ πως ἔστιν ἐϋκλεῖας κατὰ δῆμον
ἔμμεναι οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὔτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' εὐπηγής,
πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.
ἀλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά,
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα,
πέμψω δ' ὅππη μιν κραδίη θυμός τε κελεύει."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ τις ἐμεῖο
κρείσσων, ὧ κ' ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔ τίς μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε

εἶπε·
"Εὐρύμαχε, δὲ γίνεται σὲ χώρα νά 'χουν δόξα
ὅσοι ἀτιμάζουνε καὶ τρῶν μεγάλου ἀνθρώπου σπίτι.
Λοιπὸν πῶς μοῦ μιλᾶτε ἐσεῖς γιὰ τέτοιο ντρόπιασμά σας;
Αὐτὸς ὁ ξένος, πού 'ν' τρανὸ καὶ στέριο τὸ κορμί του,
παινιέται πὼς ἀπὸ καλὸ γονιό 'ναι γεννημένος·
Ἀμέτε τώρα δῶστε του τ' ὡριόξεστο δοξάρι,
νὰ δοῦμε· κι ὅ,τι λέγω ἐγὼ θένα 'βγη τελεσμένο.
Ἂν τὸ τεντώση, καὶ σ' αὐτὸν τὴ δόξα δώση ὁ Φοῖβος,
θὰ τόνε ντύσω μὲ λαμπρὸ χιτώνα καὶ χλαμύδα,
κοντάρι θά 'χη σουβλερό, σκυλιῶν κι ἀνθρώπων διώχτη,
καὶ δίστομο σπαθί· λαμπρὰ σαντάλια θὰ τοῦ βάλω,
νὰ τόνε στείλω ὅπου ἡ καρδιὰ κι ὁ νοῦς του ἀποθυμήση."
Κι ὁ φρόνιμος Τηλέμαχος ἀπάντησέ της κι εἶπε·
"Μητέρα μου, ἄλλος Ἀχαιὸς πιὸ δυνατὸς δὲν εἶναι
ἀπὸ τὰ μένα, ν' ἀρνηθῶ ἢ νὰ δώσω ὅποιου θελήσω·
μηδ' ὅσοι στὸ πολύπετρο τὸ Θιάκι ἐδῶ ἀρχοντεύουν,
μηδ' ὅσοι στὰ νησιὰ σιμὰ στὴν ἀλογοβοσκοῦσα
τὴν Ἤλιδα, δὲν δύναται κανεὶς νὰ μὲ μποδίση
γιὰ πάντα ἂν θέλω νά 'δινα στὸν ξένο τὸ δοξάρι.
Μὰ ἔμπα, καὶ κοίτα σπίτι σου καὶ τὸ νοικοκειριό σου,
τὴν ἀληκάτη, τ' ἀργαλειό, καὶ πρόσταζε τὶς δοῦλες

ἔργον ἐποίχεσθαι· τόξον δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ οἴκῳ."
ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
μνηστῆρες δ᾽ ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
"πῆ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ᾽ αὖ σ᾽ ἐφ᾽ ὕεσσι κύνες ταχέες κατέδονται
οἶον ἀπ᾽ ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι."
ὣς φάσαν, αὐτὰρ ὁ θῆκε φέρων αὐτῇ ἐνὶ χώρῃ,
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισιν.
Τηλέμαχος δ᾽ ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·
"ἄττα, πρόσω φέρε τόξα· τάχ᾽ οὐκ εὖ πᾶσι πιθήσεις
μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι,
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἴ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ᾽ ἔασι,
μνηστήρων χερσίν τε βίηφί τε

νὰ σοῦ δουλεύουν, κι ἄφηνε στοὺς ἄντρες τὸ δοξάρι,
μάλιστα ἐμένα, πού 'μαι δὰ καὶ τοῦ σπιτιοῦ ὁ ἀφέντης."
Θάμασ' αὐτή, καὶ γύρισε στὸ σπίτι, γιατὶ μπῆκαν
ὡς τὴν καρδιά της τοῦ παιδιοῦ τὰ γνωστικὰ τὰ λόγια.
Κι ἀπάνω σὰν ἀνέβηκε στ' ἀνώγια μὲ τὶς βάγιες,
τὸν ἀκριβό της ἔκλαιγεν, ὡσότου γλυκὸν ὕπνο
στὰ βλέφαρά της στάλαξε ἡ θεὰ ἡ γαλανομάτα.
Ὡς τόσο πῆγε κι ἔφερεν ὁ Εὔμαιος τὸ δοξάρι,
κι ὅλ' οἱ μνηστῆρες σήκωσαν ἀχὸ μὲς στὰ παλάτια.
Κι ἕνας ἀπ' τοὺς περήφανους τοὺς νέους τοῦ φωνάζει·
"Ποῦ, κακορίζικε βοσκέ, μᾶς φέρνεις τὸ δοξάρι,
χαμένε; τὰ γοργὰ σκυλιὰ ποὺ θρέφεις δὲ θ' ἀργήσουν
ἐκεῖ, σιμὰ στοὺς χοίρους σου μονάχο νὰ σὲ φᾶνε,
ἂν μᾶς βοηθήση ὁ Ἀπόλλωνας κι οἱ ἄλλοι θεοὶ τοὺ Ὀλύμπου."
Εἶπαν, κι ἐκεῖνος ἔθεσε τὸ τόξο πάλε χάμου,
ἀπ' τὸν ἀχὸ ποὺ σήκωσαν στὸν πύργο τρομαγμένος.
Μὰ φώναξε ὁ Τηλέμαχος ἀντίκρυ μὲ φοβέρες·
"Κυρούλη, φέρ' τὸ τόξο ἐδῶ, πολλοὺς ν' ἀκοῦς δὲν πρέπει·
νὰ μὴ σὲ διώξω στοὺς ἀγροὺς μὲ τὰ λιθάρια ξάφνω,
τὶ ἂν καὶ νεώτερός σου ἐγὼ σὲ ξεπερνῶ στὰ χέρια.
Καὶ νά 'μουν τόσο ἀνώτερος στὴ δύναμη ἀπ' ἐτούτους,
ποὺ μὲς σ' αὐτὰ τὰ μέγαρα βρίσκουντ' ἐδῶ

φέρτερος εἴην·
τῷ κε τάχα στυγερῶς τιν᾽ ἐγὼ πέμψαιμι νέεσθαι
ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν
μνηστῆρες, καὶ δὴ μέθιεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
ἐν χείρεσσ᾽ Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
"Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ᾽ αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ."
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος,
κλήϊσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
σιγῇ δ᾽ ἐξ οἴκοιο Φιλοίτιος ἅλτο θύραζε,
κλήϊσεν δ᾽ ἄρ᾽ ἔπειτα θύρας εὐερκέος αὐλῆς.
κεῖτο δ᾽ ὑπ᾽ αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
βύβλινον, ᾧ ῥ᾽ ἐπέδησε θύρας, ἐς δ᾽ ἤϊεν αὐτός·
ἕζετ᾽ ἔπειτ᾽ ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
εἰσορόων Ὀδυσῆα. ὁ δ᾽ ἤδη τόξον ἐνώμα
πάντη ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,

μνηστῆρες,
μὲ μαῦρον τρόπο θά 'κανα τὸ σπίτι μου ν' ἀφήσουν,
αὐτοὶ ποὺ τώρα κάθουνται καὶ συφορὲς μου πλέχνουν."
Αὐτὰ εἶπε κι ὅλοι τους γλυκὰ γελάσαν οἱ μνηστῆρες,
κι ἀγνάντια τοῦ Τηλέμαχου κατάπεσε ἡ ὀργή τους.
Καὶ πέρασ' ὁ χοιροβοσκὸς κρατώντας τὸ δοξάρι,
καὶ στὸ Δυσσέα ζυγώνοντας, τοῦ τό βαλε στὸ χέρι,
καὶ τὴν Εὐρύκλεια φώναξε τὴν παραμάνα κι εἶπε·
"Προστάζει σε ὁ Τηλέμαχος ὁ φρόνιμος, Εὐρύκλεια,
τὶς στέριες νὰ σφαλήξετε τῶν παλατιῶνε θύρες,
κι ἂν κάποια ἀκούση βογγητὰ καὶ χτύπους ἀπ' τοὺς ἄντρες
ἐδῶ ποὺ θά 'μαστε κλειστοί, νὰ μὴν προβάλουν ὄξω,
παρὰ κοιτώντας καθεμιὰ τὸ ἔργο της νὰ συχάζη."
Τῆς εἶπε, κι ἔμεινε ἄφτερος στὰ χείλη της ὁ λόγος·
καὶ τὰ κανάτια σφάληξε τοῦ παλατιοῦ παντοῦθε
Καὶ πήδηξε ὁ Φιλοίτιος σιγὰ στὸ σπίτι ἀπέξω,
καὶ τῆς καλόφραχτης αὐλῆς πῆγε ἔκλεισε τὴ θύρα.

Κάτω ἀπ' τὴν αἴθουσα σκοινὶ βρισκόταν καραβῆσο
βυβλένιο, κι ἔδεσε μ' αὐτὸ τὴ θύρα, καὶ ξανάρθε,
καὶ στὸ θρονὶ καθίζοντας ποὺ ἀρχίτερα καθόταν,
τὸν Ὀδυσσέα κοίταζε ποὺ κράτανε τὸ δοξάρι,
καὶ γύριζε το ἀπὸ παντοῦ, καὶ καλοξέταζέ το,

μὴ κέρα ἶπες ἔδοιεν ἀποιχομένοιο ἄνακτος.
ὣδε τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων·
ἦ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται
ἢ ὅ γ᾽ ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσὶ
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης."
ἄλλος δ᾽ αὖ εἴπεσκε νέων ὑπερηνορεόντων·
"αἴ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι."
ὣς ἄρ᾽ ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
αὐτίκ᾽ ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντη,
ὡς ὅτ᾽ ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηϊδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδήν,
ἄψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
ὣς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς.
δεξιτερῇ ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
ἡ δ᾽ ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
μνηστῆρσιν δ᾽ ἄρ᾽ ἄχος γένετο μέγα, πᾶσι δ᾽ ἄρα χρὼς
ἐτράπετο· Ζεὺς δὲ μεγάλ᾽ ἔκτυπε σήματα φαίνων·
γήθησέν τ᾽ ἄρ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
ὅττι ῥά οἱ τέρας ἦκε Κρόνου πάϊς ἀγκυλομήτεω·
εἵλετο δ᾽ ὠκὺν ὀϊστόν, ὅ οἱ

νὰ δῆ σαράκι ἂν ἔφαγε τὰ κέρατα σὰ γύρνα
στὰ ξένα. Κι ἕνας τότε αὐτὰ τοῦ πλαγινοῦ του κρένει·
"Αὐτὸς καὶ γνώστης φαίνεται στὰ τόξα καὶ τεχνίτης·
ἢ κι ἔχει μὲς στὸ σπίτι του παρόμοια καὶ φυλάει,
ἢ καὶ νὰ φτιάξη ἔχει σκοπό· τόσο πιδέξια βλέπω
καὶ τὸ γυρνάει στὰ χέρια του ὁ πονηρὸς ζητιάνος."
Κι ἄλλος ἀπ' τοὺς περήφανους ἔλεγε πάλε νέους·,
"Μακάρι αὐτὸς τόσο καλὸ νὰ δῆ καὶ ν' ἀπολάψη,
ὅσο μπορέση ἐτοῦτο ἐδῶ τὸ τόξο νὰ τεντώση."
Αὐτὰ οἱ μνηστῆρες ἔλεγαν. Ὡς τόσο ὁ Ὀδυσσέας
τ' ὅπλο σὰν πῆρε τὸ τρανὸ κι ἀπὸ παντοῦθε τὸ εἶδε,
σὰν ἔμπειρος τραγουδιστὴς στὴ φόρμιγγα τεχνίτης,
ποὺ εὔκολα κόρδα μὲ γερὸ στριφτάρι σοῦ τεντώνει,
στὶς δυὸ ἄκρες δένοντας τοῦ ἀρνιοῦ τ' ἄντερο τὸ στριμμένο,
ἔτσι ὁ Δυσσέας εὔκολα τέντωσε τὸ δοξάρι,
καὶ μὲ τὸ χέρι τὸ δεξὶ δοκίμασε τὴν κόρδα·
κι ἐκείνη γλυκολάλησε, λὲς κι ἦταν χελιδόνι.
Τότ' οἱ μνηστῆρες τρόμαξαν, κι ὄψην ἀλλάξαν ὅλοι·
κι ὁ Δίας βρόντηξε βαριὰ γιὰ φανερὸ σημάδι·
καὶ χάρηκε ὁ πολύπαθος καὶ θεϊκὸς Δυσσέας,
ποὺ ὁ γόνος τοῦ πολύβουλου Κρόνου ἔστειλε σημάδι.
Καὶ πλάϊ ἀπ' τὸ τραπέζι ἐκεῖ πῆρε γοργὴ

παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ᾽ ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
κείατο, τῶν τάχ᾽ ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
τόν ῥ᾽ ἐπὶ πήχει ἑλὼν ἕλκεν νευρὴν γλυφίδας τε,
αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἦκε δ᾽ ὀϊστὸν
ἄντα τιτυσκόμενος, πελέκεων δ᾽ οὐκ ἤμβροτε πάντων
πρώτης στειλειῆς, διὰ δ᾽ ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προσέειπε·
"Τηλέμαχ᾽, οὔ σ᾽ ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει

ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
νῦν δ᾽ ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἐψιάασθαι

μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ᾽ ἀναθήματα δαιτός."

ἦ καὶ ἐπ᾽ ὀφρύσι νεῦσεν· ὁ δ᾽ ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ, ἄγχι δ᾽ ἄρ᾽ αὐτοῦ
πὰρ θρόνον ἑστήκει κεκορυθμένος αἴθοπι χαλκῷ.

σαγίτα,
ἕτοιμη· οἱ ἄλλες ἔμνησκαν μὲς στὴ βαθειὰ φαρέτρα,
αὐτὲς ποὺ ἔμελλαν γλήγορα οἱ μνηστῆρες νὰ τὶς νιώσουν.
Στοῦ δοξαριοῦ τὸ δέσιμο ἀκουμπώντας τὴ σαγίτα
καὶ στό θρονί του καθιστός, κόκκα τραβάει καὶ κόρδα,
κι ὀμπρός του σημαδεύοντας ρίχνει· καὶ τὰ πελέκια
τὸ βέλος τὸ χαλκόδετο περνάει μὲς ἀπ' τὶς τρύπες,
ἀράδα ἀπ' τὸ στειλιάρι τους τὸ πρῶτο, κι ὄξω βγαίνει.
Κι αὐτὸς λέει τοῦ Τηλέμαχου· "Δὲ σὲ ντροπιάζει ἀλήθεια
ὁ ξένος σου, ὦ Τηλέμαχε, σ' αὐτὰ σου τὰ παλάτια.
Μήτε σημάδι ἀστόχησα, μήτ' ἄργησα μὲ κόπο
τὸ τόξο νὰ τεντώσω ἐγώ· βαστάει ἡ δύναμή μου,
κι ἄδικα τόση μοῦ 'δειξαν τοῦτοι ὅλοι καταφρόνια.
Τώρα καιρὸς οἱ Ἀχαιοὶ τὸ δεῖπνο νὰ τοιμάσουν,
ὅσο 'ναι φῶς· ἀργότερα κι ἄλλο θένα 'χουν γλέντι
μὲ τὸ χορό, μὲ φόρμιγγα, πού 'ναι τοῦ δείπνου δῶρα."
Καὶ μὲ τὰ φρύδια του ἔγνεψε· κι ὁ ἀκριβογιὸς τοῦ θείου
Δυσσέα τότες ζώστηκε τὸ κοφτερὸ σπαθί του,
καὶ τὸ κοντάρι σφίγγοντας στὸ χέρι, στὸ πλευρό του
στάθηκε δίπλα στὸ θρονὶ, καὶ στ' ἄρματα ἄστραφτε ὅλος.

αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,
ἆλτο δ᾽ ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
"οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔ πώ τις βάλεν ἀνήρ,
εἴσομαι, αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων."
ἦ καὶ ἐπ᾽ Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
ἦ τοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε,
χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο· τίς κ᾽ οἴοιτο μετ᾽ ἀνδράσι δαιτυμόνεσσι
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν;
τὸν δ᾽ Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ,
ἀντικρὺ δ᾽ ἀπαλοῖο δι᾽ αὐχένος ἦλυθ᾽ ἀκωκή.
ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
βλημένου, αὐτίκα δ᾽ αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο· θοῶς δ᾽ ἀπὸ εἷο τράπεζαν
ὤσε ποδὶ πλήξας, ἀπὸ δ᾽ εἴδατα χεῦεν ἔραζε·
σῖτός τε κρέα τ᾽ ὀπτὰ φορύνετο. τοὶ δ᾽ ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ᾽, ὅπως ἴδον ἄνδρα πεσόντα,
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
οὐδέ πη ἀσπὶς ἔην οὐδ᾽ ἄλκιμον ἔγχος ἑλέσθαι.
νείκειον δ᾽ Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσι·
"ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ᾽ ἀέθλων
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες ὃς μέγ᾽ ἄριστος
κούρων εἰν Ἰθάκῃ· τῷ σ᾽ ἐνθάδε γῦπες ἔδονται."
ἴσκεν ἕκαστος ἀνήρ, ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπτο.
τοὺς δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ κύνες, οὔ μ᾽ ἔτ᾽ ἐφάσκεθ᾽ ὑπότροπον οἴκαδ᾽ ἱκέσθαι
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
δμῳῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν᾽ ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι·
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπται."
ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·

πάπτηνεν δὲ ἕκαστος ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Εὐρύμαχος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
"εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμα εἶπας, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
ἀλλ' ὁ μὲν ἤδη κεῖται ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισι,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
ἰανθῇ· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι."
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμμ' ἐστὶ καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
νῦν ὑμῖν παράκειται ἐναντίον ἠὲ μάχεσθαι
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον."
ὣς φάτο, τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
"ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰς ὅ κε πάντας
ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης.
φάσγανά τε σπάσσασθε καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο·
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."
ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξὺ
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτῷ
σμερδαλέα ἰάχων· ὁ δ' ἀμαρτῇ δῖος Ὀδυσσεὺς
ἰὸν ἀποπροίει, βάλε δὲ στῆθος παρὰ μαζόν,
ἐν δέ οἱ ἧπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
φάσγανον ἧκε χαμᾶζε, περιρρηδὴς δὲ τραπέζῃ
κάππεσεν ἰδνωθείς, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε

καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ
θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισι
λακτίζων ἐτίνασσε· κατ᾽ ὀφθαλμῶν δ᾽ ἔχυτ᾽ ἀχλύς.
Ἀμφίνομος δ᾽ Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
ἀντίος ἀΐξας, εἴρυτο δὲ φάσγανον ὀξύ,
εἴ πώς οἱ εἴξειε θυράων. ἀλλ᾽ ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ
ὤμων μεσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·
δούπησεν δὲ πεσών, χθόνα δ᾽ ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ᾽ ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος
αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε μή τις Ἀχαιῶν
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειε
φασγάνῳ ἀΐξας ἠὲ προπρηνέα τύψας.
βῆ δὲ θέειν, μάλα δ᾽ ὦκα φίλον πατέρ᾽ εἰσαφίκανεν,
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν
αὐτός τ᾽ ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"οἶσε θέων, ἧός μοι ἀμύνεσθαι πάρ᾽ ὀϊστοί,
μή μ᾽ ἀποκινήσωσι θυράων μοῦνον ἐόντα."
ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
βῆ δ᾽ ἴμεναι θάλαμόνδ᾽, ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο.
ἔνθεν τέσσαρα μὲν σάκε᾽ ἔξελε, δούρατα δ᾽ ὀκτὼ
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δὲ φέρων, μάλα δ᾽ ὦκα φίλον πατέρ᾽ εἰσαφίκανεν,
αὐτὸς δὲ πρώτιστα περὶ χροΐ δύσετο χαλκόν·
ὣς δ᾽ αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλά,
ἔσταν δ᾽ ἀμφ᾽ Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
αὐτὰρ ὅ γ᾽, ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοί.
τόφρα μνηστήρων ἕνα γ᾽ αἰεὶ ᾧ ἐνὶ οἴκῳ
βάλλε τιτυσκόμενος· τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον.
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
ἔκλιν᾽ ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα,
αὐτὸς δ᾽ ἀμφ᾽ ὤμοισι σάκος θέτο τετραθέλυμνον,
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ᾽ ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.
ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ,
ἀκρότατον δὲ παρ᾽ οὐδὸν ἐϋσταθέος μεγάροιο
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ᾽ ἔχον εὖ ἀραρυῖαι.

τὴν δ᾽ Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
ἑσταότ᾽ ἄγχ᾽ αὐτῆς· μία δ᾽ οἴη γίγνετ᾽ ἐφορμή.
τοῖς δ᾽ Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
"ὦ φίλοι, οὐκ ἂν δή τις ἀν᾽ ὁρσοθύρην ἀναβαίη
καὶ εἴποι λαοῖσι, βοὴ δ᾽ ὤκιστα γένοιτο;
τῷ κε τάχ᾽ οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."
τὸν δ᾽ αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
"οὔ πως ἔστ᾽, Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
καί χ᾽ εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ᾽ ἄλκιμος εἴη.
ἀλλ᾽ ἄγεθ᾽, ὑμῖν τεύχε᾽ ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πη ἄλλῃ
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός."
ὣς εἰπὼν ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
εἰς θαλάμους Ὀδυσῆος ἀνὰ ῥῶγας μεγάροιο.
ἔνθεν δώδεκα μὲν σάκε᾽ ἔξελε, τόσσα δὲ δοῦρα
καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δ᾽ ἴμεναι, μάλα δ᾽ ὦκα φέρων μνηστῆρσιν ἔδωκεν.
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὡς περιβαλλομένους ἴδε τεύχεα χερσί τε δοῦρα
μακρὰ τινάσσοντας· μέγα δ᾽ αὐτῷ φαίνετο ἔργον.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
"Τηλέμαχ᾽, ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶϊν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ᾽ ἤμβροτον--οὐδέ τις ἄλλος
αἴτιος--ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ᾽ ἴθι, δῖ᾽ Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
καὶ φράσαι ἤ τις ἄρ᾽ ἐστὶ γυναικῶν ἢ τάδε ῥέζει,
ἢ υἱὸς Δολίοιο, Μελανθεύς, τόν περ ὀΐω."
ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
βῆ δ᾽ αὖτις θάλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
οἴσων τεύχεα καλά. νόησε δὲ δῖος ὑφορβός,
αἶψα δ᾽ Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
κεῖνος δ᾽ αὖτ᾽ ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ᾽ αὐτοί,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
ἦ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἦε σοὶ ἐνθάδ᾽ ἄγω, ἵν᾽ ὑπερβασίας ἀποτίσῃ
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ἦ τοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς

σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας.
σφῶϊ δ᾽ ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν
ἐς θάλαμον βαλέειν, σανίδας δ᾽ ἐκδῆσαι ὄπισθε,
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
κίον᾽ ἀν᾽ ὑψηλὴν ἐρύσαι πελάσαι τε δοκοῖσιν,
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ᾽ ἄλγεα πάσχῃ."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο,
βὰν δ᾽ ἴμεν ἐς θάλαμον, λαθέτην δέ μιν ἔνδον ἐόντα.
ἦ τοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε᾽ ἐρεύνα,
τὼ δ᾽ ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
εὖθ᾽ ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ᾽ ἑτέρῃ σάκος εὐρὺ γέρον, πεπαλαγμένον ἄζῃ,
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε·
δὴ τότε γ᾽ ἤδη κεῖτο, ῥαφαὶ δὲ λέλυντο ἱμάντων·
τὼ δ᾽ ἄρ᾽ ἐπαΐξανθ᾽ ἑλέτην ἔρυσάν τέ μιν εἴσω
κουρίξ, ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ,
σὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέϊ δεσμῷ
εὖ μάλ᾽ ἀποστρέψαντε διαμπερές, ὡς ἐκέλευσεν
υἱὸς Λαέρταο, πολύτλας δῖος Ὀδυσσεύς·
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
κίον᾽ ἀν᾽ ὑψηλὴν ἔρυσαν πέλασάν τε δοκοῖσι.
τὸν δ᾽ ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
"νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὡς σε ἔοικεν·
οὐδέ σέ γ᾽ ἠριγένεια παρ᾽ Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἠνίκ᾽ ἀγινεῖς
αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι."
ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ·
τὼ δ᾽ ἐς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινήν,
βήτην εἰς Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.
ἔνθα μένος πνείοντες ἐφέστασαν, οἱ μὲν ἐπ᾽ οὐδοῦ
τέσσαρες, οἱ δ᾽ ἔντοσθε δόμων πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ᾽ ἐπ᾽ ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν δ᾽ Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ μῦθον ἔειπε·
"Μέντορ, ἄμυνον ἀρήν, μνῆσαι δ᾽ ἑτάροιο φίλοιο,
ὅς σ᾽ ἀγαθὰ ῥέζεσκον· ὁμηλικίην δέ μοί ἐσσι."
ὣς φάτ᾽, ὀϊόμενος λαοσσόον ἔμμεν Ἀθήνην.
μνηστῆρες δ᾽ ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι·
πρῶτος τήν γ᾽ ἐνένιπε Δαμαστορίδης Ἀγέλαος·
"Μέντορ, μή σ᾽ ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεὺς
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ.

ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
ὁππότε κεν τούτους κτέωμεν, πατέρ᾽ ἠδὲ καὶ υἱόν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
ἔρδειν ἐν μεγάροις· σῷ δ᾽ αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
κτήμαθ᾽ ὁπόσσα τοί ἐστι, τά τ᾽ ἔνδοθι καὶ τὰ θύρηφι,
τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδέ θύγατρας
οὐδ᾽ ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν."
ὣς φάτ᾽, Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον,
νείκεσσεν δ᾽ Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
"οὐκέτι σοί γ᾽, Ὀδυσεῦ, μένος ἔμπεδον οὐδέ τις ἀλκή
οἵη ὅτ᾽ ἀμφ᾽ Ἑλένῃ λευκωλένῳ εὐπατερείῃ,
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί,
πολλοὺς δ᾽ ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι,
σῇ δ᾽ ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σόν τε δόμον καὶ κτήμαθ᾽ ἱκάνεις,
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ᾽ ἄγε δεῦρο, πέπον, παρ᾽ ἔμ᾽ ἵστασο καὶ ἴδε ἔργον,
ὄφρ᾽ εἰδῇς οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσιν
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν."
ἦ ῥα, καὶ οὔ πω πάγχυ δίδου ἑτεραλκέα νίκην,
ἀλλ᾽ ἔτ᾽ ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν
ἠμὲν Ὀδυσσῆος ἠδ᾽ υἱοῦ κυδαλίμοιο.
αὐτὴ δ᾽ αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
ἕζετ᾽ ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
μνηστῆρας δ᾽ ὤτρυνε Δαμαστορίδης Ἀγέλαος,
Εὐρύνομός τε καὶ Ἀμφιμέδων Δημοπτόλεμός τε,
Πείσανδρός τε Πολυκτορίδης Πόλυβός τε δαΐφρων·
οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ᾽ ἄριστοι,
ὅσσοι ἔτ᾽ ἔζωον περί τε ψυχέων ἐμάχοντο·
τοὺς δ᾽ ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
τοῖς δ᾽ Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
"ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών,
οἱ δ᾽ οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
τῷ νῦν μὴ ἅμα πάντες ἐφίετε δούρατα μακρά,
ἀλλ᾽ ἄγεθ᾽ οἱ ἓξ πρῶτον ἀκοντίσατ᾽, αἴ κέ ποθι Ζεὺς
δώῃ Ὀδυσσῆα βλῆσθαι καὶ κῦδος ἀρέσθαι.
τῶν δ᾽ ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκόντισαν ὡς ἐκέλευεν,
ἱέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη,
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο

βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ᾽ ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
αὐτὰρ ἐπεὶ δὴ δούρατ᾽ ἀλεύαντο μνηστήρων,
τοῖς δ᾽ ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
"ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμι
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεύς,
Εὐρυάδην δ᾽ ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ᾽ ἄρ᾽ ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
οἱ μὲν ἔπειθ᾽ ἅμα πάντες ὀδὰξ ἔλον ἄσπετον οὖδας,
μνηστῆρες δ᾽ ἀνεχώρησαν μεγάροιο μυχόνδε·
τοὶ δ᾽ ἄρ᾽ ἐπήϊξαν, νεκύων δ᾽ ἐξ ἔγχε᾽ ἕλοντο.
αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ᾽ ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ᾽ ἄρα Τηλέμαχον βάλε χεῖρ᾽ ἐπὶ καρπῷ
λίγδην, ἄκρον δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ᾽ Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
ὦμον ἐπέγραψεν· τὸ δ᾽ ὑπέρπτατο, πῖπτε δ᾽ ἔραζε.
τοὶ δ᾽ αὖτ᾽ ἀμφ᾽ Ὀδυσῆα δαΐφρονα ποικιλομήτην,
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἔνθ᾽ αὖτ᾽ Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Κτήσιππον δ᾽ ἄρ᾽ ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα·
"ὦ Πολυθερσείδη φιλοκέρτομε, μή ποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ᾽ ἔδωκας
ἀντιθέῳ Ὀδυσῆϊ δόμον κάτ᾽ ἀλητεύοντι."
ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεὺς
οὗτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ.
Τηλέμαχος δ᾽ Εὐηνορίδην Λειώκριτον οὗτα
δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
ἤριπε δὲ πρηνής, χθόνα δ᾽ ἤλασε παντὶ μετώπῳ.
δὴ τότ᾽ Ἀθηναίη φθισίμβροτον αἰγίδ᾽ ἀνέσχεν
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.
οἱ δ᾽ ἐφέβοντο κατὰ μέγαρον βόες ὣς ἀγελαῖαι·
τὰς μέν τ᾽ αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν

ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ᾽ ἤματα μακρὰ πέλονται.
οἱ δ᾽ ὥς τ᾽ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι,
ἐξ ὀρέων ἐλθόντες ἐπ᾽ ὀρνίθεσσι θόρωσι·
ταὶ μέν τ᾽ ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
γίγνεται οὐδὲ φυγή· χαίρουσι δέ τ᾽ ἀνέρες ἄγρῃ·
ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὦρνυτ᾽ ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦε.
λειώδης δ᾽ Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
"γουνοῦμαί σ᾽, Ὀδυσεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν οὐδέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς
κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ᾽ εὐεργέων·"
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι
τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ᾽ ἄλοχόν τε φίλην σπέσθαι καὶ τέκνα τεκέσθαι·
τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα."
ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ
κείμενον, ὅ ῥ᾽ Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόν γε κατ᾽ αὐχένα μέσσον ἔλασσε.
φθεγγομένου δ᾽ ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δ᾽ ἔτ᾽ ἀοιδὸς ἀλύσκανε κῆρα μέλαιναν,
Φήμιος, ὅς ῥ᾽ ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ.
ἔστη δ᾽ ἐν χείρεσσίν ἔχων φόρμιγγα λίγειαν
ἄγχι παρ᾽ ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ᾽ ἄρα πολλὰ
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί᾽ ἔκηαν,
ἦ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
ἦ τοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου,
αὐτὸς δ᾽ αὖτ᾽ Ὀδυσῆα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·

"γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον·
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
πέφνῃς, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμί, θεὸς δέ μοι ἐν φρεσὶν οἵμας
παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν
ὡς τε θεῷ· τῷ με λιλαίεο δειροτομῆσαι.
καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
ὡς ἐγὼ οὔ τι ἑκὼν ἐς σὸν δόμον οὐδὲ χατίζων
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ."
ὣς φάτο, τοῦ δ' ἤκουσ' ἱερὴ ἴς Τηλεμάχοιο,
αἶψα δ' ἐὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα·
"ἴσχεο μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ·
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τέ μευ αἰεὶ
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντος,
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης,
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα."
ὣς φάτο, τοῦ δ' ἤκουσε Μέδων πεπνυμένα εἰδώς·
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
ἔστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
αἶψα δ' ἀπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
"ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί, σὺ δ' ἴσχεο εἰπὲ δὲ πατρὶ
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον."
τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
"θάρσει, ἐπεὶ δή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
ἐκ φόνου εἰς αὐλήν, σύ τε καὶ πολύφημος ἀοιδός,
ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι ὅττεό με χρή."
ὣς φάτο, τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε,
ἑζέσθην δ' ἄρα τώ γε Διὸς μεγάλου ποτὶ βωμόν,
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί.
πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
πεπτεῶτας πολλούς, ὥστ' ἰχθύας, οὕς θ' ἁλιῆες
κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες

κύμαθ᾽ ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται·
τῶν μέν τ᾽ Ἠέλιος φαέθων ἐξείλετο θυμόν·
ὣς τότ᾽ ἄρα μνηστῆρες ἐπ᾽ ἀλλήλοισι κέχυντο.
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
"Τηλέμαχ᾽, εἰ δ᾽ ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
ὄφρα ἔπος εἴπωμι τό μοι καταθύμιόν ἐστιν."
ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν·
"δεῦρο δὴ ὄρσο, γρηὺ παλαιγενές, ἥ τε γυναικῶν
δμῳάων σκοπός ἐσσι κατὰ μέγαρ᾽ ἡμετεράων·
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ."
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος,
ὤϊξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων,
βῆ δ᾽ ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευεν.
εὗρεν ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν,
αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥστε λέοντα,
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
πᾶν δ᾽ ἄρα οἱ στῆθός τε παρήϊά τ᾽ ἀμφοτέρωθεν
αἱματόεντα πέλει, δεινὸς δ᾽ εἰς ὦπα ἰδέσθαι·
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
ἦ δ᾽ ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
ἴθυσέν ῥ᾽ ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ᾽ ὀλόλυζε·
οὐχ ὁσίη κταμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι.
τούσδε δὲ μοῖρ᾽ ἐδάμασσε θεῶν καὶ σχέτλια ἔργα·
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
ἀλλ᾽ ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
αἵ τέ μ᾽ ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσιν."
τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμῳαί, τὰς μέν τ᾽ ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἰριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι·
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
οὔτ᾽ ἐμὲ τίουσαι οὔτ᾽ αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμῳῇσι γυναιξίν.
ἀλλ᾽ ἄγ᾽ ἐγὼν ἀναβᾶσ᾽ ὑπερῴϊα σιγαλόεντα
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε."

τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"μή πω τήνδ᾽ ἐπέγειρε· σὺ δ᾽ ἐνθάδε εἰπὲ γυναιξὶν
ἐλθέμεν, αἵ περ πρόσθεν ἀεικέα μηχανόωντο."
"ὣς ἄρ᾽ ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
εἰς ἓ καλεσσάμενος ἔπεα πτερόεντα προσηύδα·
"ἄρχετε νῦν νέκυας φορέειν καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
δμῳὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰς ὅ κε πασέων
ψυχὰς ἐξαφέλησθε καὶ ἐκλελάθωντ᾽ Ἀφροδίτης,
τὴν ἄρ᾽ ὑπὸ μνηστῆρσιν ἔχον μίσγοντό τε λάθρη."
"ὣς ἔφαθ᾽, αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
αἴν᾽ ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνηῶτας,
κὰδ δ᾽ ἄρ᾽ ὑπ᾽ αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
ἀλλήλοισιν ἐρείδουσαι· σήμαινε δ᾽ Ὀδυσσεὺς
αὐτὸς ἐπισπέρχων· ταὶ δ᾽ ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
ξῦον· ταὶ δ᾽ ἐφόρεον δμῳαί, τίθεσαν δὲ θύραζε.
αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
δμῳὰς δ᾽ ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
εἴλεον ἐν στείνει, ὅθεν οὔ πως ἦεν ἀλύξαι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ᾽ ἀγορεύειν·
"μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ᾽ ὀνείδεα χεῦαν
μητέρι θ᾽ ἡμετέρῃ παρά τε μνηστῆρσιν ἴαυον."
ὣς ἄρ᾽ ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρῴροιο
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
ὑψόσ᾽ ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκοιτο.
ὡς δ᾽ ὅτ᾽ ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
ἕρκει ἐνιπλήξωσι, τό θ᾽ ἑστήκῃ ἐνὶ θάμνῳ,
αὖλιν ἐσιέμεναι, στυγερὸς δ᾽ ὑπεδέξατο κοῖτος,
ὣς αἵ γ᾽ ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
δειρῇσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.

ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ οὔ τι μάλα δήν.
ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
τοῦ δ᾽ ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέϊ χαλκῷ
τάμνον, μήδεά τ᾽ ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι,
χεῖράς τ᾽ ἠδὲ πόδας κόπτον κεκοτηότι θυμῷ.
οἱ μὲν ἔπειτ᾽ ἀπονιψάμενοι χεῖράς τε πόδας τε
εἰς Ὀδυσῆα δόμονδε κίον, τετέλεστο δὲ ἔργον·
αὐτὰρ ὅ γε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·
"οἶσε θέειον, γρηΰ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
ἐλθεῖν ἐνθάδ᾽ ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
πάσας δ᾽ ὄτρυνον δμῳὰς κατὰ δῶμα νέεσθαι."
τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες.
ἀλλ᾽ ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ᾽ ἐνείκω,
μηδ᾽ οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἔσταθ᾽ ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω."
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
ἤνεικεν δ᾽ ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
γρηὺς δ᾽ αὖτ᾽ ἀπέβη διὰ δώματα κάλ᾽ Ὀδυσῆος
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι·
αἱ δ᾽ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι.
αἱ μὲν ἄρ᾽ ἀμφεχέοντο καὶ ἡσπάζοντ᾽ Ὀδυσῆα,
καὶ κύνεον ἀγαπαξόμεναι κεφαλήν τε καὶ ὤμους
χεῖράς τ᾽ αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾕρει
κλαυθμοῦ καὶ στοναχῆς, γίγνωσκε δ᾽ ἄρα φρεσὶ πάσας.

Ὁμήρου Ὀδύσσεια κγ' ή ψ

γρηὺς δ᾽ εἰς ὑπερῷ᾽ ἀνεβήσετο καγχαλόωσα,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
γούνατα δ᾽ ἐρρώσαντο, πόδες δ᾽ ὑπερικταίνοντο.
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
"ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
ὀφθαλμοῖσι τεοῖσι τά τ᾽ ἔλδεαι ἤματα πάντα.
ἦλθ᾽ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών.
μνηστῆρας δ᾽ ἔκτεινεν ἀγήνορας, οἵ θ᾽ ἑὸν οἶκον
κήδεσκον καὶ κτήματ᾽ ἔδον βιόωντό τε παῖδα."
τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε δύνανται

ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ᾽ ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν
ταῦτα παρὲξ ἐρέουσα καὶ ἐξ ὕπνου μ᾽ ἀνεγείρεις
ἠδέος, ὅς μ᾽ ἐπέδησε φίλα βλέφαρ᾽ ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ᾽ ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε.
εἰ γάρ τίς μ᾽ ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
ταῦτ᾽ ἐλθοῦσ᾽ ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρεν,
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει."
τὴν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ᾽ ἔτυμόν τοι
ἦλθ᾽ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισι.
Τηλέμαχος δ᾽ ἄρα μιν πάλαι ἤδεεν ἔνδον ἐόντα,
ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
ὄφρ᾽ ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων."
ὣς ἔφαθ᾽, ἡ δ᾽ ἐχάρη καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη, βλεφάρων δ᾽ ἀπὸ δάκρυον ἦκεν·
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
"εἰ δ᾽ ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπες,
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε
μοῦνος ἐών, οἱ δ᾽ αἰὲν ἀολλέες ἔνδον ἔμιμνον."
τὴν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
"οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἷον ἄκουσα
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ᾽ ἀτυζόμεναι, σανίδες δ᾽ ἔχον εὖ ἀραρυῖαι,
πρίν γ᾽ ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσε
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
εὗρον ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταότ᾽· οἱ δέ μιν ἀμφί, κραταίπεδον οὖδας ἔχοντες,
κεῖατ᾽ ἐπ᾽ ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης.
νῦν δ᾽ οἱ μὲν δὴ πάντες ἐπ᾽ αὐλείῃσι θύρῃσιν
ἀθρόοι, αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές,
πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ᾽ ἔπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέποσθε.
νῦν δ᾽ ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σὲ

καὶ παῖδ᾽ ἐν μεγάροισι· κακῶς δ᾽ οἵ πέρ μιν ἔρεζον
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ."
τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"μαῖα φίλη, μή πω μέγ᾽ ἐπεύχεο καγχαλόωσα.
οἶσθα γὰρ ὡς κ᾽ ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ᾽ ἐμοί τε καὶ υἱέϊ, τὸν τεκόμεσθα·
ἀλλ᾽ οὐκ ἔσθ᾽ ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ δι᾽ ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ᾽ αὐτός."
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
"τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
ἢ πόσιν ἔνδον ἐόντα παρ᾽ ἐσχάρῃ οὔ ποτ᾽ ἔφησθα
οἴκαδ᾽ ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος.
ἀλλ᾽ ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.
τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπέμεναι πολυϊδρείῃσι νόοιο.
ἀλλ᾽ ἔπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ᾽ ἐξαπάφω, κτεῖναί μ᾽ οἰκτίστῳ ὀλέθρῳ."
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια·
"μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν.
ἀλλ᾽ ἔμπης ἴομεν μετὰ παῖδ᾽ ἐμόν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ᾽ ὃς ἔπεφνεν."
ὣς φαμένη κατέβαιν᾽ ὑπερῴϊα· πολλὰ δέ οἱ κῆρ
ὥρμαιν᾽, ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
ἡ δ᾽ ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάϊνον οὐδόν,
ἕζετ᾽ ἔπειτ᾽ Ὀδυσῆος ἐναντίη, ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ᾽ ἄρα πρὸς κίονα μακρὴν
ἧστο κάτω ὁρόων, ποτιδέγμενος εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
ἡ δ᾽ ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ᾽ ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν,
ἄλλοτε δ᾽ ἀγνώσασκε κακὰ χροὶ εἵματ᾽ ἔχοντα.
Τηλέμαχος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαξε·
"μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
τίφθ᾽ οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ᾽ αὐτὸν

ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;
οὐ μέν κ᾽ ἄλλη γ᾽ ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
σοὶ δ᾽ αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"τέκνον ἐμόν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν,
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ᾽ ἐρέεσθαι
οὐδ᾽ εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ᾽ ἐτεὸν δὴ
ἔστ᾽ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
γνωσόμεθ᾽ ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν
σήμαθ᾽, ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ᾽ ἄλλων."
ὣς φάτο, μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
"Τηλέμαχ᾽, ἦ τοι μητέρ᾽ ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ᾽ ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
τοὔνεκ᾽ ἀτιμάζει με καὶ οὔ πω φησὶ τὸν εἶναι.
ἡμεῖς δὲ φραζώμεθ᾽ ὅπως ὄχ᾽ ἄριστα γένηται.
καὶ γάρ τίς θ᾽ ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἡμεῖς δ᾽ ἔρμα πόληος ἀπέκταμεν, οἳ μέγ᾽ ἄριστοι
κούρων εἰν᾽ Ἰθάκῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ᾽ ἀνθρώπους φάσ᾽ ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
ἡμεῖς δ᾽ ἐμμεμαῶτες ἅμ᾽ ἑψόμεθ᾽, οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"τοιγὰρ ἐγὼν ἐρέω ὡς μοι δοκεῖ εἶναι ἄριστα.
πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιέσασθε χιτῶνας,
δμῳὰς δ᾽ ἐν μεγάροισιν ἀνώγετε εἵμαθ᾽ ἑλέσθαι·
αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
ὡς κέν τις φαίη γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
ἢ ἀν᾽ ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσι·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
ἀνδρῶν μνηστήρων, πρίν γ᾽ ἡμέας ἐλθέμεν ἔξω
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ᾽ ἔπειτα
φρασσόμεθ᾽ ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο

πρῶτα μὲν οὖν λούσαντο καὶ ἀμφιέσαντο χιτῶνας,
ὅπλισθεν δὲ γυναῖκες· ὁ δ᾽ εἵλετο θεῖος ἀοιδὸς
φόρμιγγα γλαφυρήν, ἐν δέ σφισιν ἵμερον ὦρσε
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.
τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶν
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν.
ὣδε δέ τις εἴπεσκε δόμων ἔκτοσθεν ἀκούων·
"ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
σχετλίη, οὐδ᾽ ἔτλη πόσιος οὗ κουριδίοιο
εἴρυσθαι μέγα δῶμα διαμπερές, ἦος ἵκοιτο."
ὣς ἄρα τις εἴπεσκε, τὰ δ᾽ οὐκ ἴσαν ὡς ἐτέτυκτο.
αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Εὐρυνόμη ταμίη λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα·
αὐτὰρ κὰκ κεφαλῆς κάλλος πολὺ χεῦεν Ἀθήνη
μείζονά τ᾽ εἰσιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ᾽ ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει·
ὡς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
ἐκ δ᾽ ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος·
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη,
ἀντίον ἧς ἀλόχου, καί μιν πρὸς μῦθον ἔειπε·
"δαιμονίη, περί σοί γε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ᾽ ἔχοντες·
οὐ μέν κ᾽ ἄλλη γ᾽ ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
λέξομαι· ἦ γὰρ τῇ γε σιδήρεον ἐν φρεσὶ ἦτορ."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"δαιμόνι᾽, οὔτ᾽ ἄρ τι μεγαλίζομαι οὔτ᾽ ἀθερίζω
οὔτε λίην ἄγαμαι, μάλα δ᾽ εὖ οἶδ᾽ οἷος ἔησθα
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
ἀλλ᾽ ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ᾽ αὐτὸς ἐποίει·
ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ᾽ εὐνήν,
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα."
ὣς ἄρ᾽ ἔφη πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
ὀχθήσας ἄλοχον προσεφώνεε κεδνὰ ἰδυῖαν·
"ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη

καὶ μάλ᾽ ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ.
ἀνδρῶν δ᾽ οὔ κέν τις ζωὸς βροτός, οὐδὲ μάλ᾽ ἡβῶν,
ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῷ· τὸ δ᾽ ἐγὼ κάμον οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἔρκεος ἐντός,
ἀκμηνὸς θαλέθων· πάχετος δ᾽ ἦν ἠΰτε κίων.
τῷ δ᾽ ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ᾽ ἐτέλεσσα,
πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,
κολλητὰς δ᾽ ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ᾽ ἔπειτ᾽ ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
κορμὸν δ᾽ ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ
εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν᾽ ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρῳ.
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ᾽ ἐτέλεσσα,
δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ᾽ ἐλέφαντι·
ἐκ δ᾽ ἐτάνυσσα ἱμάντα βοὸς φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
ἤ μοι ἔτ᾽ ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν᾽ ἐλαίης."
ὣς φάτο, τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
σήματ᾽ ἀναγνούσῃ τά οἱ ἔμπεδα πέφραδ᾽ Ὀδυσσεύς·
δακρύσασα δ᾽ ἔπειτ᾽ ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
δειρῇ βάλλ᾽ Ὀδυσῆϊ, κάρη δ᾽ ἔκυσ᾽ ἠδὲ προσηύδα·
"μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα
ἀνθρώπων πέπνυσο· θεοὶ δ᾽ ὤπαζον ὀϊζύν,
οἳ νῶϊν ἀγάσαντο παρ᾽ ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
οὕνεκά σ᾽ οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὣδ᾽ ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτο ἔπεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ παρ᾽ ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ ἦδη ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ᾽ ἔμελλον.
τὴν δ᾽ ἦ τοι ῥέξαι θεὸς ὦρορεν ἔργον ἀεικές·
τὴν δ᾽ ἄτην οὐ πρόσθεν ἐῷ ἐγκάτθετο θυμῷ
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ᾽, ἐπεὶ ἤδη σήματ᾽ ἀριφραδέα κατέλεξας
εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ᾽ οἶοι σύ τ᾽ ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,

Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
ἢ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ᾽ ἐόντα."
ὣς φάτο, τῷ δ᾽ ἔτι μᾶλλον ὑφ᾽ ἵμερον ὦρσε γόοιο·
κλαῖε δ᾽ ἔχων ἄλοχον θυμαρέα, κεδνὰ ἰδυῖαν.
ὡς δ᾽ ὅτ᾽ ἂν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ,
ὧν τε Ποσειδάων εὐεργέα νῆ᾽ ἐνὶ πόντῳ
ῥαίσῃ, ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
παῦροι δ᾽ ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
νηχόμενοι, πολλὴ δὲ περὶ χροΐ τέτροφεν ἅλμη,
ἀσπάσιοι δ᾽ ἐπέβαν γαίης, κακότητα φυγόντες·
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ,
δειρῆς δ᾽ οὔ πω πάμπαν ἀφίετο πήχεε λευκώ.
καί νύ κ᾽ ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος Ἠώς,
εἰ μὴ ἄρ᾽ ἄλλ᾽ ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη.
νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠῶ δ᾽ αὖτε
ῥύσατ᾽ ἐπ᾽ Ὠκεανῷ χρυσόθρονον, οὐδ᾽ ἔα ἵππους
ζεύγνυσθ᾽ ὠκύποδας, φάος ἀνθρώποισι φέροντας,
Λάμπον καὶ Φαέθονθ᾽, οἵ τ᾽ Ἠῶ πῶλοι ἄγουσι.
καὶ τότ᾽ ἄρ᾽ ἦν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς
"ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ᾽ ἀέθλων
ἤλθομεν, ἀλλ᾽ ἔτ᾽ ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
ἤματι τῷ ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
νόστον ἑταίροισιν διζήμενος ἠδ᾽ ἐμοὶ αὐτῷ.
ἀλλ᾽ ἔρχευ, λέκτρονδ᾽ ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"εὐνὴ μὲν δή σοί γε τότ᾽ ἔσσεται ὁππότε θυμῷ
σῷ ἐθέλῃς, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
ἀλλ᾽ ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
εἶπ᾽ ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
πεύσομαι, αὐτίκα δ᾽ ἐστὶ δαήμεναι οὔ τι χέρειον."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"δαιμονίη, τί τ᾽ ἄρ᾽ αὖ με μάλ᾽ ὀτρύνουσα κελεύεις
εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ᾽ ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε᾽ ἄνωγεν
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ᾽ εὐῆρες ἐρετμόν,
εἰς ὅ κε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·

οὐδ᾽ ἄρα τοί γ᾽ ἴσασι νέας φοινικοπαρήους,
οὐδ᾽ εὐήρε᾽ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ᾽ ἔειπεν ἀριφραδές, οὐδέ σε κεύσω·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
καὶ τότε μ᾽ ἐν γαίῃ πήξαντ᾽ ἐκέλευεν ἐρετμόν,
ἔρξανθ᾽ ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ᾽ ἐπιβήτορα κάπρον,
οἴκαδ᾽ ἀποστείχειν, ἔρδειν θ᾽ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ᾽ ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
γήρας ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται· τὰ δέ μοι φάτο πάντα τελεῖσθαι."
τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τόφρα δ᾽ ἄρ᾽ Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
ἐσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων.
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
γρηὺς μὲν κείουσα πάλιν οἰκόνδε βεβήκει,
τοῖσιν δ᾽ Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα·
ἐς θάλαμον δ᾽ ἀγαγοῦσα πάλιν κίεν. οἱ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο·
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
παῦσαν ἄρ᾽ ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας,
αὐτοὶ δ᾽ εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
τὼ δ᾽ ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντε,
ἡ μὲν ὅσ᾽ ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν,
ἀνδρῶν μνηστήρων ἐσορῶσ᾽ ἀΐδηλον ὅμιλον,
οἳ ἕθεν εἵνεκα πολλά, βόας καὶ ἴφια μῆλα,
ἔσφαζον, πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος·
αὐτὰρ ὁ διογενὴς Ὀδυσεὺς ὅσα κήδε᾽ ἔθηκεν
ἀνθρώποις ὅσα τ᾽ αὐτὸς ὀϊζύσας ἐμόγησε,
πάντ᾽ ἔλεγ᾽· ἡ δ᾽ ἄρ᾽ ἐτέρπετ᾽ ἀκούουσ᾽, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα.
ἤρξατο δ᾽ ὡς πρῶτον Κίκονας δάμασ᾽, αὐτὰρ ἔπειτα
ἦλθ᾽ ἐς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
ἠδ᾽ ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν οὐδ᾽ ἐλέαιρεν·

ἠδ᾽ ὡς Αἴολον ἵκεθ᾽, ὅ μιν πρόφρων ὑπέδεκτο
καὶ πέμπ᾽, οὐδέ πω αἶσα φίλην ἐς πατρίδ᾽ ἱκέσθαι
ἦην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
πόντον ἐπ᾽ ἰχθυόεντα φέρεν βαρέα στενάχοντα·
ἠδ᾽ ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν,
οἳ νῆάς τ᾽ ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους
πάντας· Ὀδυσσεὺς δ᾽ οἶος ὑπέκφυγε νηὶ μελαίνῃ·
καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε,
ἠδ᾽ ὡς εἰς Ἀΐδεω δόμον ἦλυθεν εὐρώεντα,
ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο,
νηὶ πολυκλήϊδι, καὶ εἴσιδε πάντας ἑταίρους
μητέρα θ᾽, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα·
ἠδ᾽ ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν,
ὥς θ᾽ ἵκετο Πλαγκτὰς πέτρας δεινήν τε Χάρυβδιν
Σκύλλην θ᾽, ἣν οὔ πώ ποτ᾽ ἀκήριοι ἄνδρες ἄλυξαν·
ἠδ᾽ ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι·
ἠδ᾽ ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Ζεὺς ὑψιβρεμέτης, ἀπὸ δ᾽ ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ κῆρας ἄλυξεν·
ὥς θ᾽ ἵκετ᾽ Ὠγυγίην νῆσον νύμφην τε Καλυψώ,
ἣ δή μιν κατέρυκε, λιλαιομένη πόσιν εἶναι,
ἐν σπέσσι γλαφυροῖσι, καὶ ἔτρεφεν ἠδὲ ἔφασκε
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
ἀλλὰ τοῦ οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·
ἠδ᾽ ὡς ἐς Φαίηκας ἀφίκετο πολλὰ μογήσας,
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο
καὶ πέμψαν σὺν νηὶ φίλην ἐς πατρίδα γαῖαν,
χαλκόν τε χρυσόν τε ἄλις ἐσθῆτά τε δόντες.
τοῦτ᾽ ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος
λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ.
ἡ δ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
ὁππότε δή ῥ᾽ Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θυμὸν
εὐνῆς ἧς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου,
αὐτίκ᾽ ἀπ᾽ Ὠκεανοῦ χρυσόθρονον ἠριγένειαν
ὦρσεν, ἵν᾽ ἀνθρώποισι φόως φέροι· ὦρτο δ᾽ Ὀδυσσεὺς
εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ᾽ ἐπὶ μῦθον ἔτελλεν·
"ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ᾽ ἀέθλων
ἀμφοτέρω, σὺ μὲν ἐνθάδ᾽ ἐμὸν πολυκηδέα νόστον
κλαίουσ᾽. αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·
νῦν δ᾽ ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ᾽ εὐνήν,
κτήματα μὲν τά μοι ἔστι, κομιζέμεν ἐν μεγάροισι,
μῆλα δ᾽ ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,

πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ᾽ Ἀχαιοὶ
δώσουσ᾽, εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ᾽ ἦ τοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι,
ὀψόμενος πατέρ᾽ ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δέ, γύναι, τάδ᾽ ἐπιτέλλω, πινυτῇ περ ἐούσῃ·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ᾽ ἠελίῳ ἀνιόντι
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
εἰς ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ᾽ ἐρέεινε."
ἦ ῥα καὶ ἀμφ᾽ ὤμοισιν ἐδύσετο τεύχεα καλά,
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
πάντας δ᾽ ἔντε᾽ ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι.
οἱ δέ οἱ οὐκ ἀπίθησαν, ἐθωρήσσοντο δὲ χαλκῷ,
ὤϊξαν δὲ θύρας, ἐκ δ᾽ ἤϊον· ἦρχε δ᾽ Ὀδυσσεύς.
ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα, τοὺς δ᾽ ἄρ᾽ Ἀθήνη
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος.

Ὁμήρου Ὀδύσσεια κδ' ἡ ω'

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
καλὴν χρυσείην, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τῇ ῥ᾽ ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο.
ὡς δ᾽ ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ᾽ ἀλλήλῃσιν ἔχονται,
ὣς αἱ τετριγυῖαι ἅμ᾽ ἤϊσαν· ἦρχε δ᾽ ἄρα σφιν
Ἑρμείας ἀκάκητα κατ᾽ εὐρώεντα κέλευθα.
πὰρ δ᾽ ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,
ἠδὲ παρ᾽ Ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων
ἤϊσαν· αἶψα δ᾽ ἵκοντο κατ᾽ ἀσφοδελὸν λειμῶνα,
ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.
εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος
καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο
Αἴαντός θ᾽, ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐδαο
ὡς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
ἤλυθ᾽ ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
ἀχνυμένη· περὶ δ᾽ ἄλλαι ἀγηγέραθ᾽, ὅσσαι ἅμ᾽ αὐτῷ
οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
τὸν πρότερη ψυχὴ προσεφώνεε Πηλεΐωνος·
"Ἀτρεΐδη, περὶ μέν σ᾽ ἔφαμεν Διὶ τερπικεραύνῳ

ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε᾽ Ἀχαιοί.
ἦ τ᾽ ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
μοῖρ᾽ ὀλοή, τὴν οὔ τις ἀλεύεται ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες,
δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῷ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρα᾽ ὀπίσσω·
νῦν δ᾽ ἄρα σ᾽ οἰκτίστῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
τὸν δ᾽ αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
"ὄλβιε Πηλέος υἱέ, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίῃ ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ᾽ ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ᾽ ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ᾽· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ᾽ ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῷ καὶ ἀλείφατι· πολλὰ δέ σ᾽ ἀμφὶ
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ᾽ ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃς ἁλίῃσιν
ἀγγελίης ἄϊουσα· βοὴ δ᾽ ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ᾽ ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδώς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
"ἴσχεσθ᾽, Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃς ἁλίῃσιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα."
"ὣς ἔφαθ᾽, οἱ δ᾽ ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ᾽ ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ᾽ ὀλοφυρόμεναι, περὶ δ᾽ ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ᾽ ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ
θρήνεον· ἔνθα κεν οὔ τιν᾽ ἀδάκρυτόν γ᾽ ἐνόησας
Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ᾽ ἄνθρωποι·
ὀκτωκαιδεκάτῃ δ᾽ ἔδομεν πυρί, πολλὰ δέ σ᾽ ἀμφὶ
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ᾽ ἔν τ᾽ ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῷ

καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ᾽ ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ᾽ ἱππῆές τε· πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἧνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ᾽ ὀστέ᾽, Ἀχιλλεῦ,
οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ᾽ ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῷ τοι κεῖται λεύκ᾽ ὀστέα, φαίδιμ᾽ Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ᾽ Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ᾽ αὐτοῖσι δ᾽ ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων
ἀκτῇ ἔπι προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ᾽ αἰτήσασα θεοὺς περικαλλέ᾽ ἄεθλα
θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ᾽ ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνονται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῷ,
οἷ᾽ ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ᾽ ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ᾽ ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ᾽ ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ᾽ ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἀγχίμολον δέ σφ᾽ ἦλθε διάκτορος ἀργεϊφόντης,
ψυχὰς μνηστήρων κατάγων Ὀδυσῆϊ δαμέντων,
τὼ δ᾽ ἄρα θαμβήσαντ᾽ ἰθὺς κίον, ὡς ἐσιδέσθην.
ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
παῖδα φίλον Μελανῆος, ἀγακλυτὸν Ἀμφιμέδοντα·
ξεῖνος γάρ οἱ ἔην᾽ Ἰθάκῃ ἔνι οἰκία ναίων.
τὸν προτέρη ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
"Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;

ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ᾽ οἰῶν πώεα καλά,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνῃ ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέῳ Μενελάῳ
Ἴλιον εἰς ἅμ᾽ ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ᾽ ἄρ᾽ οὔλῳ πάντα περήσαμεν εὐρέα πόντον,
σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον."
τὸν δ᾽ αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·
σοὶ δ᾽ ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ᾽ Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ᾽ οὔτ᾽ ἠρνεῖτο στυγερὸν γάμον οὔτ᾽ ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν,
ἀλλὰ δόλον τόνδ᾽ ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ᾽ ἡμῖν μετέειπε·
"᾽κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ᾽ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ᾽ ὄληται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
μοῖρ᾽ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.᾽
"ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ᾽ ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ᾽ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα πόλλ᾽ ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
καὶ τήν γ᾽ ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ᾽, ὑπ᾽ ἀνάγκης.
"εὖθ᾽ ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
πλύνασ᾽, ἠελίῳ ἐναλίγκιον ἠὲ σελήνῃ,
καὶ τότε δή ῥ᾽ Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ᾽ ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ᾽ ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηΐ μελαίνῃ·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε

ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἦ τοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευε.
τὸν δὲ συβώτης ἦγε κακὰ χροὶ εἵματ᾽ ἔχοντα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροὶ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ᾽, οὐδ᾽ οἳ προγενέστεροι ἦσαν,
ἀλλ᾽ ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.
αὐτὰρ ὁ τῆος ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσι
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ·
ἀλλ᾽ ὅτε δή μιν ἔγειρε Διὸς νοός αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε᾽ ἀείρας
ἐς θάλαμον κατέθηκε καὶ ἐκλήϊσεν ὀχῆας,
αὐτὰρ ὁ ἦν ἄλοχον πολυκερδείῃσιν ἄνωγε
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ᾽ ἐπιδευέες ἦμεν.
ἀλλ᾽ ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ᾽ ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσι
τόξον μὴ δόμεναι, μηδ᾽ εἰ μάλα πολλ᾽ ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἷος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηϊδίως δ᾽ ἐτάνυσσε βιόν, διὰ δ᾽ ἦκε σιδήρου,
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ᾽ Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ᾽ ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον.
γνωτὸν δ᾽ ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ᾽ ἐπισπόμενοι μένεϊ σφῷ
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὦρνυτ᾽ ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ᾽, ὧν ἔτι καὶ νῦν
σώματ᾽ ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ᾽ ἑκάστου,
οἵ κ᾽ ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."
τὸν δ᾽ αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
"ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
κούρῃ Ἰκαρίου· ὡς εὖ μέμνητ᾽ Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔ ποτ᾽ ὀλεῖται

ἧς ἀρετῆς, τεύξουσι δ᾽ ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ᾽ ἀοιδὴ
ἔσσετ᾽ ἐπ᾽ ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσει
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ εὐεργὸς ἔῃσιν."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἑσταότ᾽ εἰν Ἀΐδαο δόμοις, ὑπὸ κεύθεσι γαίης·
οἱ δ᾽ ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ᾽ ἀγρὸν ἵκοντο
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ᾽ αὐτὸς
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ᾽ ἐμόγησεν.
ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντῃ,
ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἵαυον
δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
ἐν δὲ γυνὴ Σικελὴ γρηὺς πέλεν, ἥ ῥα γέροντα
ἐνδυκέως κομέεσκεν ἐπ᾽ ἀγροῦ, νόσφι πόληος.
ἔνθ᾽ Ὀδυσεὺς δμώεσσι καὶ υἱέϊ μῦθον ἔειπεν·
"ὑμεῖς μὲν νῦν ἔλθετ᾽ ἐϋκτίμενον δόμον εἴσω,
δεῖπνον δ᾽ αἶψα συῶν ἱερεύσατε ὅς τις ἄριστος·
αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἠμετέροιο,
αἴ κέ μ᾽ ἐπιγνώῃ καὶ φράσσεται ὀφθαλμοῖσιν,
ἦέ κεν ἀγνοιῇσι, πολὺν χρόνον ἀμφὶς ἐόντα."
ὣς εἰπὼν δμώεσσιν ἀρήϊα τεύχε᾽ ἔδωκεν.
οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον, αὐτὰρ Ὀδυσσεὺς
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς πειρητίζων.
οὐδ᾽ εὗρεν Δολίον, μέγαν ὄρχατον ἐσκαταβαίνων,
οὐδέ τινα δμώων οὐδ᾽ υἱῶν· ἀλλ᾽ ἄρα τοί γε
αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος
ᾤχοντ᾽, αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευε.
τὸν δ᾽ οἷον πατέρ᾽ εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα
ῥαπτὸν ἀεικέλιον, περὶ δὲ κνήμῃσι βοείας
κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων,
χειρῖδάς τ᾽ ἐπὶ χερσὶ βάτων ἕνεκ᾽· αὐτὰρ ὕπερθεν
αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
τὸν δ᾽ ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
στὰς ἄρ᾽ ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
κύσσαι καὶ περιφῦναι ἑὸν πατέρ᾽, ἠδὲ ἕκαστα
εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ᾽ ἐς πατρίδα γαῖαν,
ἦ πρῶτ᾽ ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο.
ὣδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,

πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.
τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς.
ἦ τοι ὁ μὲν κατέχων κεφαλὴν φυτὸν ἀμφελάχαινε·
τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
"ὦ γέρον, οὐκ ἀδαημονίη σ᾽ ἔχει ἀμφιπολεύειν
ὄρχατον, ἀλλ᾽ εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
οὐ φυτόν, οὐ συκέη, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ
αὐτόν σ᾽ οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ᾽ ἅμα γῆρας
λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.
οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ᾽ οὔ σε κομίζει,
οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰσοράασθαι
εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
εὐδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
τεῦ δμὼς εἶς ἀνδρῶν; τεῦ δ᾽ ὄρχατον ἀμφιπολεύεις;
καὶ μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὖ εἰδῶ,
εἰ ἐτεόν γ᾽ Ἰθάκην τήνδ᾽ ἱκόμεθ᾽, ὥς μοι ἔειπεν
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ᾽ ἰόντι,
οὔ τι μάλ᾽ ἀρτίφρων, ἐπεὶ οὐ τόλμησεν ἕκαστα
εἰπεῖν ἠδ᾽ ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
ἀμφὶ ξείνῳ ἐμῷ, ἤ που ζώει τε καὶ ἔστιν
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν.
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
ἄνδρα ποτ᾽ ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ
ἡμέτερόνδ᾽ ἐλθόντα, καὶ οὔ πω τις βροτὸς ἄλλος
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα·
εὔχετο δ᾽ ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτην Ἀρκεισιάδην πατέρ᾽ ἔμμεναι αὐτῷ.
τὸν μὲν ἐγὼ πρὸς δώματ᾽ ἄγων ἐὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων,
καί οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐῴκει.
χρυσοῦ μέν οἱ δῶκ᾽ εὐεργέος ἑπτὰ τάλαντα,
δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα,
δώδεκα δ᾽ ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλά, τόσους δ᾽ ἐπὶ τοῖσι χιτῶνας,
χωρὶς δ᾽ αὖτε γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων·
"ξεῖν᾽, ἦ τοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις,
ὑβρισταὶ δ᾽ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν·

δῶρα δ᾽ ἐτώσια ταῦτα χαρίζεο, μυρί᾽ ὀπάζων·
εἰ γάρ μιν ζωόν γ᾽ ἐκίχεις ᾽Ιθάκης ἐνὶ δήμῳ,
τῷ κέν σ᾽ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε
καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξῃ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
πόστον δὴ ἔτος ἐστίν, ὅτε ξείνισσας ἐκεῖνον
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ᾽, εἴ ποτ᾽ ἔην γε,
δύσμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ᾽· οὐδέ έ μήτηρ
κλαῦσε περιστείλασα πατήρ θ᾽, οἵ μιν τεκόμεσθα·
οὐδ᾽ ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
κώκυσ᾽ ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεῴκει,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὖ εἰδῶ·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἔστηκε θοή, ἥ σ᾽ ἤγαγε δεῦρο
ἀντιθέους θ᾽ ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
νηὸς ἐπ᾽ ἀλλοτρίης, οἱ δ᾽ ἐκβήσαντες ἔβησαν;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"τοιγὰρ ἐγώ τοι πάντα μάλ᾽ ἀτρεκέως καταλέξω.
εἰμὶ μὲν ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
υἱὸς Ἀφείδαντος Πολυπημονίδαο ἄνακτος·
αὐτὰρ ἐμοί γ᾽ ὄνομ᾽ ἐστὶν ᾽Επήριτος· ἀλλά με δαίμων
πλάγξ᾽ ἀπὸ Σικανίης δεῦρ᾽ ἐλθέμεν οὐκ ἐθέλοντα·
νηῦς δέ μοι ἥδ᾽ ἔστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος.
αὐτὰρ Ὀδυσσῆϊ τόδε δὴ πέμπτον ἔτος ἐστίν,
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι,
δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ᾽ ἔτι νῶϊν ἐώλπει
μίξεσθαι ξενίῃ ἠδ᾽ ἀγλαὰ δῶρα διδώσειν."
ὣς φάτο, τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς πολιῆς, ἀδινὰ στεναχίζων.
τοῦ δ᾽ ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
δριμὺ μένος προὔτυψε φίλον πατέρ᾽ εἰσορόωντι.
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος, ἠδὲ προσηύδα·
"κεῖνος μέν τοι ὅδ᾽ αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἴσχεο κλαυθμοῖο γόοιό τε δακρυόεντος.
ἐκ γάρ τοι ἐρέω· μάλα δὲ χρὴ σπευδέμεν ἔμπης·
μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι,

λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα."
τὸν δ' αὖ Λαέρτης ἀπαμείβετο φώνησέν τε·
"εἰ μὲν δὴ Ὀδυσεύς γε ἐμὸς πάϊς ἐνθάδ' ἱκάνεις,
σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι,
τὴν ἐν Παρνησῷ μ' ἔλασεν σῦς λευκῷ ὀδόντι
οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἑλοίμην
δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο καὶ κατένευσεν.
εἰ δ' ἄγε τοι καὶ δένδρε' ἐϋκτιμένην κατ' ἀλωὴν
εἴπω, ἃ μοί ποτ' ἔδωκας, ἐγὼ δ' ᾔτεόν σε ἕκαστα
παιδνὸς ἐών, κατὰ κῆπον ἐπισπόμενος· διὰ δ' αὐτῶν
ἱκνεύμεσθα, σὺ δ' ὠνόμασας καὶ ἔειπες ἕκαστα.
ὄγχνας μοι δῶκας τρισκαίδεκα καὶ δέκα μηλέας,
συκέας τεσσαράκοντ'· ὄρχους δέ μοι ὧδ' ὀνόμηνας
δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
ἦην· ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν--
ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν."
ὣς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
σήματ' ἀναγνόντος τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ ποτὶ οἷ
εἶλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπε·
"Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἔστε θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μὴ τάχα πάντες
ἐνθάδ' ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
πάντη ἐποτρύνωσι Κεφαλλήνων πολίεσσι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
ἀλλ' ἴομεν προτὶ οἶκον, ὃς ὀρχάτου ἐγγύθι κεῖται·
ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
προΰπεμψ', ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα."
ὣς ἄρα φωνήσαντε βάτην πρὸς δώματα καλά.
οἱ δ' ὅτε δή ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
ταμνομένους κρέα πολλὰ κερῶντάς τ' αἴθοπα οἶνον.
τόφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
ἀμφίπολος Σικελὴ λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλεν· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,

μείζονα δ᾽ ἠὲ πάρος καὶ πάσσονα θῆκεν ἰδέσθαι.
ἐκ δ᾽ ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱός,
ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
εἶδός τε μέγεθός τε ἀμείνονα θῆκεν ἰδέσθαι."
τὸν δ᾽ αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα·
"αἴ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οἷος Νήρικον εἶλον, ἐϋκτίμενον πτολίεθρον,
ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
τεύχε᾽ ἔχων ὤμοισιν, ἐφεστάμεναι καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας· τῷ κε σφέων γούνατ᾽ ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἐγήθεις."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
οἱ δ᾽ ἐπεὶ οὖν παύσαντο πόνου τετύκοντό τε δαῖτα,
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
ἔνθ᾽ οἱ μὲν δείπνῳ ἐπεχείρεον, ἀγχίμολον δὲ
ἦλθ᾽ ὁ γέρων Δολίος, σὺν δ᾽ υἱεῖς τοῖο γέροντος,
ἐξ ἔργων μογέοντες, ἐπεὶ προμολοῦσα κάλεσσεν
μήτηρ γρηῦς Σικελή, ἥ σφεας τρέφε καί ῥα γέροντα
ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρψεν.
οἱ δ᾽ ὡς οὖν Ὀδυσῆα ἴδον φράσσαντό τε θυμῷ,
ἔσταν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν·
"ὦ γέρον, ἴζ᾽ ἐπὶ δεῖπνον, ἀπεκλελάθεσθε δὲ θάμβευς·
δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμαῶτες
μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί."
ὣς ἄρ ἔφη, Δολίος δ᾽ ἰθὺς κίε χεῖρε πετάσσας
ἀμφοτέρας, Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ᾽ ἐπὶ καρπῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ὦ φίλ᾽, ἐπεὶ νόστησας ἐελδομένοισι μάλ᾽ ἡμῖν
οὐδ᾽ ἔτ᾽ ὀϊομένοισι, θεοὶ δέ σ᾽ ἀνήγαγον αὐτοί,
οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐὖ εἰδῶ,
ἦ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ᾽, ἦ ἄγγελον ὀτρύνωμεν."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
"ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;"
ὣς φάθ᾽, ὁ δ᾽ αὖτις ἄρ᾽ ἕζετ᾽ ἐϋξέστου ἐπὶ δίφρου.
ὣς δ᾽ αὖτως παῖδες Δολίου κλυτὸν ἀμφ᾽ Ὀδυσῆα
δεικανόωντ᾽ ἐπέεσσι καὶ ἐν χείρεσσι φύοντο,
ἑξείης δ᾽ ἕζοντο παραὶ Δολίον, πατέρα σφόν.

ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο·
Ὄσσα δ᾽ ἄρ᾽ ἄγγελος ὠκα κατὰ πτόλιν ᾤχετο πάντη,
μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ᾽ ἐνέπουσα.
οἱ δ᾽ ἄρ᾽ ὁμῶς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος
μυχμῷ τε στοναχῇ τε δόμων προπάροιθ᾽ Ὀδυσῆος,
ἐκ δὲ νέκυς οἴκων φόρεον καὶ θάπτον ἕκαστοι,
τοὺς δ᾽ ἐξ ἀλλάων πολίων οἰκόνδε ἕκαστον
πέμπον ἄγειν ἁλιεῦσι θοῇς ἐπὶ νηυσὶ τιθέντες·
αὐτοὶ δ᾽ εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
τοῖσιν δ᾽ Εὐπείθης ἀνά θ᾽ ἵστατο καὶ μετέειπε·
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς·
τοῦ ὅ γε δάκρυ χέων ἀγορήσατο καὶ μετέειπεν·
"ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδ᾽ ἐμήσατ᾽ Ἀχαιούς·
τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλοὺς
ὤλεσε μὲν νῆας γλαφυράς, ἀπὸ δ᾽ ὤλεσε λαούς·
τοὺς δ᾽ ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ᾽ ἀρίστους,
ἀλλ᾽ ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι
ἢ καὶ ἐς Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί,
ἴομεν· ἦ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ᾽ αἰεί·
λώβη γὰρ τάδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
τισόμεθ᾽. οὐκ ἂν ἐμοί γε μετὰ φρεσὶν ἡδὺ γένοιτο
ζωέμεν, ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην.
ἀλλ᾽ ἴομεν, μὴ φθέωσι περαιωθέντες ἐκεῖνοι."
ὣς φάτο δάκρυ χέων, οἶκτος δ᾽ ἕλε πάντας Ἀχαιούς.
ἀγχίμολον δέ σφ᾽ ἦλθε Μέδων καὶ θεῖος ἀοιδὸς
ἐκ μεγάρων Ὀδυσῆος, ἐπεί σφεας ὕπνος ἀνῆκεν,
ἔσταν δ᾽ ἐν μέσσοισι· τάφος δ᾽ ἕλεν ἄνδρα ἕκαστον.
τοῖσι δὲ καὶ μετέειπε Μέδων πεπνυμένα εἰδώς·
"κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
ἀθανάτων ἀέκητι θεῶν τάδ᾽ ἐμήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ᾽ Ὀδυσῆϊ
ἐγγύθεν ἑστήκει καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ᾽ Ὀδυσῆος
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
θῦνε κατὰ μέγαρον· τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον."
ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ χλωρὸν δέος ᾕρει.
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἀλιθέρσης
Μαστορίδης· ὁ γὰρ οἷος ὅρα πρόσσω καὶ ὀπίσσω·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε·
"κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·

ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο·
οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν,
ὑμετέρους παῖδας καταπαυέμεν ἀφροσυνάων,
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσι,
κτήματα κείροντες καὶ ἀτιμάζοντες ἄκοιτιν
ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκέτι φάντο νέεσθαι.
καὶ νῦν ὧδε γένοιτο. πίθεσθέ μοι ὡς ἀγορεύω·
μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ."
ὣς ἔφαθ', οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
ἡμίσεων πλείους· τοὶ δ' ἀθρόοι αὐτόθι μίμνον·
οὐ γὰρ σφιν ἅδε μῦθος ἐνὶ φρεσίν, ἀλλ' Εὐπείθει
πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο.
αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροὶ νώροπα χαλκόν,
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσι·
φῇ δ' ὅ γε τίσεσθαι παιδὸς φόνον, οὐδ' ἄρ' ἔμελλεν
ἂψ ἀπονοστήσειν, ἀλλ' αὐτοῦ πότμον ἐφέψειν.
αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα·
"ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὔπατε κρειόντων,
εἰπέ μοι εἰρομένῃ, τί νύ τοι νόος ἔνδοθι κεύθει;
ἦ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
τεύξεις, ἦ φιλότητα μετ' ἀμφοτέροισι τίθησθα;"
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾷς;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
ἔρξον ὅπως ἐθέλεις· ἐρέω τέ τοι ὡς ἐπέοικεν.
ἐπεὶ δὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεύς,
ὅρκια πιστὰ ταμόντες ὁ μὲν βασιλευέτω αἰεί,
ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλεόντων
ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω."
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἔντο,
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
"ἐξελθών τις ἴδοι μὴ δὴ σχεδὸν ὦσι κιόντες."
ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευεν·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, τοὺς δὲ σχεδὸν ἔσιδε πάντας·
αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα·
"οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον."
ὣς ἔφαθ', οἱ δ' ὤρνυντο καὶ ἐν τεύχεσσι δύοντο,
τέσσαρες ἀμφ' Ὀδυσῆ', ἓξ δ' υἱεῖς οἱ Δολίοιο·

ἐν δ᾽ ἄρα Λαέρτης Δολίος τ᾽ ἐς τεύχε᾽ ἔδυνον,
καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
αὐτὰρ ἐπεί ῥ᾽ ἔσσαντο περὶ χροῒ νώροπα χαλκόν,
ὤϊξάν ῥα θύρας, ἐκ δ᾽ ἤϊον, ἄρχε δ᾽ Ὀδυσσεύς.
τοῖσι δ᾽ ἐπ᾽ ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
"Τηλέμαχ᾽, ἤδη μὲν τόδε γ᾽ εἴσεαι αὐτὸς ἐπελθών,
ἀνδρῶν μαρναμένων ἵνα τε κρίνονται ἄριστοι,
μή τι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
ἀλκῇ τ᾽ ἠνορέῃ τε κεκάσμεθα πᾶσαν ἐπ᾽ αἶαν."
τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
"ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα, πάτερ φίλε, τῷδ᾽ ἐπὶ θυμῷ
οὔ τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις."
ὣς φάτο, Λαέρτης δ᾽ ἐχάρη καὶ μῦθον ἔειπε·
"τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·
υἱός θ᾽ υἱωνός τ᾽ ἀρετῆς πέρι δῆριν ἔχουσιν."
τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
"ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ᾽ ἑταίρων,
εὐξάμενος κούρῃ γλαυκώπιδι καὶ Διὶ πατρί,
αἶψα μαλ᾽ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος."
ὣς φάτο, καί ῥ᾽ ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη
εὐξάμενος δ᾽ ἄρ᾽ ἔπειτα Διὸς κούρῃ μεγάλοιο,
αἶψα μάλ᾽ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Εὐπείθεα κόρυθος διὰ χαλκοπαρῄου.
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός,
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
ἐν δ᾽ ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱός,
τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
καί νύ κε δὴ πάντας ὄλεσαν καὶ ἔθηκαν ἀνόστους,
εἰ μὴ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἤϋσεν φωνῇ, κατὰ ἔσχεθε λαὸν ἅπαντα.
"ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο,
ὥς κεν ἀναιμωτί γε διακρινθῆτε τάχιστα."
ὣς φάτ᾽ Ἀθηναίη, τοὺς δὲ χλωρὸν δέος εἷλεν·
τῶν δ᾽ ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα,
πάντα δ᾽ ἐπὶ χθονὶ πῖπτε, θεᾶς ὅπα φωνησάσης·
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
σμερδαλέον δ᾽ ἐβόησε πολύτλας δῖος Ὀδυσσεύς,
οἴμησεν δὲ ἀλεὶς ὡς τ᾽ αἰετὸς ὑψιπετήεις.
καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνόν,
κὰδ δ᾽ ἔπεσε πρόσθε γλαυκώπιδος ὀβριμοπάτρης.

δὴ τότ᾽ Ὀδυσσῆα προσέφη γλαυκῶπις Ἀθήνη·
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιΐου πολέμοιο,
μή πως τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς."
ὣς φάτ᾽ Ἀθηναίη, ὁ δ᾽ ἐπείθετο, χαῖρε δὲ θυμῷ. 545
ὅρκια δ᾽ αὖ κατόπισθε μετ᾽ ἀμφοτέροισιν ἔθηκεν
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.